ΞΕνον δοκεῖ τῷ Βαρλαὰμ κοινόν εἶναί τι ἀφέσει, καὶ καθάρσει διὰ πυρὸς, καὶ κολάσεως. καὶ τὴν αἰτίαν ἀποδίδωσιν. ἢ γάρ φησὶ, κολάσεως, ἢ ἀφέσεως χρεία, καὶ οὐχ ἅμα ἀμφοῖν. ὥσπερ ἂν εἴη ἀδύνατον, πρῶτον παιδευθῆναι τινὰ κατά τι διὰ κολάσεως προσκαίρως. εἶτα ἀφεθῆναι. ἐρωτητέον οὖν αὐτὸν, τί δοξάζει περὶ τῶν ψυχῶν, αἳ κολάζονται διὰ εἱρκτῆς, ζόφου, καὶ αἰιαρῶν; εἶτα διὰ θυσιῶν, καὶ ἄλλης ἀγαθοεργίας, ἐλευθερίας, καὶ σωτηρίας τυγχάνουσι, καὶ, ὅ, τι ἂν τύχῃ αὐτὸς ἀπολογησάμενος, ἐροῦμεν καὶ ἡμεῖς περὶ τοῦ πυρὸς. πολλὰ γὰρ παρὰ τῇ θείᾳ γραφῇ σιωπῶνται, ἅτινα ἐξ ἀνάγκης προσυπακούονται. καὶ αὐτὸς δὲ τοῦτο καὶ μὴ θέλων μαρτυρεῖ, τῷ γὰρ, φησὶν, εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίσαντι οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. καὶ προσίθησι πλέον οὐδὲν. ὥστε καὶ αὐτὸς ὁμολογεῖ προσυπακούεσθαι τὰ ἄλλα. εἰ γὰρ ἐν τῷ μέλλοντι αἰῶνι οὐκ ἀφεθήσεται, ἄρα κολασθήσεται, καὶ καυθήσεται.

ΚΕΙΜΕΝΟΝ.

ΕΠ' αὐτὸ δὲ δὴ τὸ πολυθρύλλητον ἴωμεν, καὶ τὸ τοῦ μακαρίου Παύλου ῥητὸν ἐξετάσωμεν, ὅ, τι νοεῖ, μάλιστα μὲν

pècie differant de purgatorio igne,non enim omnes par-
ẻs verificantur in vno loco ſacræ Scripturæ, quamuis vox
efrigerij ignem reſpirare videtur.

TEXTVS.

QVid enim, inquit, commune eſt remiſſioni,& purgationi per ignem & punitionem; vel enim punitione opus eſt,vel remiſſione,& non vtroque ſimul.

RESPONSIO.

MIrum videtur Barlaamo cõmune eſſe aliquid remiſſioni,& purgationi per ignem,& punitionem;reddit
tionẽ: vel enim,inquit,punitione,vel remiſſione opus eſt,
nõ vtriſque ſimul. quaſi verò fieri nõ poſſit,vt quis prius
œnam patiatur ſecundũ quid per punitionem ad tempus;
einde dimittatur. Quærendũ igitur eſt ab ipſo,quid cẽſet
animabus,quæ puniuntur per carcerẽ, tenebras,& alias
œnas;deinde per ſacrificia,& bona opera libertatẽ,& ſatem
conſequuntur. Et quidquid ipſe reſpõderit,dicemus
nos de igne purgatorio:multa enim in ſacra Scriptura ſintio
teguntur,quæ de neceſſitate ſubintelligũtur. Et ipſe
ıoque id velit,nolit,teſtificatur. Etenim, inquit, ei qui in
piritum Sanctũ blaſphemat,non remittetur, neque in hoc
culo,neque in futuro,& nihil præterea addit.Et ipſe con-
etur reliqua ſubintelligenda eſſe, ſi enim in futuro ſæcu-
non remittetur, igitur punietur, & comburetur.

TEXTVS.

AD illud igitur maximopere peruulgatum accedamus, & textum B. Pauli diſcutiamus quidnam intelligat.

ταῖς τῶν διδασκάλων ἀκολουθοῦντες ἐξηγήσεσί τε καὶ θεωρίαις τῶν ἡμετέρων. ἰδ' οὖν, ἀλλὰ καὶ αὐτοὶ ἔτι τὸν νοῦν ἄνωθεν πᾶσι τοῖς λεγομένοις ὑπὸ τοῦ ἀποστόλου ἐπιστήσαντες (ὡς ἐνὸν) καὶ κατ' ἴχνος τοῖς λόγοις ἑπόμενοι, ἕως ἂν τὸν ἀληθῆ τοῦ κήρυκος νοῦν δυνηθείημεν ἅψαι.

ΑΠΟΚΡΙΣΙΣ.

ΤΟ παρὸν χωρίον τοῦ Παύλου ἀσαφείας γέμει. καὶ ἔστιν ἐξ ἐκείνων τῶν πολλῶν ἕν, ὅ φησι Πέτρος ὁ ἀπόστολος περὶ τῶν ἐπιστολῶν Παύλου, ἐν αἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσι, ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. ἐν τοῖς τοιούτοις δὲ τοῖς πλείοσι τῶν ἐξηγητῶν ἀκολουθητέον. οὕτω γὰρ καὶ αὐτὸς ὁ Βαρλαὰμ φθεγγόμενος περὶ Γρηγορίου τοῦ Νύσσης ὀρθῶς φρονεῖ, καὶ κρίνει. δῆλον γὰρ δή, φησί, τοὺς πολλοὺς ὑπὲρ τὸν ἕνα τὰ ἀληθῆ δύνασθαι συνιέναι. εἴγε εἰσὶ δύο ἀγαθοὶ ὑπὲρ τὸν ἕνα. ἐγὼ γοῦν πρῶτον μὲν δύο καλούς τε κἀγαθοὺς, Βασίλειον τὸν μέγαν καὶ Γρηγόριον τὸν κατ' ἐξοχὴν θεολόγον ζυγοστατήσω πρὸς τὸν ἕνα Χρυσόστομον. εἶτα καὶ ἄλλους ἐξόχους εἰς μέσον ἄξω μαρτυροῦντας τὸ πῦρ τὸ καθαρτήριον, τελευταῖον δὲ καὶ αὐτὸν τὸν Χρυσόστομον μάρτυρα παρέξω τοῦ καθαρτηρίου πυρός.

Præſertim Doctorum noſtrorum expoſitionibus, & contē-plationibus inſiſtentes. Quin & ipſi præterea mentem adhibebimus altius omnibus, quæ ab Apoſtolo dicta ſunt, quantum fieri poteſt, & per veſtigia eius rationibus inhærentes: donec verum ſcopum Præconis aſſequi poterimus.

RESPONSIO.

PRæſens locus Pauli obſcuritate eſt plenus, & eſt vnus ex illis multis, de quibus ſanctus Petrus dicit, in Epiſtolis Pauli eſſe nonnulla difficilia intellectu, quæ indocti, & inſtabiles deprauant, ſicut & cæteras ſcripturas ad ſuam ipſorum perditionem, in his verò maiorem partem Interpretum eſſe ſequendam. Sic enim & ipſe Barlaam loquens de Gregorio Nyſſeno recte ſentit, & iudicat: Manifeſtum enim eſt, inquit, multos rectius, quam vnum aliquem veritatem aſſequi poſſe. Siquidem duo boni præſtant vni. Ego igitur primum quidem duos egregios Baſilium Magnum, & Gregorium per excellentiam Theologum conferam cum vno Chryſoſtomo. Deinde & alios præſtantiſſimos in medium adducam, qui teſtentur ignem purgatorium; tandem & ipſum Chryſoſtomum teſtem exhibebo ignis purgatorij.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

TE-

ΜΑΡΤΥΡΙΑΙ ΤΩΝ

ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΤΩΝ ΑΝΑΤΟΛΙΚΩΝ

Περὶ τοῦ πυρὸς τοῦ καθαρτηρίου.

Παρελθέτω τοιγαροῦν εἰς τὸ μέσον πρῶτος ὁ μέγας Βασίλειος ἐν τῇ πραγματείᾳ τῇ εἰς τὸν Ησαΐαν ἐν κεφαλ. δ. ἐν ἐκείνοις τοῖς ῥήμασιν. ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν, καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα Ιερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως, καὶ ἐν πνεύματι καύσεως. Τρανῶς γὰρ αὐτὰ παρὰ Ιωάννῃ ὁ λόγος προαγορεύει περὶ τοῦ κυρίου λέγοντι, ὅτι αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. Περὶ δὲ ἑαυτοῦ, ὅτι ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν. ἐπεὶ γοῦν ἀμφότερα συνῆψεν ὁ κύριος, τό, τε ἐξ ὕδατος εἰς μετάνοιαν, καὶ τὸ ἐκ πνεύματος εἰς ἀναγέννησιν, καὶ ὁ λόγος αἰνίσσεται ἀμφότερα τὰ βαπτίσματα, μήποτε τρεῖς εἰσὶν αἱ ἐπίνοιαι τοῦ βαπτίσματος; ὅ, τε τοῦ ῥύπου καθαρισμός, καὶ ἡ διὰ τοῦ πνεύματος ἀναγέννησις, καὶ ἡ ἐν τῷ πυρὶ τῆς κρίσεως βάσανος, ὥστε τὸ μὲν ἐκπλύνειν πρὸς τὴν ὧδε ὑπόθεσιν τῆς ἁμαρτίας λαμβάνεσθαι, τὸ δέ, πνεύματι καύσεως, πρὸς τὴν ἐν τῷ μέλλοντι αἰῶνι διὰ τοῦ πυρὸς δοκιμασίαν. δέονται δὲ αἱ μὲν κατ᾽ ἄγνοιαν ἁμαρτίαι οἱονεὶ ῥύπος τις οὖσαι, τὴν ἐπιφάνειαν τῆς ψυχῆς ἀφανίζουσαι, καὶ τῷ φυσικῷ κάλλει αὐτῆς λυμαινόμεναι, τοῦ ἐκ τῆς πλύσεως καθαρισμοῦ. αἱ δὲ πρὸς θάνατον ἁμαρτίαι τῶν ἑκουσίως ἐξαμαρτανόντων μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν, αἷμα προσαγορεύονται, δεόμεναι τῆς ἐν τῷ καύματι κρίσεως. ἐπεὶ οὖν ὁ ἐξομολογούμενος, καὶ πλυθῆναι ἀξιοῖ, καὶ καθαρισθῆναι, καὶ τὴν μὲν ἀνομίαν πλύσεως φησὶ δεῖσθαι, τὴν δὲ ἁμαρτίαν καθαρισμοῦ, λέγων ἐπὶ πλεῖον πλυνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με, οἱ μὲν πάντη ἀνήκοοι τῶν θείων μαθημάτων,

TESTIMONIA
SANCTORVM PATRVM ORIENTALIVM De igne Purgatorio.

PRodeat itaque in medium primus Magnus Basilius tractatu in Esaiam cap. 4: super illis verbis, Quia abluet Dominus sordes filiorũ & filiarum Sion, & sanguinem Hierusalem expurgabit de medio eius, in spiritu iudicij, spiritu ardoris. Perspicuè, inquit, ea ipsa hic sermo designat, quæ Ioannes aliquando de Dño dixit, quia ipse est, ui vos baptizabit in Spiritu sancto, & igne. De seipso au-, Ego quidẽ vos baptizo in aqua ad pœnitentiam. Quan- igitur vtraque coniunxit Dominus illud, ex aqua in pœ-tentiam; & illud, ex spiritu in regenerationem & vtrũque ptisma Scriptura designat. Vtrum forte tres sunt baptis-atis acceptiones? expurgatio, scilicet, sordiũ, regeneratio er spiritum; & ea quæ fit in igne segregationis probatio. c illud, abluet, pro depositione peccati accipiatur, quę in ac vita fit, hoc autẽ in spiritu iudicij, & spiritu ardoris ad am referatur probationẽ, quæ per ignẽ fiet in futuro sæcu-. Equidem peccata per ignorantiam admissa vtique cum t veluti sordes quædam, quæ animi splendorẽ extermi-ant, & naturæ eius decori officiunt, egent purgationẽ per tionem. quæ verò ad mortẽ ducunt peccata eorũ, nempe ui post acceptam cognitionẽ, certa animi destinatione fla tia committunt, sanguis vocantur, & hæc quidẽ indigent dore, seu exæstuatione iudicij. Itaque quisquis cõfitetur, q; ablui orat, & emũdari, suam quidẽ iniquitatem fatetur gere ablutionẽ, & peccatum emũdatione, dum dicit, Am-lius laua me ab iniquitate, & à peccato meo munda e. Illi quidem; qui rudes sunt prorsus, & inscij diuino-

rum,

ματων, πρὶν μαθεῖν τὸν λόγον ἡμαρτηκότες. οἱονεὶ ἐῤῥυπωμένοι τοῦ ἀπὸ ὕδατος δέονται καθαρισμοῦ· οἱ δὲ μετὰ τὸ λαβεῖν τὴν ζωὴν ἐπιβουλεύοντες ἑαυτοὺς, αἵματος ὄντες ἔνοχοι, τοῦ ἐκ τοῦ πυρὸς δέονται καθαρισμοῦ.

Ὁ αὐτὸς ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τῆς αὐτῆς πραγματείας διασαφηνίζων ἐκεῖνα τὰ ῥήματα, καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, οὕτω φησὶ κατὰ ῥῆμα. ἔχει δέ τινα ἡ ἀπειλὴ εὐεργεσίας ἔμφασιν, ὅτι καυθήσεται ἡ ἀνομία ὡς πῦρ. τὴν γὰρ παρασκευασθεῖσαν ὕλην ἐκ τῆς ἀνομίας ἀφανισμῷ παραδοθῆναι ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων παρὰ τοῦ ἀγαθοῦ δεσπότου ᾠκονόμηται. καὶ ὡς ἄγρωστις φησὶ ξηρὰ βρωθήσεται ὑπὸ πυρὸς καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ. ἕως μὲν ἐγκέχωσται τοῖς γηΐνοις πάθεσιν ἡ ψυχὴ, ὡς ἄγρωστις τὰ πάθη αὐτῆς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐκφυόμενα δίερπει, δι' ἀλλήλων τὴν γένεσιν ἔχοντα, καὶ ἄλλα ἐπ' ἄλλοις γενόμενα. ὡς γὰρ ἡ ἄγρωστις πολυγονώτατον ἐστὶν ἐν βοτάναις, καὶ οὐδαμοῦ καταλήγει αὐτῆς ἡ γέννησις, ἀλλ' ἀεὶ τὸ πέρας τῆς προτῆς γενέσεως, ἀρχὴ τοῦ ἐφεξῆς γίνεται. τοιαύτη καὶ ἡ τῶν ἁμαρτημάτων ἐστὶ φύσις, αὕτη ἑαυτὴν διαδέχεται, καὶ γεννᾷ μὲν ἡ πορνεία πορνείαν, ἡ δὲ ἐν τῷ ψεύδει συνήθεια, ψεύδους γίνεται μήτηρ, καὶ ὁ ἐν κλοπαῖς μελετήσας, κατατολμᾷ ῥαδίως τοῦ ἀδικήματος. ἡ γὰρ προλαβοῦσα ἁμαρτία, ἀφορμὴ τοῦ ἁμαρτάνειν γίνεται. ἐὰν οὖν γυμνώσωμεν τὴν ἁμαρτίαν διὰ τῆς ἐξομολογήσεως, ἐποιήσαμεν αὐτὴν ξηρὰν ἄγρωστιν, ἀξίαν τοῦ ὑπὸ τοῦ καθαρτικοῦ πυρὸς καταβρωθῆναι. καὶ κατωτέρω. ἐὰν μὲν οὖν μὴ γένηται ὡς ἄγρωστις ξηρὰ ἡ ἁμαρτία ἡμῶν, οὐ βρωθήσεται ὑπὸ τοῦ πυρὸς, οὔτε κατακαυθήσεται. καὶ κατωτέρω. ὅτι διὰ θυμὸν ὀργῆς κυρίου συγκέκαυται ἡ γῆ ὅλη, δεικνυσιν ὅτι τὰ γήϊνα τῷ πυρὶ τῷ κολαστικῷ παραδίδοται ἐπ' εὐεργεσίᾳ τῆς ψυχῆς, καθὰ καὶ ὁ κύριος ὑποφαίνει λέγων, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἐκάη. καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυμένος ἄνθρωπος. οὐκ ἀφανισμὸν ἀπειλεῖ, ἀλλὰ τὴν κάθαρσιν ὑποφαίνει κατὰ τὸ

παρὰ

m dogmatum, priusquam eruditi essent Dei verbum,
eccarunt, tanquam eluuie quadam inquinati, opus ha-
nt aspergine aquæ, vt eluantur. Qui verò post ac-
ptam vitæ notitiam consulto, ac studio se ipsos red-
int obnoxios sanguini; opus est vt tales, purgari per
nem.

Et cap.9.super illis verbis, Et succēdetur iniquitas, sicut
nis, habet comminatio quandam beneficij speciem, quia
mburetur, sicut ignis iniquitas. Nam paratam ex iniqui-
te materiam aboleri, pro hominum beneficio, à bonitate
omini constitutum est. Et sicut gramen aridum deuora-
tur ab igne, & comburetur in densitatibus siluæ. Dum de-
ergitur in terrenis affectibus anima, sicut gramen affectus
imæ serpunt, e sensu carnis pullulantes, mutuo nexu na-
entes, & alios de alijs producentes. Nam veluti gra-
en supra modum inter herbas geniculatum est, nec vn-
am eius generatio definit, sed semper primæ generatio-
finis, fit sequentis principium, talis est & peccatorum
tura, ipsa se ipsam suscipit. gignit libido libidinem,
nsuetudo mendacij, fit mendacij mater, & qui in furtis
editandis versatur, facilè malum hoc audet inferre.
ccatum enim præcedens occasio fit iterum peccandi.
igitur per confessionem peccata aperuerimus, siccum
gramen reddidimus, vt à purgatorio igne deuorari me-
atur. Et paulo post, Si non euaserit vt gramen aridum
strum peccatum, ab igne non deuorabitur, nec com-
retur. Et iterum; Propter furorem iræ Domini com-
sta est omnis terra. ostendit terram pro animæ benefi-
igni tradi punitionis, sicut Dominus subostendit di-
ns, Ignem veni mittere in terram, & quid volo, nisi vt
cendatur. Et rursus; Et erit populus sicut ab igne com-
stus vir; non interitum minatur, sed purgationem sub-
endit secundum Apostoli dictum, quod si cuius opus ar-

 serit,

παρὰ τῷ Ἀποστόλῳ εἰρημένον. ὅτι εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως ὡς διὰ πυρός.

Ὁ αὐτὸς ἐν τῷ περὶ πνεύματος ἁγίου πρὸς τὸν Ἀμφιλόχιον ἐν κεφ. κ. σχεδὸν ἐν τῷ τέλει, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί. Τὸ τοῦ πυρὸς βάπτισμα τὴν ἐν τῇ κρίσει δοκιμασίαν λέγων, καθά φησιν ὁ Ἀπόστολος, ἑκάστου τὸ ἔργον ὁποῖον ἐστὶ τὸ πῦρ δοκιμάσει. καὶ πάλιν. ἡ γὰρ ἡμέρα κυρίου δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται.

Καὶ σημείωσαι, ὅτι ὁ διδάσκαλος οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ πλειστάκις τὰ αὐτὰ σχεδὸν ἐπαναλαμβάνων δείκνυσιν, ὅτι οὐκ ἐν παραδρομῇ, καὶ ὡς ἔτυχεν ταῦτα φρονεῖ, ἀλλὰ καθ' ἡδονὴν, καὶ θυμηρέστατα αὐτῷ τυγχάνει τὰ λεχθέντα.

Ὁ σκοτεινὸς Φώτιος παρὰ τῷ Οἰκουμενίῳ τῷ συλλέξαντι διαφόρους ἐξηγήσεις τῶν ἁγίων πατέρων εἰς τὰς ἐπιστολὰς Παύλου, τῇ τοῦ Χρυσοστόμου γνώμῃ κατακολουθῶν ἐπισημειοῦται, ὅτι ὁ Βασίλειος ἐν τῇ ἑρμηνείᾳ τοῦ Ἠσαΐου, δεύτερον ἐπιμνησθεὶς τοῦ ἐκ τοῦ ἐπὶ καθάρσει αὐτὸ ἐδέξατο.

Ὁ δὲ Οἰκουμένιος οὕτω φησίν. ἆρα μὴ καὶ οὕτως δυνάμεθα νοῆσαι; οἱ μὲν οἰκοδομήσαντες τὴν εὐκατάφρηστον ὕλην τέλεον ἐκβέβληνται, ἐζημίωνται γὰρ πάντα αὐτῶν τὰ σπουδάσματα. αὐτὸς δὲ σωθήσεται. τίς; ὁ ἐποικοδομήσας τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ τοὺς τιμίους λίθους. εἰπὼν γὰρ περὶ αὐτοῦ, ὅτι μισθὸν λήψεται, νῦν λέγει ποῖον μισθὸν, τουτέστι τὴν σωτηρίαν. σωθήσεται λέγει ἐπῳδύνως καὶ αὐτὸς, ὡς εἰκὸς τὸν διὰ πυρὸς παριόντα, καὶ ἐκκαθαιρόμενον τὸν ἐνόντα αὐτῷ βραχὺν ῥύπον. Θεοῦ γὰρ μόνου τὸ τελέως ἀναμάρτητον. οἱ δὲ ἄνθρωποι, καὶ ὧσι μάλιστα δίκαιοι, οὐ τέλεον εἰσὶ καθαροί. εἴρηται γὰρ καὶ τῷ Μαλαχίᾳ, ὅτι ὡς πῦρ ἐν χωνευτηρίῳ, καὶ ὡς πόαν πλυνόντων πλυνεῖ, καὶ καθαρίσει ὁ Θεός τινάς.

Σημείωσαι ὅτι ὁ Οἰκουμένιος οὐ σφόδρα ἁρμοζόντως ἐπεξηγεῖται τὴν παρομοιότητα, καὶ μεταφορὰν τῶν ἀρχιτεκτόνων, ᾗ χρῆται ὁ ἀπόστολος. ὅμως ἐπιγινώσκει τὸ καθαρτήριον διὰ πυρός,

rit, damnum patietur, ipſe verò ſaluabitur, ſic tamen
nquam per ignem.
Idem vir ſanctus in lib. de Spiritu ſancto ad Amphilochiũ
p. 15. prope finẽ, Ipſe vos baptizabit in Spiritu ſancto, &
ne, ignis baptiſmũ vocans examinationem iudicij, vt ait
poſtolus; Vniuſcuiuſq; opus, quale ſit ignis, probabit. Et
rſus, Dies enim Dñi declarabit, quia in igne reuelatur.
Et nota, quod Doctor, non ſemel, neq; bis, ſed multoties
dem fere reſumit, quod nõ per tranſennam, & obiter hæc
pit, ſed hæc illi ſunt valde grata, quæ recenſuit.
Tenebricoſus Photius apud Oecumenium, qui collegit
Epiſtolas Pauli expoſitiones quorundam Patrũ, ſequens
ntentiam Chryſoſtomi, refert etiam expoſitionem Baſilij,
cens, quod Baſilius in Commentarijs in Eſaiam, ſecundo
nc textum repetens, de purgatione ipſum intellexit.
Oecumenius autẽ ipſe ità exponit, num etiam hoc pacto
ſſumus intelligere? qui ſuperædificauerit materiã facile
buſtibilem, omnino proiectus eſt, detrimentũ enim paſſa
nt ipſius ſtudia; ipſe verò ſaluus erit. Quisnam? qui ſu-
rædificauerit aurum & argentum, & lapides precioſos.
um enim de ipſo dixiſſet, quod mercedem accipiet, nunc
qualem mercedẽ, hoc eſt, ſalutem. Saluus autem erit cũ
lore, & ipſe vt par eſt eum, qui per ignem trãſit, modica-
mq; inhærentiũ ſibi ſordiũ indiget purgatione; nam Dei
lius eſt perfecta impeccabilitas. Homines autẽ quantum-
et iuſti non ſunt omnino mundi. dictum eſt enim, quod
multis omnes peccamus, & nemo mundus à peccato,
iam ſi vnius diei fuerit vita ipſius. Dictum quippe eſt à
alachia etiam quod vt ignis in fornace, atque herba la-
ntium lauabit, & purgabit aliquos Deus.
Nota Oecumenium non admodum rectè interpretari ſi-
litudinem Architectorũ, quam vſurpat Apoſtolus; agno-
ere tamen purgatorium per ignẽ; præſertim etiam in ho-

καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ κἂν τοῖς ἀνθρώποις τοῖς καλοῖς, καὶ ὁσίοις, ἅτε μηδενὸς εὑρισκομένου χωρὶς ἁμαρτίας, εἰ μὴ μόνου τοῦ θεοῦ. ἐκ τούτου δὲ ἔξεστι συλλέξασθαι, ὅτι δίδοται τὰ συγχωρητικὰ ἁμαρτήματα, ἅπερ οἱ αἱρετικοὶ οὐ προσίενται.

Ὁ Θεοδώρητος διττῶς ἐξηγεῖται τὸ κείμενον τοῦ ἀποστόλου. ἕνα μὲν τρόπον οὕτως. Οἱ διδάσκαλοι τὰ θεῖα παιδεύουσιν, οἱ δὲ ἀκούοντες κατὰ τὸ τῆς γνώσεως αὐθαίρετον τὸ πρακτέον αἱροῦνται. ἀλλὰ κατὰ τὴν τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμέραν βάσανος ἔσται, καὶ ἐξέτασις ἀκριβής. καὶ τοὺς μὲν εὖ βεβιωκότας καθάπερ χρυσὸν, καὶ ἄργυρον τὸ πῦρ λαμπροτέρους ἀποφανεῖ. τοὺς δὲ τῆς κακίας ἐργάτας δίκην ξύλων, καὶ χόρτου, καὶ καλάμης καταναλώσει. ὁ δέ γε διδάσκαλος τὰ προσήκοντα διδάξας οὐκ εἰσπραχθήσεται δίκας, ἀλλὰ σωτηρίας ἀξιωθήσεται. τοῦτο γάρ φησιν, αὐτὸς δὲ σωθήσεται, τουτέστιν ὁ διδάσκων, τὸ δὲ ἔργον κατακαήσεται, ἀντὶ τοῦ οἱ πονηρὸν ἑαυτοὺς κατασκευάσαντες ἔργον. οὕτως δὲ ἀναγνόντες ἀκριβῶς εὑρήσομεν τὴν τῶν γραμμάτων διάνοιαν. εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός· ἀντὶ τοῦ κατακαυθήσεται αὐτοῦ τὸ ἔργον ὑπὸ τοῦ πυρὸς, αὐτὸς δὲ σωθήσεται, τουτέστιν ὁ διδάσκαλος. οὐ γὰρ αἴτιος τῆς τούτων ἐπὶ τὸ χεῖρον τροπῆς. αὐτὸς γὰρ τὴν προσήκουσαν διδασκαλίαν προσήνεγκεν.

Καθ᾽ ἕτερον δὲ τρόπον ἔπειτα ἑρμηνεύει. εἰ δέ τις οὐ βούλεται τὸ, ὡς διὰ πυρὸς τῷ ἔργῳ προσαρμόσαι, ἀλλὰ τῷ διδασκάλῳ, οὕτως νοησάτω. ὅτι παρὰ μὲν ἐκείνων οὐκ εἰσπραχθήσεται δίκας, σωθήσεται δὲ διὰ πυρὸς καὶ αὐτὸς δοκιμαζόμενος, εἴπερ ἄρα ἔχει τὸν βίον τῇ διδασκαλίᾳ κατάλληλον. Ἐν ἀμφοτέραις δὲ ταῖς ἐξηγήσεσιν ὁ Θεοδώρητος τὴν λέξιν τοῦ, σωθήσεται ἐπὶ καλοῦ, καὶ σωτηρίας λαμβάνει, ὡς καὶ ὁ Βασίλειος, καὶ Οἰκουμένιος, καὶ οἱ λοιποί.

Ὁ αὐτὸς Θεοδώρητος ἐν τῷ γ. κεφαλ. τοῦ Μαλαχίου ἐξηγούμενος ἐκεῖνα τὰ ῥήματα, αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων, καθιεῖται χωνεύων, καὶ καθαρί-

ζων

ninibus bonis, & sanctis, quia nemo sine crimine, nisi solus Deus. Ex hoc autem potest colligi, quod dantur peccata venialia, quæ hæretici non admittunt.

Theodoretus dupliciter exponit textum Apostolicum, vnò quidem modo ità. Doctores diuina docent, auditores verò iuxta libitum cognitionis faciendum eligunt; sed die manifestationis Saluatoris examen erit, & excussio diligens. Et eos, qui rectè vixerunt, vt aurum, & argentum ignis illustriores reddet. Operatores verò malitiæ instar lignorum, & fœni, & stipulæ penitus destruet. Doctor verò, qui conuenientia docuit, non punietur, sed dignus fiet, vt salutem consequatur: hoc enim, inquit, ipse verò saluabitur, hoc est, qui docet; opus verò comburetur, pro, qui se ipsos malignum opus præpararunt. Sic verò legentes diligenter reperiemus mentem Scripturæ, si cuius opus arserit detrimentnm patietur, sic verò tanquam per ignem, pro comburetur ipsius opus ab igne, ipse verò saluabitur, hoc est Doctor. Non enim causa est in peius horum mutationis, ipse enim conuenientem doctrinam attulit.

Alio verò modo sic exponit; Si quis verò illud tanquam per ignem non vult operi aptare, sed Præceptori, sic exponat, quod pro ijs, quæ rectè docuit, non luet pœnas, sed saluabitur per ignem, & ipse probatus. Si quidem habet vitam doctrinæ correspondentem. In vtrisque verò expositionibus Theodoretus vocem, saluabitur, in bonam partem accipit, vt etiam Basilius, & Oecumenius, & reliqui.

Idem Theodoretus in 3. capite Malachiæ exponens illa verba; Ipse ingreditur quasi ignis conflans, & quasi herba fullonum, & sedebit conflans, & emundans argentum, & aurum, & purgabit filios Leui, & colabit eos, quasi aurum, & argentum, infert. Sic etiam B. Paulus ait; quoniam

ζων ὡς τὸ ἀργύριον, καὶ τὸ χρυσίον, καὶ καθαριεῖ τοὺς υἱοὺς λευΐ, καὶ χεεῖ αὐτοὺς, ὥσπερ τὸ χρυσίον καὶ τὸ ἀργύριον· φάσκει ἐπάγων. οὕτω καὶ ὁ μακάριος Παῦλος φησὶν, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. εἴτινος τὸ ἔργον μενεῖ, ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται, εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται. ἡγοῦμαι δὲ διὰ τῶν εἰρημένων τὸν προφήτην μὴ μόνον ἐκεῖνο σημαίνειν, ἀλλὰ καὶ τὴν τοῦ ἁγίου πνεύματος κάθαρσιν, καὶ γὰρ ἐν τούτῳ γε μυστικῶς τοὺς προσιόντας ἀναχωνεύει, καὶ νεουργεῖ τῷ πυρὶ τοῦ πνεύματος χρώμενος· οὕτω γὰρ καὶ ὁ μέγας Ἰωάννης φησὶν, αὐτὸς ἡμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί. (μιμεῖται τὸν Βασίλειον) καὶ μέντοι καὶ τῇ θείᾳ χάριτι χρώμενος καθάπερ τινὶ πόᾳ τῶν ἁμαρτημάτων ἐκκαθαίρει τὸν ῥύπον. συνάπτων οὖν ὁ Θεοδώρητος τῷ Μαλαχίᾳ τὸν Παῦλον, δύναται ἐπὶ καθάρσει, καὶ τὸ τοῦ Παύλου κατὰ τὸν Θεοδώρητον λαμβάνεσθαι. Φέρεται δὲ τοῦ Θεοδωρήτου γνώμη τις θαυμαστὴ, καὶ λαμπροτάτη, οὕτως ἔχουσα. τοῦτο τὸ πῦρ πιστεύομεν καθαρτήριον, ἐν ᾧ καθαρίζονται αἱ ψυχαὶ καθάπερ χρυσίον ἐν χωνευτηρίῳ.

Ἀλλὰ ταύτην τὴν γνώμην οἱ γραικοὶ οὐκ ἀποδέχονται. καὶ τί πρὸς ἡμᾶς; εἰ κατὰ τὸ αὐτῶν παλαιὸν ἔθος οἱ μεταγενέστεροι τῶν γραικῶν ἐξήλειψαν ταύτην, καὶ ἀφανισμῷ παρέδωκαν; ἥτις μέντοι παρὰ τοῖς λατίνοις εὑρίσκεται, καὶ τοῖς ἀρχαιοτέροις ἀντιγράφοις ἑλληνιστὶ γραφεῖσα φαίνεται.

Νῦν ἐλθέτω εἰς τὸ μέσον καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος καὶ τῷ μεγάλῳ Βασιλείῳ κατὰ πάντα ὁμόφρων. ὅστις ἐν τῷ εἰς τὴν ἁγίαν πεντηκοστὴν ἐξηγούμενος ἐκεῖνα, τὰ ῥήματα, ἐν γλώσσαις πυρίναις· ἐν γλώσσαις φησὶ, διὰ τὴν πρὸς τὸν λόγον οἰκείωσιν. πυρίναις δὲ ζητῶ πότερον διὰ τὴν κάθαρσιν. οἶδε γὰρ ὁ λόγος ἡμῶν καὶ πῦρ καθαρτήριον, ὡς πολλαχόθεν βουλομένοις ὑπάρχει μαθεῖν. ἢ διὰ τὴν οὐσίαν. πῦρ γὰρ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν. καὶ ἐν τῷ εἰς τὸ ἅγιον βάπτισμα τρανῶς φησὶν, οἶδα πῦρ καθαρτήριον, ὃ Χριστὸς ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς, πῦρ καὶ αὐτὸς ἀναγωγῆς λόγοις

καλού-

iam in igne reuelabitur, & vniuscuiusque opus, quale sit, gnis probabit. Si cuius opus manserit, quod superædicauit, mercedem accipiet; si cuius opus arserit, detrimentum patietur. Existimo autem prædictis verbis Prophetam, non solum illud significare, verum etiam purgationem Spiritus sancti. Etenim in hoc mysticè accedentes onflat, & renouat igne Spiritus vtens, sic etiam & magnus Ioannes fatetur, Ipse vos baptizabit in Spiritu sancto, & igne (imitatur magnum Basilium) & profectò diuina gratia etiam vtens, veluti quadam herba sordes peccatorum expurgat. Igitur Theodoretus coniungens Paulum cum Malachia Propheta, iuxta eius sententiam potest textum Pauli pro purgatione accipere. Fertur verò Theodoreti sententia quædam mira, & illustrissima, quæ sic habet: Hunc credimus ignem purgatorium quo purgantur animæ tanquam aurum in conflatorio.

Cæterum hanc sentētiam Græci non recipiunt, sed quid ad nos? si posteriores Græcorum secundum antiquum ipsorum morem hanc delerunt, & obliterarunt. Quæ tamen apud Latinos extat, & in antiquis exemplaribus apparet fuisse græcè scripta.

Nunc prodeat in medium etiam Magnus in Theologia Gregorius, & magno Basilio in omnibus consentiens, qui oratione in sanctam Pentecostem exponēs illa verba, quod Spiritus apparuerit in linguis igneis: In linguis, inquit, propter cognationem eam, quam cum Verbo habet. Cur autem in linguis igneis? vtrum propter purgationem (ignis enim Purgatorij Scriptura meminit, quemadmodū cuiuis discere promptum est) an verò propter essentiam? Deus enim noster ignis est, & quidem ignis improbitatem absumens. Et in oratione de baptismo; Noui, inquit, ignem purgantem, ad quem mittendum Christus in terram venit, qui & ipse per anagogen, ignis appellatur. Huius porrò

ignis

καλούμενος. ἀναλωτικὸν τοῦτο τῆς ὕλης, καὶ τῆς πονηρᾶς ἐστὶν ἕξεως, ὃ καὶ ἀναφθῆναι τάχιστα βούλεται, ποθεῖ γὰρ τῆς εὐεργεσίας τὸ τάχος, ἐπεὶ καὶ πυρὸς ἄνθρακας δίδωσιν ἡμῖν εἰς βοήθειαν. οἶδα καὶ πῦρ οὐ καθαρτήριον, ἀλλὰ κολαστήριον, εἴτε καὶ σοδομητικὸν, ὃ πᾶσιν ἁμαρτωλοῖς ἐπιβρέχει θείῳ, καὶ καταιγίδι μιγνύμενον. Ταῦτα εἰσὶ φανερὰ τοῖς ὀρθῶς νοοῦσι, καὶ συμφωνοῦσι τῷ μεγάλῳ Βασιλείῳ ἐν οἷς φησὶν (ὡς ἀνωτέρω φθάσαντες εἴπομεν) ὅτι τὰ γήϊνα τῷ πυρὶ τῷ κολαστικῷ παραδίδοται ἐπ᾽ εὐεργεσίᾳ τῆς ψυχῆς, καθὰ καὶ ὁ κύριος ὑποφαίνει λέγων, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον, εἰ ἤδη ἐκάη; ἐπ᾽ εὐεργεσίᾳ φησὶ τῆς ψυχῆς, ὁ γὰρ ἀπόστολος λέγει, οὗτος δὲ σωθήσεται οὕτως ὡσεὶ διὰ πυρός. διὸ καὶ ὁ Θεολόγος ἐπάγει λέγων, ποθεῖ γὰρ τῆς εὐεργεσίας τὸ τάχος. ὥστε περὶ πυρὸς καθαρτικοῦ ἀγαθοῦ ἀναλωτικοῦ τῆς ὕλης, καὶ τῆς πονηρᾶς ἕξεως φθέγγεται ὁ Γρηγόριος. Τοῦτο ὁ μέγας Βασίλειος ὀνομάζει κολαστικόν. διότι τούτῳ προσκαίρως κολάζονται, καὶ καθαίρονται αἱ ψυχαὶ, καὶ ἔστι τὸ πῦρ τὸ αὐτὸ τῆς γεέννης διαφόρως κολάζον, καὶ ἐργαζόμενον, καθάπερ φησὶν ὁ μέγας Γρηγόριος ὁ διάλογος, ὁ ἥλιος κατὰ τὴν διαφορὰν τῶν ὑποκειμένων διάφορα ἐνεργεῖ καὶ τὰ ἀποτελέσματα. ὁ δὲ Γρηγόριος ἵνα νοήσωμεν κολαστικὸν, τὸ ἀτελεύτητον προστίθησιν, εἴτε σοδομητικόν. ὅπερ ἐν τῷ εἰς τὰ φῶτα περὶ τὸ τέλος προσαγορεύει τελευταῖον βάπτισμα, οὑτωσὶ γράφων κατὰ Ναυάτου καὶ τῶν κατ᾽ αὐτόν. τυχὸν ἐκεῖ τῷ πυρὶ βαπτισθήσονται τῷ τελευταίῳ βαπτίσματι τῷ ἐπιπονωτέρῳ, καὶ μακροτέρῳ, ὃ ἐσθίει ὡς χόρτον τὴν ὕλην, καὶ δαπανᾷ πάσης κακίας κουφότητα. Ὁ δὲ Δαμασκηνὸς, κατὰ μίμησιν τούτων τῶν διδασκάλων διαιρῶν τὸ βάπτισμα ἐν τῷ. πϛ. κεφαλ. τοῦ τετάρτου βιβλίου τῶν θεολογικῶν, καὶ ἐξηγούμενος ἐκεῖνα τὰ ῥήματα, ἐν πνεύματι ἁγίῳ, καὶ πυρὶ, φησί. πυρὶ δὲ λέγεται βαπτίζειν Χριστὸς, ἐν εἴδει γὰρ πυρίνων γλωσσῶν ἐπὶ τοὺς ἁγίους ἀποστόλους τὴν τοῦ πνεύματος χάριν ἐξέχεεν, ὡς φησιν αὐτὸς ὁ κύριος, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμᾶς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ, καὶ πυρὶ

nis ea est vis, vt crassiorem materiam, vitiosamq; animi
nstitutionẽ absumat, eumq; proinde celerrimè Christus
cendi vult. Cupit enim nos quamprimũ beneficio affici,
potè qui nobis quoque ignis carbones auxilij causa por-
gat. Noui etiam alterum ignẽ non purgatorium, sed sce-
rum vindicem, siue sodomiticum, quem sulphure, & pro-
lla permixtũ Deus in peccatores omnes fundit. hæc cla-
sunt rectè intelligentibus, & cõcordant cum magno Ba-
io in ijs, quæ paulo superius retulimus, quoniam terrena
ne punitiuo traduntur in beneficio animi. Quemadmodũ
Dominus subostendit dicens, Ignem veni mittere in ter-
m, & quid volo nisi vt ardeat? in beneficio, inquit, animę;
Apostolus dicit, hic verò saluabitur sic, quasi per ignẽ.
circò & Theologus infert dicẽs, Cupit enim beneficij ce-
ritatem. Itaque de igne purgatorio bono, qui consumit
ateriam, & malignũ habitum, loquitur Gregorius. Hunc
rò magnus Basilius nominat punitiuum, quoniam hoc ad
mpus puniuntur, & purgantur animæ, & est iste ignis idẽ,
ui gehennæ diuersimodè puniẽs, & operans, quemadmo-
ım dicit magnus Gregorius Dialogus, sed iuxta diuersi-
tem subiectorũ diuersa exercet & effecta. Gregorius ve-
, vt intelligamus per ignẽ punitiuum eum qui caret fine,
ldit, siue sodomiticũ, quem in oratione in Sancta lumina
rca finem appellat postremum baptisma, sic scribens ad-
ersus Nouatũ, & suos sequaces, In altero æuo igne fortas-
baptizabuntur, qui postremus est baptismus, nec solum
erbior, sed & diuturnior, qui crassam materiã instar fœni
epascitur, vitijq; omnis leuitatem absumit. Damascenus
erò ad imitationẽ horum Doctorum baptismum diuidit in
uersa significata, in 76. cap. quarti libri Theologicorũ, &
xponens illa verba, In Spiritu sancto, & igne, ait, Igne verò
citur Christus baptizare, nam in specie ignearũ linguarũ
per sanctos Apostolos gratiam Spiritus effudit, vt inquit

οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. ἢ διὰ τὸ τοῦ μέλλοντος πυρὸς κολαστικὸν βάπτισμα. κολαστικὸν βάπτισμα ὀνομάζει καθὼς καὶ ὁ μέγας Βασίλειος τὸ προσκαιρον πῦρ, καὶ καθαρτήριον, καὶ τοῦτο τίθησιν ἐν τῇ διαιρέσει ἕκτον. κατωτέρω δὲ μετὰ τοῦ Γρηγορίου τελευταῖον τίθησι βάπτισμα ὄγδοον, ὅπερ ἀποφαίνεται μὴ εἶναι σωτήριον (ὥστε τὸ ἀνωτέρω ἕκτον κολαστικὸν. εἶναι σωτήριον) ἀλλὰ τῆς μὲν κακίας ἀναιρετικὸν, οὐκ ἔτι γὰρ κακία, καὶ ἁμαρτία πολιτεύεται. κολάζον δὲ ἀτελεύτητα (ὥστε τὸ ἀνωτέρω πέμπτον μὴ κολάζειν ἀτελεύτητα. τὸ δὲ ἐν πνεύματι ἁγίῳ, καὶ πυρὶ περὶ τοῦ Δαμασκηνοῦ ὁ μέγας Βασίλειος λαμβάνει ἐπὶ καλοῦ φάσκων, τρανῶς τὰ αὐτὰ τῷ Ἰωάννῃ ὁ λόγος προαγορεύει, περὶ τοῦ κυρίου λέγοντι, ὅτι αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί. περὶ δὲ ἑαυτοῦ, ὅτι ἐγὼ μὲν ἡμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν. ἐπεὶ γοῦν ἀμφότερα συνῆψεν ὁ κύριος τό, τε ἐξ ὕδατος εἰς μετάνοιαν, καὶ τὸ ἐκ πνεύματος εἰς ἀναγέννησιν, καὶ ὁ λόγος αἰνίττεται ἀμφότερα τὰ βαπτίσματα. μήποτε τρεῖς εἰσὶν αἱ ἐπίνοιαι τοῦ βαπτίσματος, ὅ, τε τοῦ ῥύπου καθαρισμὸς, καὶ ἡ διὰ τοῦ πνεύματος ἀναγέννησις, καὶ ἡ ἐν τῷ πυρὶ τῆς κρίσεως βάσανος. ὥστε τὸ μὲν ἐκπλυνεῖν πρὸς τὴν ἀπόθεσιν τῆς ἁμαρτίας λαμβάνεσθαι. τὸ δὲ πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως πρὸς τὴν ἐν τῷ μέλλοντι αἰῶνι διὰ τοῦ πυρὸς δοκιμασίαν. συνῳδὰ λέγει καὶ ὁ Γρηγόριος ἐν τῷ εἰς τοὺς καλέσαντας, καὶ μὴ ἀπαντήσαντας, περὶ τὸ τέλος. ἐποικοδομοῦντες τῷ θεμελίῳ τῆς πίστεως μὴ ξύλον, μηδὲ χόρτον, μηδὲ καλάμην ὕλην ἀσθενῆ, καὶ ῥαδίως δαπανωμένην, ἡνίκα ἂν πυρὶ κρίνηται τὰ ἡμέτερα, ἢ καθαίρηται, ἀλλὰ χρυσὸν, ἄργυρον, λίθους τιμίους τὰ μένοντα, καὶ ἱστάμενα. ταῦτα πράσσοιτε. καὶ ἐν τῷ λόγῳ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας σχεδὸν τὰ αὐτὰ λέγει· τοῦτο δηλώσει σαφῶς ἡ τῆς ἀποκαλύψεως ἡμέρα, καὶ τὸ τελευταῖον πῦρ, ᾧ πάντα κρίνεται, ἢ καθαίρεται τὰ ἡμέτερα. ὅπερ οὖν φησὶν ὁ Βασίλειος, ἡ ἐν τῷ πυρὶ τῆς κρίσεως βάσανος, ὁ Γρηγόριος λέγει κρίνηται, ἢ καθαίρηται. καὶ ἐν τῷ τέλει τῆς τοιαύτης ἐξηγήσεως ὁ Βασίλειος προσαρμόζει τοῖς πνεύματι

ipſe Dñs,Quoniam Ioannes quidẽ baptizauit aqua,vos autem baptizabimini in Spiritu ſancto,& igne,nõ poſt multos hos dies. Vel propter futurũ ignẽ punitiuum ſic vocat baptiſmũ. Punitiuum baptiſmum appellat, quemadmodum,& magnus Baſilius temporaneũ ignem,& purgatoriũ, & hunc ponit Damaſcenus in ſexta parte diuiſionis, inferius verò vnà cum Gregorio poſtremũ ponit baptiſma octauum, quẽ oſtendit non eſſe ſalutarẽ. (quare, quẽ ſuperius ſextũ ponit punitiuum,neceſſe eſt eſſe ſalutarẽ) ſed malitię deſtructiuũ, nõ enim amplius malitia,& peccatum geritur, ſed ſine fine punit. Itaque qui ſuperius eſt quintus baptiſmus nõ ſine fine punit. Illud verò in Spiritu ſancto,& igne ante Damaſcenum magnus Baſilius in bonam partẽ accipit dicẽs, Perſpicuè ea ipſa hic ſermo deſignat, quæ Ioannes de Dño dicit, quia ipſe eſt,qui vos baptizabit in Spiritu ſancto,& igne;de ſe ipſo verò, Ego quidem vos baptizo in aqua ad pœnitentiam. Quoniam verò vtraque coniunxit Dñs, illud ẽx aqua in pœnitentiã,& illud ex ſpiritu in regenerationẽ & vtrũq; baptiſma Scriptura deſignat,num fortè tres ſunt baptiſmatis acceptiones? expurgatio,ſcilicet,ſordium,regeneratio per ſpiritũ, & ea q̃ fit in igne ſegregationis probatio. ita vt illud abluet pro depoſitione peccati accipiatur, quæ in hác vita fit. hoc autẽ in ſpiritu iudicij, & ſpiritu ardoris, ad eã referatur probationem, quę per ignem fiet in futuro ſęculo. His conſona docet idem Gregorius,in oratione ad eos,qui acciuerunt,& nõ occurrerũt,circa finẽ: Superſtruentes fundamento fidei,non lignũ,non fœnũ, non ſtipulam (leuẽ materiam,facilèq; cõſumendam, cũ actiones noſtræ igne iudicabũtur,aut purgabuntur) ſed aurum,argentũ,lapides precioſos, res firmas, & ſtabiles, hæc velim faciatis &c. Et in oratione de moderatione in diſputationibus ſeruanda,fermè eadẽ enũciat: hoc reuelationis dies perſpicuè declarabit,ignifq; ille poſtremus, quo noſtra omnia expenduntur,

ματι κρίσεως, καὶ πνεύματι καύσεως δοκιμαζομένοις τὴν κάθαρσιν, λέγων. οἱ δὲ μετὰ τὸ λαβεῖν τὴν ζωὴν ἐπιβουλεύοντες ἑαυτοὺς, αἵματος ὄντες ἔνοχοι, τοῦ ἐκ τοῦ πυρὸς δέονται καθαρισμοῦ. πρὸς τοῦτο δὲ συμβάλλεται κἀκεῖνο τοῦ Γρηγορίου, ἐπεὶ τοῦ πυρὸς ἄνθρακας δίδωσιν ἡμῖν εἰς βοήθειαν. δοκεῖ γάρ μοι ἀφορμὴν πρὸς τὸ τοῦ Ἡσαΐου. λαβὸν γὰρ τὸ Σεραφὶμ διὰ τῆς λαβίδος ἄνθρακα, ἐκάθηρε τὰ χείλη τοῦ προφήτου, ὅθεν ἐπεὶ ὁ Χριστὸς ἐστὶ πῦρ καταναλίσκον ἀναγωγικῶς, οἱ ἱερουργοῦντες τῇ ἱερᾷ κοινωνίᾳ θιγγάνοντες τῶν χειλέων, καὶ ταύτης μετέχοντες φασὶ, τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ κύριος τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ. οὕτω γοῦν καὶ ὁ Θεὸς τῷ πυρὶ τῷ καθαρτηρίῳ καθαρίζει τοὺς δεομένους καθάρσεως.

Ο αὐτὸς Θεολόγος ἐν τῷ λόγῳ εἰς τὸν μέγαν Ἀθανάσιον, αὐτὸν τὸν πολύαθλον ὀνομάζει πῦρ καθαρτήριον τῆς φαύλης ὕλης καὶ μοχθηρᾶς. πάντως οὐκ ἐπὶ κακοῦ λαμβάνων τὴν λέξιν. οὐ γὰρ Ἀθανάσιος ἦν πῦρ αἰώνιον τοῦ ᾅδου, μὴ ἐπαμύνων τοῖς λαοῖς, καὶ ἑαυτοὺς καθαίρων, ἀλλὰ πάντοτε κολάζων.

Καὶ ἐν τῷ λόγῳ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας, διττὸν ἐμπρησμὸν ἐπιγινώσκει ὁ διδάσκαλος καθάρσιον, καὶ ὀλέθριον. τοῦτο οὖν ἐστὶ πῦρ καθαρτήριον. ἐμπρησμὸς καθάρσιος πολλοῖς τῶν σωζομένων οἰκειούμενος, καὶ ἐμπρησμὸς ὀλέθριος τοῖς διαβόλοις, καὶ ἀμετανοήτοις χορηγούμενος.

Οὐ χρὴ δὲ ἀγνοεῖν, ὅτι κοινῇ τὴν θείαν γραφὴν οἱ πανεύφημοι πατέρες, ὅ, τε μέγας Βασίλειος, καὶ ὁ Θεολόγος διεξηγηθέντες, καὶ μυηθέντες, ἥκιστα διαφωνοῦσιν ἀλλήλοις, ἀλλὰ καὶ σφόδρα ὁμονοοῦσιν. Τοῦ γοῦν Βασιλείου φάσκοντος, τὴν παρασκευασθεῖσαν ὕλην ἐκ τῆς ἀνομίας ἀφανισμῷ παραδοθῆναι ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων παρὰ τοῦ ἀγαθοῦ δεσπότου ᾠκονόμηται καὶ ἐὰν γυμνώσωμεν τὴν ἁμαρτίαν διὰ τῆς ἐξομολογήσεως, καὶ ποιήσωμεν αὐτὴν ξηρὰν ἄγρωστιν, ἀξίαν τοῦ ὑπὸ τοῦ καθαρτικοῦ πυρὸς καταβρωθῆναι. τίς οὕτω τολμηρὸς ὥστε φάναι τὸν Γρηγόριον κοινωνὸν ὄντα τῆς φιλίας, καὶ τῶν καλλίστων μαθημά-

των,

ut purgantur. Quod igitur, ait Basilius, quod in igne sit iu·
icij examē, Gregorius dicit iudicabūtur, vel purgabūtur.
it in fine huius expositionis Basilius aptat ijs, qui probātur
piritu iudicij, & spiritu cōbustionis purgationē dicēs. Qui
verò post acceptam vitę notitiam cōsultò, ac studio seipsos
reddunt obnoxios sanguini, opus est, vt tales purgari per
ignē. Ad hoc autem cōducit & illud, quod ait Gregorius,
quando & ignis carbones præbet nobis in auxiliū, videtur
enim mihi respicere ad illud Esaiæ; Accipiens enim Seraphim
phorcipe carbonē, purgauit labia Prophetæ. Quocirca
quia Christus est ignis consumens anagogicè, qui sacris
operantur, sacra cōmunione tangētes propria labia, & eam
participantes, aiunt, Hoc tetigit mea labia, & auferet Dñs
iniquitatés meas, & peccata mea purgabit. Sic igitur &
Deus igne purgatorio purgat eos, qui purgatione indigēt.
Idē Theologus orationē in magnū Athanasium sexcētis in
certaminibus victorē, ipsum appellat ignem purgatorium,
malę & vitiosę materiæ. certe dictionē non in malam partē
accipiens. Non enim, Athanasius, est ignis ęternus Inferni,
nō adiuuans populos, & eos purgans, sed perpetuò puniēs.
Et in oratione de moderatione in disputationibus seruanda,
duplex incendium agnoscit Doctor, alterum, quo animæ
labes expiantur, & applicatur multis, qui saluantur, alterum,
quod est exitiale, ac funestum, quod diabolis, & impœnitentibus
exhibetur:

Est autem obseruandū, quod cū simul Diuinam Scripturam
celebratissimi Patres, magnus, inquā, Basilius, & Theologus
percurrerint, & edocti fuerint, nulla ratione inuicem
dissentiunt, sed & validè cōueniunt, cum igitur Basilius dicat,
Paratam ex iniquitate materiam aboleri pro hominum
beneficio à bonitate Dñi constitutum esse, & si per confessionē
peccatum aperuerimus, siccum id gramen reddētes,
à purgatorio igne deuorari merebitur, Quis adeò audax est,

vt dicat,

των, μὴ κοινωνεῖν κατὰ πᾶν δόγμα καὶ τοῖς νοήμασι τῷ μεγάλῳ Βασιλείῳ;

Ποῦ δὲ θήσομεν τὸν ἀδελφὸν Βασιλείου Γρηγόριον τὸν Νήσσης; ὅστις ἐν τῷ λόγῳ περὶ τῶν πρὸ ὥρας ἀφαρπαζομένων νηπίων, ζητεῖ, πῶς περὶ τῶν οὕτω τετελευτηκότων χρὴ φρονεῖν, καὶ ἔχει; ὄψεται ἆρα κἀκείνη ἡ ψυχὴ τὸν κριτήν; παραστήσεται μετὰ τῶν ἄλλων τῷ βήματι; ὑφέξει τῶν βεβιωμένων τὴν κρίσιν; λήψεται τὴν κατ' ἀξίαν ἀντίδοσιν; ἢ πυρὶ καθαιρομένη κατὰ τὰς τοῦ εὐαγγελίου φωνάς; ἢ τῇ δρόσῳ τῆς εὐλογίας ἐναπεψύχουσα; φωνὰς τοῦ εὐαγγελίου ὁ Νύσσης νοεῖ, ἅς τινας ὁ ἀδελφὸς αὐτοῦ Βασίλειος παρεισάγει εἰς τὸν Ἡσαΐαν, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη. ὁ δὲ προστιθεὶς σχόλιον ἐν τοῖς λόγοις τὸν Νύσσης λέγων σαφῶς, ὅτι καθάρσιον πῦρ ὁ πατὴρ (δηλονότι ὁ Νύσσης) τὰς μετὰ τὴν τελευτὴν ἑκάστου τῶν ἡμαρτηκότων, καὶ μὴ μετανοησάντων ἀξίως πρὸ τελευτῆς ἐν φλογὶ βασάνους φησὶ κατὰ τὴν ἐν τῷ εὐαγγελίῳ παραβολὴν περί τε τοῦ πλουσίου, καὶ τοῦ Λαζάρου, οὑτωσὶ ταῦτα λέγων, αἱρετικός ἐστι, καὶ κακῶς ἐξηγεῖται τὰς θείας φωνάς. Τὸ γὰρ πῦρ τὸ αἰώνιον οὐ καθαίρει τοὺς ῥύπους τῶν βασανιζομένων, καθάπερ ἐνταῦθα μαρτυρεῖ ὁ διδάσκαλος. Καὶ σημείωσαι ὅτι τὴν οὖσαν ἱστορίαν, ὡς παραβολὴν δέχεται ὁ παρερμηνευτής. ὅτι δὲ ἱστορία, δῆλον ἐξ αὐτῶν τῶν ὀνομάτων τοῦ Ἀβραάμ, τοῦ Λαζάρου, καὶ τῶν πέντε ἀδελφῶν τοῦ πλουσίου εἰ καὶ ὡς παραβολὴν ταύτην ὁ Χριστὸς προβάλλεται. οὔπω γὰρ τῆς ἐσχάτης ἀναστάσεως γενομένης, οὐκ ἔστιν εὑρεῖν ἐκεῖ γλῶσσαν, καὶ δίψαν, καὶ τὰ ἐν τῇ ἱστορίᾳ εὑρισκόμενα. Ὁ αὐτὸς διδάσκαλος ἐν τῷ λόγῳ πρὸς τοὺς πενθοῦντας ἐπὶ τοῖς ἀπὸ τοῦ παρόντος βίου πρὸς τὸν ἀΐδιον μεθισταμένοις περὶ τοῦ καθαρτηρίου πυρὸς οὕτω διέξεισιν. Ἰσόθεον γάρ ἐστι τὸ αὐτεξούσιον. ὡς ἂν οὖν καὶ ἡ ἐξουσία μένοι τῇ φύσει, καὶ τὸ κακὸν ἀπογένοιτο, ταύτην εὗρεν ἡ Σοφία τοῦ Θεοῦ τὴν ἐπίνοιαν, τὸ ἐᾶσαι τὸν ἄνθρωπον, ἐν οἷς ἐβουλήθη γενέσθαι, ἵνα γευσάμενος τῶν κακῶν. ὧν ἐπεθύμησε, καὶ τῇ πείρᾳ μαθὼν, οἷα ἀνθ' οἵων

ἠλλά-

vt dicat; Gregorium, qui ſocius eſt amicitiæ, & præclarorum ſtudiorum, non etiam eum eſſe participem magno Baſilio intelligentia in omni dogmate?

Quo loco verò ponemus fratrē Baſilij magni, Gregoriū Nyſſenum; qui in oratione de infantibus, qui prę maturè abripiuntur, quærit nō longè à principio, quid de his ſentiendū ſit, quomodo de his, qui hoc pacto obierunt, iudicandū? aſpiciet ne & illa anima iudicem? ſiſtetur & illa cū cæteris ante Tribunal? ſubibit anteactæ vitæ iudiciū? dabit ne dignas pœnas expurgata igni, iuxta Euangelij dicta? An verò potius rore benedictionis erit recreata? Dicta Euangelij Nyſſenus intelligit, quæ frater eius Baſilius adducit in Eſaiam, Ignem veni mittere in terram, & quid volo, niſi vt ardeat? Qui autē addit ſcholium in verbis Nyſſeni dicens, Perſpicuum eſt, quod purgatoriū ignē Nyſſenus pœnas intelligat poſt obitū vniuſcuiuſque, qui peccarunt, & nō egerūt dignam pœnitentiam ante mortē, ſecundum Euangelicam parabolam de diuite, & Lazaro; hęc aſſerēs hæreticus eſt, & prauè exponit diuinas voces. Ignis enim perpetuus non purgat ſordes eorū, qui puniuntur, quemadmodum hic teſtatur Doctor. Et nota, quod hiſtoriam vt parabolam accipit; qui prauè interpretatur. Quod autē ſit hiſtoria, conſtat ex ipſis nominibus Abrahami, Lazari, & quinque fratrū diuitis, quamuis vt parabolā ipſam Chriſtus proponat: nondum enim facta poſtrema reſurrectione nō eſt reperire ibi linguam, & ſitim, & quæ reperiuntur in hiſtoria. Idē auctor in oratione ad eos, qui lugent eos, qui ex hac vita ad ſempiternam tranſmigrant, de purgatorio igne ita diſſerit. Liberū enim volūtatis arbitrium eſt honor diuino ęqualis. Quamobrē vt ſimul & humanæ naturę relinqueretur dignitas liberæ voluntatis, & ipſum auferretur malū, hanc diuina Sapientia rationē excogitauit, vt in ijs hominē eſſe ſineret, quæ ſibi ipſe elegiſſet, quo guſtatis malis, quæ concupiuerat,

ἀλλάξατο, παλινδρομήσῃ διὰ τῆς ἐπιθυμίας ἑκουσίως πρὸς τὴν προτέραν μακαριότητα, ἅπαν τὸ ἐμπαθές τε, καὶ ἄλογον, ὥσπερ τι ἄχθος ἀποσκεδάσας τῆς φύσεως. ἤτοι κατὰ τὴν παροῦσαν ζωὴν διὰ προσευχῆς τε, καὶ φιλοσοφίας ἐκκαθαρθεὶς, ἢ μετὰ τὴν ἐνθένδεν μετανάστασιν, διὰ τῆς τοῦ καθαρσίου πυρὸς χωνείας. ἐξηγούμενος δὲ φανερώτερον τοῦτο, προστίθησιν μεταφορὰν, καὶ παράδειγμα ἐπιστημονικωτάτου ἰατροῦ. ὥσπερ γὰρ, φησὶν, εἴ τις ἰατρικὸς ὢν, καὶ πᾶσαν ἐπιστήμην τῶν τε σωτηρίων, καὶ τῶν δηλητηρίων ἐκ τέχνης ἔχων, συμβουλεύων τῷ μειρακίῳ τὰ δέοντα, μὴ δυνηθείη διὰ συμβουλῆς κωλῦσαι τὸν ἀτελῆ κατὰ τὴν ἡλικίαν τε, καὶ τὴν φρόνησιν, ἐπιθυμητικῶς πρός τινα φθοροποιὸν καρπὸν, ἢ πόαν διατεθέντα, ἔχων δὲ παντοίαν τῶν ἀλεξιφαρμάκων παρασκευὴν, ἐπιτρέψει τῷ παιδὶ μεταχεῖν τῶν βλαπτόντων, ἐφ᾽ ὧτε διὰ τῆς τῶν ἀλγεινῶν πείρας τὸ χρήσιμον τῆς πατρῴας συμβουλῆς μαθόντα, καὶ ἐν ἐπιθυμίᾳ τῆς ὑγιείας γενόμενον, πάλιν διὰ τῶν ἀλεξιτηρίων ἐπαναγάγῃ πρὸς ὑγείαν τὸν παῖδα, ἧς διὰ τῆς ἀτόπου τῶν δηλητηρίων ἐπιθυμίας ἐξέπεσεν, οὕτως ὁ γλυκύς τε, καὶ ἀγαθὸς τῆς φύσεως ἡμῶν πατὴρ, ὁ εἰδὼς, καὶ δι᾽ ὧν σωζόμεθα, ἐγνώρισε μὲν τῷ ἀνθρώπῳ τὸ δηλητήριον, καὶ τὸ μὴ μεταχεῖν συνεβούλευσε, κρατησάσης δὲ τῆς ἐπιθυμίας τοῦ χείρονος, οὐκ ἠπόρησε τῶν ἀγαθῶν ἀντιφαρμάκων, δι᾽ ὧν ἐπαναγάγῃ πάλιν πρὸς τὴν τῆς ἀρχῆς ὑγείαν τὸν ἄνθρωπον: Ἐν τῷ τέλει δὲ τῆς τοιαύτης γνώμης φησὶ, μὴ δύνασθαι τὸν τοιοῦτον μεταχεῖν τῆς θειότητος, μὴ τοῦ καθαρσίου πυρὸς τὸν ἐμμιχθέντα τῇ ψυχῇ ῥύπον ἀποκαθήραντος. ἐν τῷ αὐτῷ χωρίῳ ὁ αὐτὸς διδάσκαλος διχῇ διαιρεῖ τοὺς ἀνθρώπους τοὺς τυχόντας τῆς δόξης. Τῶν μὲν, φησὶν, ἐντεῦθεν ἤδη διὰ τῆς ἐν σαρκὶ ζωῆς ἐν ἀπαθείᾳ κατορθούντων βίον, οἵους γεγενῆσθαι τοὺς πατριάρχας τε, καὶ τοὺς προφήτας ἀκούομεν, καὶ τοὺς σὺν αὐτοῖς τε, καὶ μετ᾽ ἐκείνους δι᾽ ἀρετῆς τε, καὶ φιλοσοφίας ἀναδραμόντας ἐπὶ τὸ τέλειον, μαθητὰς λέγω, καὶ ἀποστόλους, καὶ μάρτυρας, καὶ πάντας τοὺς τὴν ἐνάρετον ζωὴν πρὸ τοῦ ὑλικοῦ τετιμηκότας βίου.

rat, experiendoq; discens, quæ quibus commutasset, ea cupiditate rursum incenderetur, vt vitiorum, perturbationumq; quæ rationi inimicæ sunt, onere deposito, vel in præsenti vita precibus, sapiētiæq; studio purgatus; vel post obitum per expurgantis ignis fornacem expiatus, ad pristinam vellet redire felicitatem: exponens autem hoc clariùs addit metaphoram, & exemplum scientissimi medici, qui cum non possit adolescentulo persuadere, vt abstineat à nonnullis noxijs ferculis, seu fructibus, permittit quidem illi vt vescatur, eò quod habeat antidotum, quo potest eum in pristinum statum reducere; Ita humanæ naturæ dulcissimus, atque optimus parens, cū quæ salutaria, quæque perniciosa essent homini planè nosset, illum admonuit, ne perniciosa contingeret; verum cum rei deterioris cupiditate victus esset, medicamentis non indiguit, quibus eum ad pristinam sanitatem reuocaret. In cuius sententiæ finem hæc inserit: Cum non possit is diuinitatis particeps fieri, nisi maculas animo immixtas purgatorius ignis abstulerit.

In eodē loco idem Doctor dupliciter diuidit homines, qui assecuti sunt gloriam, in eos scilicet, qui iam inde ab eo tempore, quo viuunt hic spiritalem, & à vitijs, ac perturbationibus alienam vitam instituunt, quales intelligimus Patriarchas, & Prophetas extitisse, & qui vna cum ipsis, & post ipsos virtutem, & sapientiæ studium ad perfectionem se erexerunt, Discipulos, & Apostolos, & Martyres dico, & quicunque corporeo in materiaq; demerso, honestum, & cum virtute coniunctum viuendi genus anteposuerunt; qui licet numero pauciores fuerint, quam illi, qui ad deteriora deflexerunt, exemplo tamen, ac testimonio suo virtutem in carne coli, compararíq; posse testantur. & eos, qui post hanc vitam purgatorio igne materiæ labem, & propensionem ad malum abstergunt, & ad gratiam initio naturæ concessam, voluntaria bonorum

οἳ κἂν ἐλάττους ὦσι τῷ ἀριθμῷ τοῦ πλήθους τῶν πρὸς τὸ χεῖρον ἐπιῤῥεόντων, οὐδὲν ἧττον τὸ, δυνατὸν εἶναι διὰ σαρκὸς τὴν ἀρετὴν κατορθῶσαι μαρτυροῦνται. Τῶν δὲ λοιπῶν διὰ τῆς εἰς ὕστερον ἀγωγῆς ἐν τῷ καθαρτηρίῳ πυρὶ ἀποβαλόντων τὴν πρὸς τὴν ὕλην προσπάθειαν, καὶ πρὸς τὴν ἐξ ἀρχῆς ἀποκληρωθεῖσαν τῇ φύσει χάριν, διὰ τῆς τῶν ἀγαθῶν ἐπιθυμίας ἑκουσίως ἐπανιόντων. Ταῦτα ὁ διδάσκαλος καὶ λόγοις, καὶ παραδείγμασι στηρίξας, καὶ πολυπλασιάσας, συνίστησι τὴν ἀλήθειαν.

Ἀλλ' ἄδικος ἂν εἴην, μὴ δ' ὅλως μνημονεύσας τὴν ἀοίδιμον παρθένον, καὶ σοφωτάτην διδάσκαλον Μακρίναν, τὴν ἐν ταῖς θεοπνεύστοις γραφαῖς, τῷ γνησιωτάτῳ ἀδελφῷ τῷ μεγάλῳ Βασιλείῳ ἐς ἄκρον πεπαιδευμένην. ἧς ὁ ἕτερος ἀδελφὸς Γρηγόριος ὁ Νύσσης τοὺς λόγους περὶ ψυχῆς, καὶ ἀναστάσεως συνθέμενος ἐν εἴδει διαλέξεως ἐπεγράψατο τὰ Μακρίνια. ἐν οἷς φέρεται ἡ χρυσὴ αὕτη γνώμη, ὅτι δεῖ τὴν ψυχὴν, τὴν καθ' ὁμοίωσιν τοῦ Θεοῦ γεγενημένην, πρὸς αὐτὸν ἐπανιέναι, οὐκ ἐπάνεισι δὲ, εἰμὴ κεκαθαρμένη, καθαίρεται δὲ διὰ πυρὸς μετὰ τοῦτον τὸν βίον ἡτοιμασμένου. Ταύτην οὖν τὴν γνώμην κατὰ τὸ εἰωθὸς οἱ ἡμέτεροι Γραικοὶ ἐξείληφαν, ὅμως γε μέντοι ἐν τοῖς ἔμπροσθεν τοῦ λόγου τὸ αὐτὸ τοῦτο συνάγεται, ἐν οἷς, φησὶν ὁ ἅγιος, σκοπὸν εἶναι τῷ Θεῷ ἕνα τὸ, τελειωθέντος ἢ διὰ τὸν καθ' ἕκαστον ἄνθρωπον, παντὸς τοῦ τῆς φύσεως ἡμῶν πληρώματος, τῶν μὲν εὐθὺς ἤδη κατὰ τὸν βίον τοῦτον ἀπὸ κακίας κεκαθαρμένων· Τῶν δὲ μετὰ ταῦτα διὰ τοῦ πυρὸς τοῖς καθήκουσι χρόνοις ἰατρευθέντων, τῶν δὲ ἐπίσης, καὶ τοῦ καλοῦ, καὶ τοῦ κακοῦ τὴν πεῖραν παρὰ τὸν τῆδε βίον ἀγνοησάντων, πᾶσι προθεῖναι τὴν μετουσίαν τῶν ἐν αὐτῷ καλῶν, ἅπερ φησὶν ἡ γραφὴ, μήτε ὀφθαλμὸν ἰδεῖν, μήτε ἀκοὴν δέξασθαι, μήτε λογισμοῖς ἐφικτὸν γενέσθαι. καὶ ἐν τῷ τέλει τοῦ λόγου φησὶ, τῶν τοιούτων οὖν ταῖς διὰ πυρὸς ἰατρείαις ἐκκαθαρθέντων τε, καὶ ἀφανισθέντων, ἕκαστον τῶν πρὸς τὸ κρεῖττον νοουμένων ἀντεπελεύσεται ἡ ἀφθαρσία, ἡ ζωὴ, ἡ τιμὴ, ἡ χάρις, ἡ δόξα, ἡ δύναμις, καὶ εἴτι ἄλλο τοιοῦτον, ἔν τε τῷ Θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν,

cupiditate redeunt. Hæc Nyssenus, qui & rationibus, & exemplis ea confirmando, & multiplicando verum adstruit.

Sed iniquus essem si omnino inclytam Virginem, & sapientissimam Magistram Macrinam non commemorarem, quam in sacris literis germanissimus eius frater Magnus Basilius ad summum sapientiæ gradum edocuit. Cuius alter frater Gregorius Nyssenus sermones de anima, & resurrectione per modum Dialogi, & disputationis composuit, quæ Macrinia inscripsit, in quibus fertur hæc aurea sententia: Quod opus sit animam, quæ secundum similitudinem Dei creata est, ad ipsum redire, non redit autem nisi purgata, non purgatur autem nisi per ignem paratum post hanc vitam. Hanc igitur sententiam iuxta consuetudinem nostrates Græcorum obliterarunt; nihilominus in consequentibus verbis, hoc idem colligitur, in quibus ait Sanctus: Propositum, atque consilium Dei hoc vnum esse, vt omni naturæ nostræ plenitudine singillatim per quosque homines iam perfecta, & absoluta, cum alij quidem iam statim per hanc vitam a vitiositate expiati, alij verò posthac, conuenientibus temporibus per ignem curati fuerint; alij autem ex æquo boni simul ac mali scientiam, atque experientiam per hanc vitam non habuerint, omnibus proponat participationem, & vsum bonorum, quæ in ipso sunt, quæ bona scriptura neque oculum vidisse, neque auribus accepisse, neque cogitationibus, & ratiocinationibus assequi, atque comprehendi posse dicit. Et in fine illius sermonis dicit: Talibus igitur cura conuenienti per ignem expurgatis, & expiatis quicquid in meliorem partem intelligitur, inuicem, & in locum eorum succedet, incorruptibilitas, vita, honor, gratia gloria, potentia, & si quid aliud eiusmodi, vel in ipso Deo, vel in Imagine eius, quæ est natura humana cerni conijcimus, & existimamus.

καὶ τῇ εἰκόνι αὐτοῦ, ἥτις ἐστὶν ἡ ἀνθρωπίνη φύσις.

Τούτοις συναπτέον τὸν Βασίλειον ἐπίσκοπον Σελευκίας, καὶ τοῦ Χρυσοστόμου οἰκειότατον, καὶ προσφιλέστατον, πρὸς ὃν οἱ λόγοι, οἱ περὶ ἱερωσύνης, ἐν τῷ τέλει τοῦ τετάρτου λόγου εἰς τὸν Δαβὶδ, οὕτω φάσκοντα. μὴ μείνωμεν θεραπευθῆναι πυρί.

Ἕπεται τοῖς προρρηθεῖσιν ἄλλος ἑταῖρος προσφιλέστατος, καὶ μαθητὴς τοῦ Χρυσοστόμου, Ἰσίδωρος φημὶ, ὁ Πηλουσιώτης, ὃς ἐν τῇ ἑκατοστῇ πεντηκοστῇ ἐπιστολῇ τοῦ πρώτου βιβλίου, ἐξηγούμενος τὴν παραβολὴν τοῦ σωτῆρος περὶ τοῦ σίτου, καὶ ἀχύρου οὕτω χαράττει τὴν ἐπιστολήν. εἰ μὴ αἰέγνως τῶν ἀχυρμιῶν τὸν σῖτον διεκκρινόμενον, καὶ τὰ μὲν πυρὶ, τὰ δὲ ἀποθήκῃ τηρούμενα, οὐδ᾽ οὕτως ἔχεις ἀπολογίαν τὴν ἄγνοιαν, πάντων τῶν καλλίστων ἐχούσης γνῶσιν τῆς φύσεως. ἃ γὰρ παθεῖν οὐ βουλόμεθα, ταῦτα καὶ μὴ ποιεῖν διδασκόμεθα, εἰ δὲ καὶ ἔνδον ἑαυτῶν τῶν Χρηστῶν τὴν εἴδησιν ἔχομεν, καὶ τῷ θείῳ νόμῳ ταύτην σαφῶς παιδευόμεθα, τί ταῖς ἡδυπαθέσι ῥιπίζει πνοαῖς ἀχύρων δίκην πρὸς αὐτὰς ἐκρεπόμενος; ὅρα τοίνυν, ὅτι πῦρ ἔχει τελευτὴν τὸ ἀβέβαιον, ἢ καθαῖρον, ἢ εἰς τέλος ἐκκαῖον.

Αὗται οὖν τῶν ἁγίων πατέρων τῶν ἀνατολικῶν αἱ μαρτυρίαι, ἐν αἷς χρὴ σκοπεῖν, καὶ σημειώσασθαι ταυτὶ τὰ ῥήματα, σωθήσεται, καθαρισμὸς, θεραπεία, πλύσις ῥύπου, κρίνηται, ἢ καθαίρηται, καθαῖρον. ἅτινα οὐχ οἷόν τε ἁρμόζειν ταῖς αἰωνίαις ποιναῖς τοῦ ᾅδου.

Ταῦτα οὖν τῶν ἀνατολικῶν. λείπεται δὲ τούτοις προσθεῖναι πρὸς μείζονα τῆς ἀληθείας σύστασιν, τοὺς δυτικοὺς ἁγίους τῷ αὐτῷ πνεύματι ἐμπνευσθέντας, καὶ ταυτὸ φρονοῦντας.

Ὁ τοίνυν ἅγιος Ἀμβρόσιος ἐν τῇ ἐξηγήσει τοῦ προρρηθέντος ἀποστολικοῦ ῥητοῦ φησὶν, ἀλλ᾽ ὅταν ὁ Παῦλος λέγῃ, οὕτως ὡσεὶ διὰ πυρὸς, δείκνυσιν, ἐκεῖνον μὲν σωθήσεσθαι, ἀλλὰ τὴν τιμωρίαν τοῦ πυρὸς ἀναχόμενον, ἵνα διὰ πυρὸς ἐκκαθαρθεὶς, σώζηται: καὶ οὐχὶ ὥσπερ οἱ ἄπιστοι αἰωνίῳ πυρὶ εἰς τὸ διηνεκὲς τιμωρῆται. καὶ ἐν τῷ ρλη. ψαλμῷ ἐν τῷ τρίτῳ λόγῳ ἐξηγούμενος

His consociandus est Basilius Episcopus Seleucię Chrysostomi familiaris intimus, & contubernalis, ad quem libri de Sacerdotio in quarta de Dauide oratione in ipso fine, Ne expectemus, inquit, vt igne curemur.

Sequitur prædictos alter Chrysostomi socius, & discipulus Isidorus Pelusiota, qui trecentesimam quinquagesimam primi libri editione Byllij ad Lampetũ, eiusmodi verbis exarat Epistolam, explicando parabolam Christi de tritico, & paleis. Si parabolam illam non legisti, in qua triticum à paleis distinguitur, atque illæ igni, hoc autẽ apothecę seruatur, ne sic quidem tamen causam tuam ignoratione tueri potes, quippe cum præclarissimarum rerum omnium cognitionem natura habeat; nam quæ perpeti nolumus, eadem ne quidem facere docemur. Quod si & virtutum cognitionem in animis nostris insitam habemus, & eam ex diuina lege perspicuè discimus. Ecquid voluptatis ventis iactaris palearum instar ad eas proiectus? vide igitur inconstantiam igne terminari vel purgante, atque expiante, vel ad extremum vsque inflammante.

Hæc sunt testimonia Sanctorum Patrum Græcorum, quę probant ignem purgatorium. In quibus notanda sunt illa verba, saluabitur, purgatio, curatio, lotio sordium, expiatio; quæ nulla ratione possunt aptari omni ex parte sordidissimis pœnis Inferni, quæ in æternum cruciant, & non ad tempus emundant.

Hæc igitur Orientalium Patrum. Restat vt his addamus ad maiorem confirmationem veritatis Occidentales Sanctos, qui eodem spiritu afflati idem senserunt.

Sanctus igitur Ambrosius in expositione prædicti Apostolici textus ait, Sed cum Paulus dicit, Sic tamẽ per ignẽ; ostendit illum quidem saluum futurũ, sed pœnas ignis passurum. Vt per ignem purgatus fiat saluus. Et non sicut perfidi æterno igne in perpetuum torqueantur. Idem in Psalmum

μένος ἐκεῖνον τὸν στίχον, τοῦ ξε. ψαλμοῦ διήλθομεν διὰ πυρὸς, καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχὴν· δι' ὕδατος ἑρμηνεύει τὸ βάπτισμα, διὰ πυρὸς τὸ καθαρτήριον. ἐν ταῦθα φησὶν, δι' ὕδατος· ἐκεῖ διὰ πυρός. δι' ὕδατος, ἵνα ἀπολυθῶσι τὰ ἁμαρτήματα· διὰ πυρὸς, ἵνα κατακαυθῶσιν.

Ὁ δὲ θαυμάσιος Αὐγουστῖνος ἐν τῷ λζ. ψαλμῷ μὴ ἀριθμηθείην, φησὶν, ἐν ἐκείνοις, οἷς μέλλεις εἰπεῖν, πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, μηδὲ ἐν τῇ ὀργῇ σου παιδεύσῃς με. ἀλλ' ἐν ταύτῃ τῇ ζωῇ καθαρίσειάς με, καὶ τοιοῦτον με ἀπεργάσειας, οἷον μὴ χρείαν ἔχειν ἤδη τοῦ παιδευτικοῦ πυρὸς, δι' ἐκείνους οἳ σωθήσονται, οὕτω μέντοι, ὡσεὶ διὰ πυρός. διὰ τί; εἰ μὴ ὅτι ἐνταῦθα οἰκοδομοῦσιν ἐπὶ τὸν θεμέλιον ξύλα, χόρτον, καλάμην. οἱ δὲ ᾠκοδόμησαν χρυσὸν, ἄργυρον, λίθους τιμίους ἀπ' ἀμφοτέρου τοῦ πυρὸς ἀσφαλεῖς εἴησαν ἂν, οὐ μόνον ἀπὸ τοῦ αἰωνίου πυρὸς, ὃ εἰς τὸν αἰῶνα μέλλει κολάσειν τοὺς ἀσεβεῖς, ἀλλὰ κἀξ ἐκείνου τοῦ παιδεύοντος τοὺς διὰ πυρὸς σωθησομένους. λέγεται γὰρ αὐτὸς δὲ σωθήσεται οὕτω μέντοι, ὡσεὶ διὰ πυρός. καὶ διότι λέγεται σωθήσεται. καταφρονεῖται τὸ πῦρ ἐκεῖνο, καὶ μάλα γε, καίπερ σωθήσεται διὰ πυρὸς, ὅμως γε μέντοι χαλεπώτερον ἔσται ἐκεῖνο τὸ πῦρ, ἢ πᾶν ὁτιοῦν δύναται ἄνθρωπος πάσχειν ἐν τούτῳ τῷ βίῳ.

Ὁ μακάριος Ἱερώνυμος ἐξηγούμενος ἐκεῖνο τοῦ Ἀμμὼς ἐν κεφαλ. δ. καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός. κατ' ἐκεῖνο, φησὶν, ὃ ἀναγινώσκομεν παρὰ τῷ ἀποστόλῳ, αὐτὸς δὲ σωθήσεται ὡσεὶ διὰ πυρός. ὅστις οὖν σώζεται διὰ πυρὸς, ὡσεὶ δαλὸς ἐκ πυρώσεως ἐκσπᾶται.

Ἕπεται Γρηγόριος ὁ μέγας ἐν τοῖς οἰκουμενικοῖς τῶν λατίνων διδασκάλοις ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν διαλόγων ἐν κεφαλ. λθ. ὅστις σαφηνίζων τὸ κείμενον τοῦ ἀποστόλου, εἰ καὶ, φησί. τοῦτο περὶ τοῦ πυρὸς τῆς θλίψεως ἐν ταύτῃ τῇ ζωῇ δύναται νοηθῆναι, ὅμως ἐάν τις τοῦτο περὶ τοῦ πυρὸς τῆς μελλούσης καθάρσεως λάβῃ, σκεπτέον ἀκριβῶς, ὅτι ἐκεῖνον διὰ πυρὸς φησὶ, σωθήσεσθαι, οὐχὶ

mum 118. explicans illum verſiculum Pſalmi 65. Tranſiuimus per ignẽ, & aquam & eduxiſti nos in refrigerium, exponit per aquam Baptiſmum, per ignem Purgatorium. hic, inquit, per aquam, illic per ignem. Per aquam, vt abluantur peccata, per ignem, vt exurantur.

S. Auguſtinus in Pſalmum 37. Ne connumerer, inquit, inter illos, quibus es dicturus, Ite in ignem æternum, qui præparatus eſt diabolo, & angelis eius, neque in ira tua, corripias me, ſed in hac vita purges me, & talem me reddas, cui non ſit opus emendatorio igne. Propter illos, qui ſaluabuntur, ſic tamen quaſi per ignem. Cur ita? niſi quia hic ſuperædificant ſupra fundamentum ligna, fœnum, ſtipulam. Si verò ſuperædificarent aurum, argentum, lapides precioſos, ab vtroque igne vtique ſecuri eſſent; non tantum à ſempiterno igne, qui in æternum eſt cruciaturus impios, ſed etiam ab eo, qui punit per ignem eos, qui ſaluabuntur: dicitur enim, ipſe verò ſaluabitur, ſic tamen quaſi per ignem; & quoniam dicitur, ſaluabitur, deſpicitur ille ignis, ita planè. Quamuis ſaluus erit per ignem, grauior tamen erit ille ignis, quam quicquid poteſt homo pati in hac vita.

B. Hieronymus exponens illud Amos Prophetæ cap. 4. Facti eſtis ſicut torris raptus de incendio, iuxta illud, inquit, quod in Apoſtolo legimus, Ipſe autem ſaluus erit, quaſi per ignem, qui ergo ſaluatur per ignem, quaſi torris de incendio rapitur.

Sequitur Gregorius Magnus, qui apud Latinos inter Oecumenicos Doctores cenſetur, in quarto libro Dialogorum cap. 39. explicans textum Apoſtoli, Quamuis, inquit, hoc de igne tribulationis in hac vita nobis adhibita poſſit intelligi; tamen ſi quis hoc de igne futuræ purgationis accipiat, penſandum ſolicitè eſt, quia illum per ignem dixit ſaluari, non qui ſuper hoc ferrum, æs, vel plumbum ædificat,

οὐχὶ τὸν οἰκοδομοῦντα σίδηρον, χαλκὸν, ἢ μόλιβδον, τουτέστιν ἁμαρτήματα μείζονα, καὶ διὰ τοῦτο σκληρότερα, καὶ ἐπομένως ἄλυτα, ἀλλὰ ξύλον, χόρτον, καλάμην, ἤγουν, ἁμαρτήματα μικρὰ, καὶ κουφότατα, ἅτινα τὸ πῦρ ῥαδίως δαπανᾷ. Σημείωσαι ὅτι τὰ συγχωρητικὰ ἁμαρτήματα κατὰ τὸν μέγαν Γρηγόριον τῷ πυρὶ καθαίρονται, ὅπερ συνάγει ἐκ τῶν ἀποστολικῶν ῥημάτων.

Ἔχεις τοίνυν τούτους διδασκάλους μάρτυρας τοῦ πυρὸς τοῦ καθαρτηρίου. καὶ ὁ μὲν κύριος δεῖν ἵστασθαι, φησὶ, πᾶν ῥῆμα ἐπὶ στόματος δύο μαρτύρων, ἢ τριῶν, ἐγὼ δὲ παρήγαγόν σοι εἰς μέσον ἓξ τοὺς ἀξιολογωτάτους τῶν ἀνατολικῶν, τέτταρας δὲ τοὺς κορυφαίους τῶν δυτικῶν. σὺ δὲ ἁμαρτάνεις οὐράνιον ὅσον, ὡς κατωτέρω σαφέστερον δείξομεν. καὶ οὐδένα διδάσκαλον εἰσφέρεις, εἰ μὴ τὸν Χρυσόστομον, κἀκεῖνον οὐκ ἀρνούμενον τὸ καθαρτήριον πῦρ, ἀλλ' ἑτέρως ἐξηγοῦντα τὸν ἀπόστολον, παρ' ὃ οἱ λοιποὶ διδάσκαλοι. ἀλλαχοῦ μέντοι τρανῶς διαγορεύοντα, καὶ ὁμολογοῦντα τὸ καθαρτήριον πῦρ, εἴπερ ἐν ᾅδου εὑρίσκεσθαι τοῦτο φαίη τις ἄν. ἀνάγνωθι τὸν λόγον εἰς τὴν Χριστοῦ γένναν, οὗ ἡ ἀρχὴ, ὁπόταν ἐκ χειμῶνος κρυεροῦ τὸ θερμὸν ἔαρ ἐκλάμψῃ, κατωτέρω πού φησιν. εἰ δὲ δεῖ καὶ ἕτερον μυστήριον θεωρῆσαι, καταμάθωμεν ἀκριβῶς, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν προσφέρουσιν αὐτῷ τεχθέντι, ἐπειδὴ ἦν περὶ αὐτοῦ γεγραμμένον τὸ, αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. ἐν ταῖς προσφοραῖς προετυποῦτο μᾶλλον. ἐν τῷ χρυσῷ δηλοῦντες τὴν τῶν οὐρανίων ἀγγέλων δοξολογίαν, ἐν τῷ λιβάνῳ τὴν τῶν ἐπιγείων ἀνθρώπων γονυκλισίαν, ἐν τῇ σμύρνῃ τὴν τῶν ἐν ᾅδου κατεχομένων ψυχῶν ἱκεσίαν. ἐνταῦθα ὁ διδάσκαλος ἐξ ἀνάγκης νοεῖ τὸ πῦρ τὸ καθαρτήριον. οἱ γὰρ ἐν ᾅδου τοῦ ἐσχάτου ὄντες, οὐχ ἱκετεύουσιν, ἀλλὰ βλασφημοῦσι τὸν ὑπεράγαθον Θεόν. εἶτα τῶν μαθητῶν τοῦ ἥρωος λαμπρῶς ὁμολογούντων, καὶ τρανῶς φασκόντων. τοῦ Πηλουσιώτου καὶ τοῦ Σελευκείας θεραπευθῆναι πυρὶ, καὶ πῦρ καθαῖρον, ἢ εἰς τέλος ἐκκαῖον, ἀνάγκη πᾶσα καὶ τὸν διδάσκαλον πῦρ νοεῖν.

Ἀλλ' ἐρωτήσειεν ἄν τις, τίς ἠνάγκασε τὸν Χρυσόστομον, οὕ-

cat, ideſt peccata maiora, & idcirco duriora, atque ſunt iam inſolubilia, ſed lignum, fœnum, ſtipulam, ideſt peccata minuta, atque leuiſſima, quæ ignis facilè conſumit.

Habes igitur tot Doctores teſtes ignis purgatorij, & Dominus quidem ait, Oportere ſtare omne verbum in ore duorum, vel trium teſtium: ego verò adduxi tibi in medium ſex digniſſimos ex Orientalibus, quatuor verò primarios ex Occidentalibus; tu verò erras totò cœlo; vt paulò infra clariſſimè oſtendam, & nullum affers Doctorem, niſi Chryſoſtomum; & illum quidem non inficientem ignem purgatorium, ſed aliter exponentem Apoſtolum, præter illud, quod exponunt reliqui Doctores. Alibi tamen clarè enunciantem, & confitentem ignem purgatorium. Siquidem in inferno hunc reperiri dixerit aliquis; legenda eſt oratio eius in Chriſti Natiuitatem, cuius initium, Quando tranſacta frigida hyeme calidum vernum illuxerit. Inferius alicubi dicit, Si autem oportet & aliud myſterium contemplari, perdiſcamus diligenter, aurum, thus, & myrrham offerunt ipſi Naſcenti; quoniam de illo ſcriptum erat, Ipſi flectet omne genu Cœleſtium, terreſtrium, & infernorum; hoc in oblationibus Magis, præfigurabatur, cum in auro ſignificaretur Cœleſtium Angelorum glorificatio; in thure terreſtrium hominum genuflexio; in myrrha degentium in inferno animarum ſupplicatio. Hic Doctor de neceſſitate purgatorium ignem intelligit: qui enim in extrema parte Inferni ſunt, non ſupplicant, ſed benigniſſimum Deum blaſphemant.

Sed quæret aliquis, quis coëgit Chryſoſtomum ita exponere Paulum, aliter, quam cæteri Doctores? Erant propugnatores Origenis, qui ex duabus dictionibus, ſaluari, & ignis, confirmabant illius ſententiam, Chryſoſto-

τως ἐξηγήσασθαι τὸν Παῦλον, ἀλλοτρίως παρ᾽ ὃ οἱ λοιποὶ διδάσκαλοι· ἦσαν οἱ ὑπερασπίζοντες τοῦ Ὠριγένους, ἐκ τοῖν δυοῖν λεξιδίοιν τούτοιν, τοῦ σώζεσθαι, καὶ τοῦ πυρὸς, βεβαιοῦντες τὴν ἐκείνου γνώμην· ὁ δὲ Χρυσόστομος κατὰ τούτων ἐφεῦρε τὴν ἐξήγησιν ταύτην, σωθήσεται, τουτέστιν εἰς τὸ μηδὲν, καὶ εἰς ἀνυπαρξίαν οὐ χωρήσει, οὐχὶ, φησὶ, καὶ αὐτὸς οὕτως ἀπολεῖται ὡς τὰ ἔργα εἰς τὸ μηδὲν χωρῶν· ἀλλὰ μένει ἐν τῷ πυρί. καὶ κατωτέρω, μὴ γὰρ ἐπειδὴ πῦρ ἤκουσας, νομίσῃς, εἰς ἀνυπαρξίαν χωρεῖν τοὺς καιομένους. καὶ ἐν τῷ τέλει ἐκείνου τοῦ λόγου, εἰπὼν σωθήσεται, οὐδὲν ἕτερον, ἢ τὴν ἐπίτασιν τῆς τιμωρίας ᾐνίξατο, ὡσανεὶ λέγων. αὐτὸς δὲ μένει διηνεκῶς κολαζόμενος· οὕτως ὁ Χρυσόστομος, ὅστις κατὰ Ὠριγένους ταῦτα ἐπενόησεν; ὁ γὰρ Ὠριγένης ἐκ τούτου τοῦ χωρίου ἔδοξε περαίνειν; καὶ τοὺς δαίμονας σωθήσεσθαι.

Ἔστι δὲ θαυμαστὴ, καὶ ἀγχινοίας πλήρης τοῦ Χρυσοστόμου ἡ ἐξήγησις· δυοῖν γὰρ ὄντων ἐσχάτοιν, καὶ ἐκ διαμέτρου ἐναντίοιν καὶ ἄκροιν, ὁ μὲν Ὠριγένης ἄδικον σωτηρίαν κατενόησεν, ὁ δὲ Χρυσόστομος δικαίαν διηνεκῆ κόλασιν συνελέξατο, τῶν δὲ λατίνων οἱ πατέρες ἐν τῇ ἐν Φλωρεντίᾳ συνόδῳ τὴν λέξιν τοῦ σώζεσθαι πολλοῖς παραδείγμασι σαφῶς ἀπέδειξαν παρὰ τῇ θείᾳ γραφῇ πάντοτε ἐπὶ καλοῦ λαμβανομένην, τὸ δ᾽ αὐτὸ τοῦτο ῥαδίως συνάγεται, καὶ ἐκ τῆς ἑπομένης λέξεως κίνησιν δηλούσης τῆς (διὰ) καὶ διάβασιν. οὐ γὰρ λέγει Παῦλος σωθήσεται ἐν τῷ πυρὶ ἀλλὰ διὰ πυρὸς, οἱ δὲ ἀνατολικοὶ πατέρες εὐλαβούμενοι τὸν διδάσκαλον σιωπῇ ἐτίμησαν.

Καὶ αὐτὸς δὲ ὁ Χρυσόστομος, καὶ ἄκων βεβαιοῖ ἐν τῇ αὐτῇ ὁμιλίᾳ, καὶ γάρ φησιν, ἡμῖν ἔθος λέγειν ἐν τῷ πυρὶ σώζεται, περὶ τῶν μὴ κατακαιομένων καὶ τεφρουμένων εὐθέως ὑλῶν. οὕτως ὁ διδάσκαλος, ἀλλ᾽ οὐ λέγομεν σώζεσθαι διὰ πυρός.

Ἀλλ᾽ εἴποι τις ἄν, ὅτι οἱ νεήλυδες τῶν γραικῶν πιστεύουσι τὰς ψυχὰς πολλῶν εὑρίσκεσθαι ἐν τῷ ᾅδῃ, κἀκεῖ οὖσαι προσδοκῶσι τυχεῖν ἱλασμοῦ παρὰ Θεοῦ διὰ τὰς γινομένας ὑπὲρ αὐτῶν ἐλεημοσύνας, προσευχὰς, θυσίας, καὶ αὐτῷ δὲ τῷ κολάζεσθαι ἄλλοις αἰτίαις δύνανται ἀποτίσαι τὸ χρέος, καὶ τῷ χρόνῳ ποτὲ ἐλευθεροῦσθαι.

mus vero aduersus hos adinuenit hanc expositionem, saluabitur, hoc est, ad nihilum non redigetur: non enim, inquit, & ipse sic peribit, quemadmodum opera ad nihilum redactus, sed manebit in igne. Et infra: Non enim, inquit, quandoquidem ignem audisti, eos existimabis in nihilum redacturos; & in fine illius sermonis, saluabitur, nihil aliud, quam vehementiam pœnæ innuit. quasi dicens, ipse vero manebit perpetuò cruciandus; sic Chrysostomus, qui contra Origenem hanc expositionem excogitauit. Origenes enim ex hoc loco concludere videbatur etiam Dæmones saluandos.

Est autem interpretatio admiranda, & acuminis plena Chrysostomi, ex duobus enim extremis, & è diametro contrarijs, Origenes quidem iniustam salutem colligebat; Chrysostomus verò iustam, perpetuam punitionem. Porro Patres Latinorum in Concilio Florentino, dictionem, saluari, multis exemplis Sacræ Scripturæ clarè ostenderunt, semper accipi in bonam partem, quod etiam facilè colligitur ex dictione sequenti, quæ motum, & transitum præpòsitio, Per, significat; non enim dicit Paulus, saluabitur in igne, sed per ignem. Orientales verò Patres propter reuerentiam Doctoris, silentio eum honorarunt.

Sed & ipse Chrysostomus etiam inuitus hoc idem confirmat in eadem homilia: Nam, inquit, etiam nobis in vsu est dicere, in igne saluatur, de ijs materijs, quæ non prorsus comburuntur, & fiunt cineres; sic Doctor; sed non dicimus saluari per ignem.

Sed dixerit aliquis, quod recentiores Græcorum credũt multorum animas in inferno reperiri, & ibi manentes expectare, vt consequantur misericordiam à Deo propter eleemosynas, orationes, sacrificia, quæ fiunt pro ipsis, & hoc ipso quod puniuntur alijs molestijs possunt soluere debitum, & aliquando liberas fieri.

Τὶ οὖν κωλύει ἐν τοῖς ἁμαρτήμασι τὸ καθαρτήριον πῦρ νοεῖσθαι; ὁ γὰρ Βασίλειος ἐν ταῖς εὐχαῖς τῆς πεντηκοστῆς, καὶ ᾅδου, καὶ ἁμαρτημάτων μνημονεύει οὑτωσὶ γράφων. ὁ καὶ ἐν αὐτῇ τῇ παντελείῳ ἑορτῇ, καὶ σωτηριώδει ἱλασμοὺς μὲν ἱκεσίους ὑπὲρ τῶν κατεχομένων ἐν ᾅδῃ καταξιώσας δέχεσθαι· μεγάλας τε παρέχων ἡμῖν ἐλπίδας ἄφεσιν τοῖς κατεχομένοις τῶν κατεχόντων αὐτοὺς ἁμαρτημάτων, καὶ παραψυχὴν παρὰ σοῦ καταπέμπεσθαι.

Ὁ αὐτὸς δὲ ἐν τῇ σοφωτάτῃ εἰς τὸν Ἡσαΐαν ἐξηγήσει οὐχ ἅπαξ ὀνομάζει πῦρ καθαρτήριον, ὥστε καὶ τὸν Χρυσόστομον τὰ αὐτὰ νοεῖν. οἱ δὲ ἡμέτεροι, οὐκ οἶδα, τί παθόντες ἑαυτοὺς κρείττους, καὶ σοφωτέρους τῶν πατέρων Βασιλείου, Γρηγορίου τοῦ θεολόγου, καὶ ἑτέρου Γρηγορίου τοῦ Νύσσης, καὶ ἄλλων ἡγοῦνται εἶναι, καὶ φεύγουσι δεδοικότες ὥσπερ τι ἀποτρόπαιον ὀνομάσαι πῦρ καθαρτήριον. καὶ ὅμως τόπους διαφόρους τοῦ ᾅδου, καὶ μονὰς πολλὰς, ὡς τοῦ παραδείσου πιστεύουσι. καὶ οὐκ ἐπίσης αὐτοὺς κολάζεσθαι οἴονται, καὶ μάλιστα τοὺς ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου βασανιζομένους. οὐ γὰρ τοὺς ἀμετανοήτους, καὶ ἀπελπισμένους. τοῦτο οὖν ἐστὶ τὸ καθαρτήριον.

Νῦν δὲ δέχου καὶ ταύτας τὰς μαρτυρίας ἐκ τοῦ πεντηκοσταρίου, Σαββάτῳ πρὸ τῆς πεντηκοστῆς εἰς τοὺς κεκοιμημένους ᾠδὴ η. τροπάριον β. ῥῦσαι πυρὸς τοῦ φοβεροῦ (ἀκούεις) δήμους φιλάνθρωπε ἐκκλησίας σου σεπτῆς, καὶ σῶσον μοναστῶν συστήματα ἱερωμένων πληθὺν χορείας λειτουργῶν σου ἐνθέων. καὶ ἐκ τῆς παρακλητικῆς. Σαββάτῳ εἰς τοὺς κεκοιμημένους ἐκ τῆς τρίτης ᾠδῆς τοῦ τρίτου ἤχου. ῥῦσαι γεέννης, πυρός τε ζοφερῶν τοῦ ᾅδου, φιλάνθρωπε, σκηνωμάτων τοὺς δούλους σου, τοὺς πιστεῖ δέσποτα κεκοιμημένους τῇ σῇ ἐλπίδι. καὶ ᾠδὴ θ. τοῦ δ. ἤχου εἰς τοὺς αὐτούς. ὁ φύσει ὑπάρχων ἀγαθὸς, ὁ πλούσιος ἐν ἐλέει, καὶ χρηστότητι ῥῦσαι ἐκ σκότους ἐξωτέρου τοὺς ἐπικεκλημένους σὸν ὄνομα ἐκ πίστεως δικαιώσας, καὶ χάριτι τούτους λαμπρύνας ὡς φιλάνθρωπος. καὶ εἰς τὴν θ. ᾠδὴν, ἦχος βαρὺς, Σαββάτῳ εἰς τοὺς κοιμηθέντας, φησί. ῥῦσαι πυρὸς τῆς γεέννης

δέσπο-

Quid igitur prohibet inter alias sæuas molestias intelligere ignem purgatorium? etenim Basilius Magnus in precationibus Pentecostes, & infernum, & molestias commemorat, sic scribens: Qui & in hac perfectissima festiuitate, & salutifera Pentecostes propitiationes quidem supplices pro ijs, qui in inferno continentur, dignatus es suscipere, & magnas spes nobis præbes te ipsis remissionem earum, quæ ipsos occupant molestiæ, & consolationem demittere. Idē Doctor in doctissima expositione in Esaiā non semel nominat ignē purgatorium; quare & Chrysostomum eadē intelligere. Nostratibus verò, nescio quid in mētē venerit, vt se ipsos præstātiores, ac doctiores Patribus Basilio, Gregorio Theologo, & altero Gregorio Nysseno, & alijs, existiment esse, ac fugiant, tanquam aliquid execrandum, timentes nominare ignem purgatorium. Et tamen loca diuersa Inferni, & mansiones multas, vt Paradisi credunt, & non æqualiter ipsos puniri existimant, eos potissimum, qui in spe resurrectionis vitæ æternæ puniuntur: non enim impœnitentes, & desperatos. Hoc igitur est purgatoriū.

Nunc verò & hæc testimonia ex libro qui vocatur Pentecostarium, suscipe. Dies Sabbathi ante Pentecostem in dormientes octauo cantico troparion secundo sic habet: Eripe ab igne horrendo (audis) populos benignè, Ecclesiæ tuæ sanctæ, & salua sacrorum Monachorum cœtum, multitudinem Chori eorum, qui tibi diuinè ministrant. Et ex hoc libro Paracleticæ die Sabbatho in dormientes ex tertia Ode tertij toni, Eripe benignè à gehenna, & igne, & ab oscuris inferni tabernaculi tuos seruos, qui fide Domine dormierunt in tua spe. Et Ode nona quarti toni in eosdem, Qui natura es bonus, diues in misericordia, & bonitate eripe à tenebris exterioribus eos, qui inuocarunt tuum nomen ex fide iustificans, & tua gratia hos clarificans, vt hominum amator. Et in nonam Odem tonus grauis die Sabbato

δέσποτα τοὺς ἐξ ἡμῶν μεταστάντας. τῆς πλευρᾶς σου τῇ λόγχῃ τῆς ἁμαρτίας τὸ χειρόγραφον τούτων, ὡς μόνος φιλάνθρωπος ῥήξας, καὶ τῆς τῶν ἁγίων ἀξίωσον λαμπρότητος.

Ἔστι δὲ καὶ ἄλλα παραπλήσια ζητοῦσιν εὑρεῖν ἐν τοῖς βιβλίοις τοῖς ἐκκλησιαστικοῖς. ἀλλὰ περὶ τῶν κεκοιμημένων διαλεγομένοις, καὶ εὐχομένοις ὑπὲρ αὐτῶν, ἀρκεῖ καὶ ταῦτα. δυοῖν οὖν ἔσται θάτερον, ἢ μετὰ Ὠριγένους ὑμᾶς ἀνάγκη φρονεῖν, καὶ τούτους φάναι δύνασθαι τοῦ πυρὸς τῆς γεέννης ἐλευθερωθῆναι, ὅπερ ἀσεβὲς, καὶ μόνον ἐννοεῖν, μήτιγε δὴ καὶ λέγειν, ἢ πῦρ ἕτερον πρόσκαιρον ὁμολογεῖν. οὗπερ ἀπαλλαγῆναι τὰς ψυχὰς τῶν κεκοιμημένων εὔχεσθε. ὁ γὰρ ᾅδης διαφόρους ἔχει τόπους. ἐκεῖ γὰρ καὶ χῶρος ἦν τῶν προπατέρων πατριαρχῶν, προφητῶν, καὶ ἁγίων. καὶ ἄλλος τόπος τῶν νηπίων, τοῦτο μὲν ἑλλήνων, τοῦτο δὲ ἑβραίων τελευτησάντων ἄνευ περιτομῆς, νῦν δὲ ὁπωσδήποτε, καὶ χριστιανῶν χωρὶς βαπτίσματος ἀπερχομένων. ἄλλος τόπος τῶν μετανοούντων, καὶ μὴ τελέως κεκαθαρμένων. ὕστατος καὶ χείριστος τόπος τῶν ἁμαρτωλῶν, δηλονότι τῶν ἀμετανοήτων, καὶ τῶν δαιμόνων. ὑπὲρ ὧν ἡ ἐκκλησία οὐ δεῖται τοῦ Θεοῦ, οὐδὲ πρεσβεύει, ἀλλ᾽ ὑπὲρ ἐκείνων εὔχεται τῶν δυναμένων τῆς κολάσεως ῥυσθῆναι τῶν αἰκιζομένων τῷ πυρὶ τῷ καθαρτηρίῳ. τὸ δὲ πῦρ τὸ καθαρτήριον ταυτόν ἐστιν ὅπερ τῆς γεέννης, εἰ καὶ διαφόρως ἐνεργεῖ καὶ κολάζει. διὸ μὴ θορυβήτω τις ἀκούων γεέννης πῦρ αἰώνιον, καὶ τὰ τοιαῦτα, ταυτὸ γὰρ σημαίνει.

Καὶ ταῦτα πρὸς τὸ σαθρὸν, καὶ ψευδέστατον βιβλίον τοῦ Βαρλαὰμ ἀποχρώντως ἀποδείξεως ἔχει. δειχθέντος γὰρ τοῦ καθαρτηρίου πυρὸς μαρτυρίαις τῶν προκρίτων διδασκάλων Γραικῶν, καὶ λατίνων, ἔρρει παντελῶς τὰ πομφολυγοπαμφλάσματα τοῦ Βαρλαάμ. καὶ προσθεῖναι τοῖς εἰρημένοις οὐκ ἂν ἔδοξέ μοι προσῆκον, εἰ μὴ ἄρα μέμφοιτο, ὅτι λίαν συντόμως ἀποκρίνομαι. διὸ καὶ καθ᾽ ἕκαστα διεξερχόμενος, ἐπισημειώσω τὰ ψεύδη αὐτοῦ, καὶ τὰς ἁμαρτίας.

bato in dormientes: ait, Eripe Domine ab igne gehennæ eos, qui à nobis migrarunt, destruens tua lancea lateris chirographum eorum peccati, vt solus hominum amator, & dignos eos faciens splendore Sanctorum.

Sunt verò & alia similia in libris Ecclesiasticis obuia, sed de dormientibus cum differimus, & pro illis precamur, etiā hæc nobis satis sunt. Alterum igitur ex duobus, vel cum Origene vos necesse est sentire, & hos dicere posse ab igne gehennæ liberari, quod impium est, vel tantum cogitare ne dum & dicere, vel ignem alterum temporalem necesse est vos confiteri, à quo liberari animas dormientium precamini. Quippe infernus habet diuersa loca, ibi enim & locus erat progenitorum Patriarcharum, Prophetarum, & Sanctorum: & alius locus erat infantium; partim quidem gentilium, partim verò hebræorum tunc temporis sine circumcisione; nunc verò quomodocumque & Christianorū sine baptismo decedentium: tertius locus pœnitentium, & non perfectè purgatorum: vltimus & pessimus peccatorū nimirum impœnitentium, & dæmonum, pro quibus Ecclesia Deum non orat. Sed pro ipsis precatur, qui possunt à punitione liberari, qui puniuntur igne purgatorio. Porrò ignis purgatorius idem est, qui & gehennæ, quamuis diuersimodè operetur, & puniat. Quare non turbetur aliquis audiens ignem æternum, gehennæ & similia. Idem enim significant.

Et hæc quidem ad marcidum, & mendacissimum librum Barlaami sufficienter habent demonstrationem. Ostenso enim purgatorio igne testimonijs præcipuorum Doctorum Græcorum, & Latinorum, ruunt penitus omnia quę bullis turgent Barlaami, & addere dictis non mihi visum est consentaneum, nisi fortè conquæreretur, quod valdè breuiter respondeo. Idcirco & singula differens, notabo ipsius mendacia, & errata.

ΟΤΙ ΔΙΔΟΤΑΙ ΜΕΡΙΚΗ ΑΠΟΦΑΣΙΣ, ΚΑΙ κρίσις τοῖς ἀνθρώποις ἐν τῷ θανάτῳ, καὶ διὰ τοῦτο αἱ τῶν ἁγίων ψυχαὶ καθὸ ψυχαὶ, μακάριαι εἰσὶν ἐν οὐρανῷ, καὶ ἀγγέλοις συνδιαιτώμεναι καθορῶσι τὸ πρόσωπον τοῦ Θεοῦ.

Αἱ δὲ τῶν ἀσεβῶν ἐν τῷ ᾅδῃ εὐθὺς κολάζονται.

ΤΟ' καθαρτήριον προϋποτίθεται γίνεσθαι μερικὴν κρίσιν παρὰ τὴν καθόλου ἡ δὲ ἡ θεῖα γραφὴ τὴν μισθαποδοσίαν τῶν καλῶν ἔργων καὶ τιμωρίαν, τῶν αἰσχρῶν τῇ ἐσχάτῃ ἡμέρᾳ καὶ κρίσει εἰκότως ἀπονέμει, ὅμως οὐκ ἀρνεῖται τὴν μερικὴν κρίσιν ἐν τῷ θανάτῳ. ὥσπερ οὖν ἀπόφασις γίνεται μερικὴ ἑνὶ ἑκάστῳ θνήσκοντι καὶ τινές μὲν ἀρχὴν λαμβάνουσι τῆς ἀπολαύσεως τῶν ἀγαθῶν, τινὲς δὲ τῆς κολάσεως τῶν τιμωριῶν, καὶ ὅμως τὴν αὐτὴν ἀπόφασιν γενέσθαι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, αἱ θεῖαι γραφαὶ μαρτυροῦσιν, τότε γὰρ γίνεται ἡ ἀπόφασις ἔμπροσθεν παντὸς τοῦ κόσμου ἀριδηλέτατα μετὰ πολλοῦ ἐπαίνου, καὶ ἀνωτάτης τιμῆς τῶν δικαίων, καὶ αἰσχύνης τῶν ἀσεβῶν οὕτω καὶ κρίσις γίνεται ἑνὶ ἑκάστῳ ἐν τῇ ἡμέρᾳ τοῦ θανάτου, καὶ ἐν τῇ ἡμέρᾳ τῆς φοβερᾶς κρίσεως.

Ὅτι δὲ τοῦτο ἀληθὲς, οὐδεμία ἀμφιβολία παρὰ τοῖς εὐσεβέσι γέγονε πώποτε, ἀκριβῶς εἰδόσι, καὶ πιστεύουσι τὴν ψυχὴν τοῦ λῃστοῦ εἶναι μετὰ Χριστοῦ κατὰ τὴν ἀψευδῆ αὐτοῦ ἐπαγγελίαν. καὶ τὰς ψυχὰς τῶν προπατέρων Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τῶν ἄλλων πατριαρχῶν, καὶ προφητῶν, ἃς ὁ Χριστὸς ἐκ τῶν δεσμῶν τοῦ ᾅδου ἠλευθέρωσεν, εἰσεληλυθέναι εἰς οὐρανοὺς μετὰ Χριστοῦ, τοῦ κἀκείνους ἀνοίξαντος, καὶ τὴν πρισόλβιον αἰχμαλωσίαν αἰχμαλωτεύσαντος, καὶ εἰς τὰς ἐπουρανίους σκηνὰς εἰσοικίσαντος. ὅτι δὲ ἡ ψυχὴ τοῦ Ἰούδα, καὶ τῶν κατὰ τὸν Ἰούδαν ἐν ᾅδου τανῦν βασανίζεται, ἔξεστιν ἐκ τοῦ ἐναντίου συλλογίσασθαι, καὶ καταμαθεῖν. εἰ γὰρ ἐκεῖνοι τυχόντες τῆς αἰωνίου ζωῆς μακαρίζονται, οὗτοι ἐξ ἀνάγκης ταῖς τιμωρίαις τοῦ ᾅδου κολαζόμενοι ταλανίζονται. ἔστι δὲ καὶ τὸ αἴτιον εἰπεῖν

TITVLVS QVOD DATVR PARTICVLARIS ſententia, & iudicium hominibus in morte, & propterea Sanctorum animæ, quatenus animæ beatæ ſunt in Cœlo, & cum Angelis verſatæ intuentur faciem Dei, Impiorum verò in inferno ſtatim puniuntur.

IGnis purgatorius ſupponit fieri particulare iudicium bonorum operum, & punitionem malorum: diuina verò Scriptura hoc merito attribuit diei poſtremo, non tamen negat particulare iudicium in morte, quemadmodum igitur ſententia fertur particularis vnicuique dum moritur, & quidam incipiunt bonis perfrui, alij verò pœnarum moleſtias ſentire, & nihilominus ſententiam in die Iudicij fieri diuina Scriptura teſtatur, tunc enim profertur ſententia coram vniuerſo manifeſtiſſime cum maxima laude, & ſummo honore iuſtorum, & dedecore impiorum, ſic etiam iudicium fit vnicuique in die mortis, & in die horrendi iudicij.

Quod autem hoc verum ſit nulla eſt ambiguitas, neque vnquam facta eſt apud pios, cum diligenter norint, & credant animam latronis eſſe cum Chriſto iuxta infallibilem ipſius promiſſionem, & animas progenitorum Abraham, Iſaac, & Iacob, & aliorum Patriarcharum, & Prophetarum, quas Chriſtus Dominus ex vinculis inferni liberauit, aſcendiſſe in Cœlum vnà cum Chriſto, qui, & illos aperuit, & feliciſſimam captiuitatem captiuam duxit, & in cœleſtia tabernacula cohabitare fecit. Quod anima Iudæ, & ſimilium in inferno nunc puniatur, licet è contrario ratiocinari, & perdiſcere. Si enim illi conſecuti vitam æternam beatificantur, iſti de neceſſitate ſupplicijs æternis puniti, ærumnis afficiuntur. Poſſumus autem & ratio-

εἰπεῖν, διὰ τί ἐν ἀκαρῆ ἡ τοιαύτη κρίσις γίνεται· πάρεσι γὰρ ὁ κριτὴς, ὃς ὢν Θεὸς, καὶ ἄνθρωπος, κατὰ τὴν μορφὴν τοῦ Θεοῦ πάντα πληροῖ, καὶ πανταχοῦ ἐστι· κατὰ τὴν μορφὴν τοῦ ἀνθρώπου πάντα γινώσκει, ἀληθῶς γὰρ ἔφησεν ὁ κορυφαῖος πρὸς τὸν Χριστόν. κύριε σὺ πάντα οἶδας. πάρεσιν ὁ κατήγορος. ἤγουν ὁ διάβολος, καθὼς ὀνομάζεται ἐν τῇ ἀποκαλύψει, κατήγορος τῶν ἀδελφῶν ἡμῶν, κύκλῳ περιερχόμενος, καὶ βρυχόμενος ὡς λέων, καὶ ὡς λύκος ὠρυόμενος, καὶ ὡς κύων ὑλακτῶν. πάρεσιν ὁ μάρτυς τὸ συνειδὸς τῆς ψυχῆς, ἥτις χωρισθεῖσα τοῦ σώματος ἑαυτὴν ἀκριβῶς γινώσκει, οὐδὲ πάθει λήθης, ἢ ἀγνοίας κατέχεται, ὥστε μηδὲν ἐμποδὼν εἶναι τοῦ μὴ δύνασθαι γενέσθαι τὴν μερικὴν κρίσιν. τοῦτο δὲ ῥαδίως περαίνεται καὶ ἐκ τῆς ἀπολαύσεως τῶν ἁγίων, καὶ τιμωρίας τῶν ἀσεβῶν. οὐ γὰρ ἂν χωρὶς κρίσεως τὸ θεῖον καὶ τούτους τιμᾶν, κἀκείνους κολάσαι ἠξίωσεν, ὅπερ σαφέστερον ἔρχομαι ἀποδείξων.

Ὁ Ἐκκλησιαστὴς ἐν κεφαλ. ια. φησί. κοῦφον ἔναντι κυρίου ἐν ἡμέρᾳ τελευτῆς ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ. Ἐν τῷ λευϊτικῷ. κεφ. ιθ. φησὶν ὁ Θεὸς, οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ παρὰ σοὶ ἕως πρωΐ. ὁ γοῦν Θεὸς, ἵνα μὴ ἐναντίος ἑαυτῷ ὑπάρχῃ, οὐκ ἀναβαλεῖται τὸν μισθὸν τῶν ἁγίων ἕως τῆς ἐσχάτης κρίσεως. ἔτι δὲ, ἐλπὶς ἀναβαλλομένη ἐπὶ μακρὸν καιρὸν, κολάζει τὸν ἐλπίζοντα, κατὰ τὸ ἐν παροιμίαις. κεφ. ιγ. κρείσσων ἐναρχόμενος βοηθῶν καρδίᾳ τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος. ὁ γοῦν Θεὸς, ἵνα μὴ λυπῇ τὰς ψυχὰς τῶν ἁγίων, οὐκ εἰς ἐλπίδα ἄγει, ἀλλ᾽ εὐθὺς μετὰ θάνατον ἀποδίδωσι τὸν μισθόν.

Πρὸς Ἑβραίους ἐν κεφ. θ. τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν. τουτοισὶ τοῖς ῥήμασιν ὁ ἀπόστολος τοῦτο βούλεται δηλοῦν, ὅτι ἐφ᾽ ὅσον χρόνον ἡ πρώτη σκηνὴ, ἤγουν ἡ παλαιὰ διαθήκη εἶχε στάσιν, ἐστήκει ἄρα καὶ ἐφυλάττετο, οὔπω φανερὰ καὶ γνωστὴ ἦν ἡ ὁδὸς τῶν ἁγίων. οὐ γὰρ ἴσχυον εἰσιέναι οἱ ἱερεῖς, οὔτε ὁ λαὸς ἐπιβαίνειν εἰς τὰ ἅγια τῶν ἁγίων, ἀλλ᾽ ἀπείργοντο.

καὶ

nem reddere, cur in inſtanti hoc iudicium ſit. Adeſt enim iudex, qui cum ſit Deus & homo ſecundum formam Deitatis omnia implet, & vbique eſt ſecundùm formam humanam omnia nouit, verè enim dixit Princeps Apoſtolorum ad Chriſtum, Domine tu omnia noſti, adeſt accuſator, nimirùm Diabolus, vt appellatur in Apocalypſi, accuſator fratrum noſtrorum, qui circuit, & tanquam leo rugit, & vt lupus vlulat, & vt canis latrat. Adeſt teſtis conſcientia animæ, quæ ſeparata à corpore perſpicuè nouit, neque paſſione obliuionis, aut ignorantiæ continetur: Itaque nihil impedit, quominus poſſit fieri particulare iudicium. Id autem facilè concluditur, & ex fruitione Sanctorum, & punitione impiorum, non enim Deus ſine iudicio & hos honorare, & illos punire voluiſſet. Quod clarius probabo.

Eccleſiaſtes cap. 11. ait, facilè eſt coram Deo in die obitus retribuere homini iuxta vias eius. Et in Leuit. cap. 19. dicit Deus, non manebit merces mercenarij tui apud te vſque mane. Itaque Deus, ne ſibi contrarius eſſe videatur, non procraſtinabit mercedem Sanctorum ad extremum iudicium. Propterea ſpes, quæ differtur in longum tempus punit ſperantem, iuxta illud, quod habetur cap. 13. in Prouerbijs. Melior eſt qui incipit corde adiuuare eo, qui promittit, & in ſpem ducit. Deus itaque ne affligat animas Sanctorum, non in ſpem ducit, ſed ſtatim poſt mortem reddet mercedem.

Ad Hebræos cap. 9. hoc ſignificante Spiritu ſancto non dum propalatam eſſe Sanctorum viam adhuc priore tabernaculo habente ſtatum: his verbis Apoſtolus. hoc vult ſignificare, quoniam quandiu primum tabernaculum, ideſt vetus teſtamentum ſtabat, & ſeruabatur, non dum manifeſta, & nota erat via Sanctorum, non enim poterant ingredi Sacerdotes, neque populus aſcendere in Sancta San-

& τοῦτο ἐδήλου ἄβατον ἔτι εἶναι τὸν οὐρανόν. διὸ καὶ πάντες, καίπερ δικαιότατοι, εἰς τὸν ᾅδην κατέβαινον. οὐ γὰρ δυνατὸν ἦν ὁμοῦ καὶ τὸν αὐτὸν καὶ τὸν τύπον εἶναι, καὶ τὸ τυπούμενον, τὴν σκιὰν, & τὴν ἀλήθειαν. τύπος δὲ ἦν τοῦ οὐρανοῦ τὰ ἅγια τῶν ἁγίων. ἀλλ᾽ ἐπεὶ ὁ χριστὸς ἔσχισε τὸ καταπέτασμα τοῦ ναοῦ, τέλος ἔλαβεν ὁ τύπος, καὶ ἡ ὁδὸς τῶν ἁγίων εἰς τὸν οὐρανὸν ἐφανερώθη. τὸ δὲ μόνον τὸν ἀρχιερέα εἰσιέναι ἐν αὐτοῖς, τύπος ἦν καὶ τοῦτο, τοῦ, τὸν χριστὸν μόνον τὸν ἀληθινὸν ἀρχιερέα ἀνεληλυθέναι εἰς τὸν οὐρανόν. ἀλλὰ λοιπὸν ἀνελθὼν, συνήγαγε τὸ γένος τῶν ἀνθρώπων. ἦν μὲν γὰρ πρὸ τούτου ἄβατος, νῦν δὲ διὰ χριστοῦ βατὸς γέγονε. μέτειθι τὸν Θεοφύλακτον, & τὸν Οἰκουμένιον.

Τοῦτο δὲ προετυποῦτο & ἄλλως, ὡς ἔνεστιν ἰδεῖν ἐν τῷ λε. κεφαλ. τῶν ἀριθμῶν. ἦσαν γὰρ πόλεις τῶν φυγαδευτηρίων, καὶ μετὰ τὸ ἀποθανεῖν τὸν ἱερέα τὸν μέγαν ἠδύνατο ἐπαναστραφῆναι ὁ φονεύσας εἰς τὴν γῆν τῆς κατασχέσεως αὐτοῦ. οὕτως οὖν ἀποθανόντος τοῦ χριστοῦ τοῦ μεγάλου ἀρχιερέως, οἱ φυγαδευθέντες ἅγιοι εἰς τὴν ἑαυτῶν οὐράνιον πατρίδα ἴσχυον ἐπανακάμψαι.

Ἔτι πρὸς ἑβραίους ἐν κεφ. ιβ. οὐ προσεληλύθατε ψηλαφωμένῳ ὄρει. ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, & κριτῇ Θεῷ πάντων. καὶ πνεύμασι δικαίων τετελειωμένων, & διαθήκης νέας μεσίτῃ Ἰησοῦ. Ἐνταῦθα ὁ ἀπόστολος περιγράφει τὴν ἄνω θριαμβεύουσαν πόλιν, & ἐκκλησίαν, ἥτις συνίσταται ἐκ διαφόρων ταγμάτων ἀγγέλων, πρωτοτόκων, τουτέστι πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, καὶ τῶν λοιπῶν δικαίων. οἵτινες τὰ οὐράνια ἀγαθὰ τῶν μακάρων ἀπολαύουσιν, ἅπερ πρότερον μόνον οἱ ἄγγελοι ἀπήλαυον. τοῦτο δὲ ὁ θεῖος χρυσόστομος παγκάλλως ἐξηγούμενος ὑπερφυῶς ἁρμόζει τῷ μακαρίῳ Φιλογονίῳ τῷ ἐπισκόπῳ. ἐν τῷ πέμπτῳ τόμῳ λέγων οὑτωσί.

Διὸ μάλιστα μακαρίζω τὸν ἅγιον τοῦτον, ὅτι εἰ καὶ μετετάξατο, καὶ πόλιν ἀφεὶς τὴν παρ᾽ ἡμῖν, εἰς ἑτέραν μετέβη πόλιν τὴν τοῦ Θεοῦ. καὶ καταλιπὼν τὴν ἐκκλησίαν ταύτην, εἰς ἐκείνην τὴν

ctorum, sed prohibebantur, & hoc significabat Cœlum esse inaccessibile; idcircò & omnes quamuis essent iustissimi in infernum descendebant, non enim fieri poterat, vt simul & typus esset & quod figurabatur, & vmbra & veritas, figura verò erat Cœli Sancta sanctorum, sed quia Christus scidit velum templi, finem accepit figura, & via Sanctorum in Cœlum manifestàta est.

Quod autem solus Pontifex ingrederetur in illis, hoc etiam figura erat, quòd solus Christus verus Pontifex ascendisset in Cœlum, sed deinceps eo ascendente congregauit genus humanum, quippe prius erat Cœlum inuium, nunc verò factum est per Christum accessibile. lege Theophylactum, & Oecumeniū. Id verò præfigurabatur, & alio modo, vt videre est in 35. cap. numerorum. Erant enim Ciuitates refugiorum, & postquam esset mortuus sacerdos magnus, poterat reuerti occisor in terram possessionis suæ. Ita igitur mortuo Christo magno Pontifice, Sancti qui erant fugati, & exules, poterant redire in Cœlestem ipsorum patriam.

Præterea ad Hebræos cap. 11. non enim accessistis ad tractabilem montem &c. sed accessistis ad Sion montem, & Ciuitatem Dei viuentis, Hierusalem cœlestem, & multorum millium Angelorum frequentiam, & Ecclesiam primitiuorum, qui conscripti sunt in Cœlis, & Iudicem omnium Deum, & spiritus iustorum perfectorum, & testamenti noui mediatorem Iesum. Hìc Apostolus describit supernam triumphantem Ciuitatem, & Ecclesiam, quæ constat ex diuersis ordinibus Angelorum, primogenitorum, hoc est, Patriarcharum, Prophetarum, Apostolorum, Martyrum, & reliquorum iustorum, qui cœlestibus bonis beatorum fruuntur. Quibus prius soli Angeli fruebantur. hoc verò D. Chrysostomus pulcherrimè exponens suprà modum accomodat beato Philogonio Episcopo in 5. tomo sic asserens.

Quam-

τὴν τῶν πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς. καὶ τὰς ἑορτὰς ταύτας ἀφεὶς, πρὸς τὴν τῶν ἀγγέλων μετέστη πανήγυριν. ὅτι γὰρ καὶ πόλις ἄνω, καὶ ἐκκλησία, καὶ πανήγυρις ἐστὶν, ἄκουσον τοῦ Παύλου λέγοντος. προσεληλύθατε πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, οὐ διὰ τὸ πλῆθος δὲ τῶν ἄνω δυνάμεων μόνον, ἀλλὰ καὶ διὰ τὴν τῶν ἀγαθῶν ἀφθονίαν, καὶ τὴν διηνεκῆ χαρὰν, καὶ εὐφροσύνην, πανήγυριν τὰ ἐκεῖ πάντα καλεῖ. πανήγυριν γὰρ οὐδὲν ἕτερον ποιεῖν εἴωθεν, ἀλλ' ἢ τὸ πλῆθος τῶν συνειλεγμένων, καὶ ἡ δαψίλεια τῶν ὠνίων, ὅταν πυροὶ, καὶ κριθαὶ, καὶ πάντα γεννημάτων εἴδη, καὶ προβάτων ποίμνια, καὶ βοῶν ἀγέλαι, καὶ ἱμάτια, καὶ ἕτερα τοιαῦτα εἰσάγηται. τῶν μὲν πωλούντων, τῶν δὲ ἀγοραζόντων. καὶ τί τούτων ἐστὶν ἐν τοῖς οὐρανοῖς φησὶν; τούτων μὲν οὐδὲν, τὰ δὲ πολλῷ τούτων σεμνότερα. οὐ γὰρ πυροὶ, καὶ κριθαὶ, καὶ γεννημάτων εἴδη, ἀλλ' ὁ καρπὸς ἐκεῖ πανταχοῦ τοῦ πνεύματος, ἀγάπη, καὶ χαρὰ, καὶ εὐφροσύνη, καὶ εἰρήνη, καὶ ἀγαθωσύνη, καὶ πραότης μετὰ πολλῆς τῆς δαψιλείας, οὐ προβάτων ποίμνια, καὶ βοῶν ἀγέλαι, ἀλλὰ πνεύματα δικαίων τετελειωμένων, καὶ ψυχῶν ἀρεταὶ, καὶ τρόπων κατορθώματα, πανταχοῦ τῶν οὐρανῶν ἐστὶν ἰδεῖν. οὐχ ἱμάτια. καὶ ἐπιβλήματα, ἀλλὰ στεφάνους χρυσοῦ παντὸς τιμιωτέρους, καὶ βραβεῖα, καὶ ἔπαθλα, καὶ τὰ μυρία τοῖς κατορθοῦσιν ἀποκείμενα ἀγαθά, καὶ τὸ πλῆθος τῶν συνιόντων, πολλῷ σεμνότερον, καὶ πλέον. οὐ γὰρ ἐξ ἀστυκῶν τε, καὶ ἐπιχωρίων ἐστὶν ἀνδρῶν, ἀλλ' ἔνθα μυριάδες ἀγγέλων, ἐκεῖ χιλιάδες ἀρχαγγέλων, ἀλλαχοῦ συμμορία προφητῶν, ἑτέρωθι μαρτύρων χοροὶ, ἀποστόλων τάγματα, σύλλογοι δικαίων, τῶν εὐηρεστηκότων ἁπάντων δῆμοι διάφοροι. ὄντως θαυμαστή τις ἐστὶν ἡ πανήγυρις, τὸ δὲ πάντων μεῖζον ὅτι ἐν μέσῃ τῇ πανηγύρει στρέφεται τούτων ἁπάντων ὁ βασιλεύς. εἰπὼν γὰρ μυριάσιν ἀγγέλων πανηγύρει, ἐπήγαγε, καὶ κριτῇ πάντων Θεῷ. τίς ποτε εἶδεν ἐν πανηγύρει βασιλέα παρα-

μενό-

Quamobrem maximopěrè gratulor huius Sancti felicitati, quòd quamquam translatus est, atque hanc, quæ apud nos est, Ciuitatem reliquit, tamen in alteram transijt, Ciuitatem nempe Dei, ac digressus ab hac Ecclesia ad illam peruenit, quæ est primogenitorum descriptorum in Cœlis; ac relictis hisce festis transijt ad celebritatem Angelorum. Nam quod etiam supernè sit Ciuitas, Ecclesia, & celebritas, audi Paulum dicentem. Accessistis ad Ciuitatem Dei viuentis ad Hierusalem cœlestem, & Ecclesiam primogenitorum descriptorum in Cœlis, & ad innumerabilem Angelorum frequentiam. non solum autem ob multitudinem virtutum cœlestium, verum etiam ob abundantiam bonorum, & iuge gaudium, & lætitiam, panegyrim appellat totam illam vitam; nec enim alia res facere solet panegyrim, quàm mercium venalium copia, cum triticum, hordeum, & omnigenæ frugum species, ouium greges, bouum armenta, vestes, aliaque id genus plurima importantur, alijs quidem vendentibus, alijs verò commercantibus. Sed quid inquis, harum rerum est in Cœlis? harum quidem nihil, sed sunt his multò magis præclara. Non enim illic sunt triticum, hordeum, ac frugum variæ species; sed illic vbique fructus spiritus gaudium beneuolentia, bonitas, pax, & mansuetudinis summa exuberat copia. Non ouium greges, non bouũ armenta, sed spiritus Iustorum perfectorum, animarum virtutes, vitæque recta facta per omnes Cœlos videre licet. Non vestes, aut amictus, sed coronas quouis auro preciosiores, non brauia certaminum præmia, aliaque innumera bona reposita ijs, qui rectè fecerint. Ad hæc ibi est multitudo congregatorum lõgè tum copiosior, tum honoratior; neque enim constat ex viris vrbanis, indigenisque sed hic sunt Angelorum infinita millia, & Archangelorum, illic sodalitia Prophetarum, alibi Martyrum Chori, Apostolorum ordines, cunei iustorum, omniumque qui fortiter rem gesserunt

ferunt varij cœtus. Profectò miranda Panegyris est. Iámque id malus est omnibus, quod in media frequentia versatur horum omnium Rex. Etenim vbi dixisset ad innumerabilium Angelorum freqnentiam, subiecit, & ad Iudicem vniuersorum Deum. Quis vnquam vidit in Panegyri prodeuntém regem? hic quidem nemo vidit, illic autem, qui adsunt, perpetuò vident, quatenus illum videre licet, non solum præsentem, verum etiam suæ gloriæ splendore condecorantem vniuersum cœtum. Et nostræ quidem celebritates sub meridiem plerumque soluuntur, ille verò non itē: neque enim mensium in orbem recursus, neque annorum circuitus, neque dierum numerum expectat, sed stat perpetuò, illiusque bona finem non habent, nec senescere, nec marcescere possunt, sed sunt tum senij, tum mortis expertia. Nullus illic tumultus quemadmodum hic, nulla turbatio, sed ingens omnium cum ordine decenti compositio, haud secus atque in cithara quapiam modulatissimum cōcentum, & quauis musica suauiorem reddentium vtriusque creaturæ Domino, dum anima illic velut in sacris adytis, diuinisque mysterijs diuinorum arcanorum mystagogiam peragit. Ad hanc beatam requiem transijt hodierna die B. Philogonius. Nota illud, hodie, non enim in extremo die Iudicij. Eundem locum applicant Græci nonnullis Sanctis in suis libris Ecclesiasticis, dicunt enim de Theodoro Grapto γραπτῷ, hoc est, literis inciso, quem celebrant vna cum Stephano Protomartyre, in numero Ecclesiæ primogenitorum in excelsis collocatus es, & ad celebritatem Angelorum valde lætus accessisti.

Præterea in actibus Apostolorum cap. 7. Stephanus lapidibus obrutus, & paulò post moriturus vidit gloriā Dei, & Christum stantem a dextris Patris, & Cœlos apertos, ad quid autem aperti sunt ei Cœli, si tunc temporis non erat ipse ingressurus, & Christum precatur vt accipiat spiritum

καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ. ταῦτα τὰ ῥήματα σημαίνουσιν αὐτοὺς εἶναι ἀληθῶς ἐν τῷ οὐρανῷ, καὶ ὁρᾶν τὸ πρόσωπον τοῦ Θεοῦ. τοῦτο γὰρ βούλεται τὸ εἶναι ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ.

Ἔτι ὁ ψαλμῳδὸς ἐν τῷ. ξζ. ψαλμῷ προγράφων τὴν ἀνάληψιν τοῦ κυρίου, φησίν. ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσας. αἰχμαλωσίαν. τοὺς παλαιᾶς διαθήκης ἐλευθερώσας ὁ σωτὴρ ἐκ τοῦ ᾅδου ἀνήγαγε μεθ᾽ ἑαυτοῦ εἰς τὸν οὐρανόν. μαρτυρεῖ τοῦτο καὶ ὁ θεῖος χρυσόστομος ἐν τῷ λόγῳ εἰς τὴν ἐν τῷ ᾅδῃ τοῦ κυρίου κατάβασιν καὶ εἰς τὸν λῃστὴν, οὗ ἡ ἀρχὴ, ὦ τῶν ξένων, καὶ παραδόξων πραγμάτων, ἐν τῷ τέλει τοῦ λόγου φάσκων, ὁ δὲ κύριος σκυλεύσας τὸν θάνατον, καὶ τὸν ᾅδην πατήσας, καὶ τοὺς μοχλοὺς συντρίψας, καὶ τὸν διάβολον δήσας, καὶ τὸν ἄνθρωπον ἐλευθερώσας, πάντας εἰς οὐρανοὺς ἀνεκόμισεν ἀναστὰς ἐκ νεκρῶν. τὸ αὐτὸ μαρτυρεῖ καὶ ἐν τῷ ἑβδόμῳ τόμῳ, λόγῳ. ια. εἰς τὸ, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς. ἀνεπέτασε, τὰς πύλας τοῦ ᾅδου, καὶ πάντας τοὺς ὑπ᾽ αὐτοῦ δεθέντας μεθ᾽ ἑαυτοῦ λαβὼν, εἰς οὐρανοὺς, πρὸς τὸν πατέρα ὡς γίγας ἀνέδραμε. καὶ ὁ Ὀκουμένιος ἐξηγούμενος τὸ ἔνατον κεφάλαιον τῆς πρὸς Ἑβραίους, τοῦτ᾽ αὐτὸ μαρτυρεῖ λέγων, ἀλλὰ λοιπὸν (ὁ χριστὸς) συνήγαγε τὸ γένος τῶν ἀνθρώπων, ἦν μὲν γὰρ πρὸ τούτου ἄβατος (ὁ οὐρανός) νῦν δὲ διὰ τοῦ χριστοῦ βατὸς γέγονεν.

Ἔτι ὁ Παῦλος ἐν τῇ πρὸς φιλιππησίους κεφ. α. φησὶ, καὶ τί ἐρήτομαι οὐ γνωρίζω. συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν χριστῷ εἶναι. πολλῷ γὰρ μᾶλλον κρεῖσσον, τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι᾽ ὑμᾶς. ὅπου ὁ χρυσόστομος. τί λέγεις; μέλλων ἐντεῦθεν πρὸς τὸν οὐρανὸν μεθίστασθαι, καὶ μετὰ χριστοῦ εἶναι, οὐ γνωρίζεις τί αἱρήσῃ; καὶ κατωτέρω. τίς ἔμπορος, εἰπέ μοι, θησαυρῶν μυρίων πλήρη τὴν ὁλκάδα ἔχων, παρὸν εἰς λιμένα καταδραμεῖν καὶ ἀναπαύεσθαι, ἕλοιτο θαλαττεύειν ἔτι; τίς ἀγωνιστὴς, παρὸν στεφανωθῆναι, ἕλοιτο ἀγωνίζεσθαι; τίς πυκτεύων, παρὸν ἀναδήσασθαι τὸν στέφανον, ἕλοιτο πάλιν εἰς τὸν ἀγῶνα εἰσιέναι, καὶ κατακόπτειν τὴν ἑαυτοῦ κεφαλήν; ποῖος στρατηγὸς, ἐξὸν ἀπαλλαγῆναι τοῦ πολέ-

eius.lege troparia & hymnos, qui canuntur in eius festiuitate. Et nota quod ferè de singulis Sanctis communiter in fine collectæ dicitur, migrauit ad Dominum. Prætereà in Apocalypsi c. 6. dicitur. Datæ sunt singulis stolæ albæ, hoc quidem, ait, propter beatitudinem animæ, & in c. 7. hi qui amicti sunt stolis albis stant ante Thronum Dei, & seruiunt ei die, ac nocte in templo eius, hæc verba significant eos esse re vera in Cœlo, & videre faciem Dei, id enim illud vult esse in conspectu Throni Dei, cernere Deum.

Præterea Dauid psal. 67. describens triumphum Ascensionis Domini ait, ascendens in altum captiuam duxit captiuitatem. nam progenitores, Patriarchas, Prophetas, & Sanctos veteris testamenti cum liberasset Saluator ex inferno secum adduxit in Cœlum. Testatur hoc etiam D. Chrysostomus in oratione in descensum Domini ad Inferos, & in latronem, cuius initium, ò miras res, & paradoxas in fine orationis ait. Dominus autem spolians mortem, & infernum conculcans, & vectes ferreos confringens, & diabolum ligans, & hominem liberans, omnes in Cęlos reduxit, cum surrexisset a mortuis. Idem testatur in 7. tom. oratione ij. in illud, quæcunque ligaueris super terram. aperuit portas inferi, & omnes, qui ab ipso erant ligati, secum accipiens in Cęlum ad Patrem tanquam Gigas rediјt currens. Oecumenius etiam exponens nonũ caput epistolæ ad Hebræos hoc idem testatur dicens, sed deinceps Christus cõduxit genus humanum erat enim antea inaccessum Cęlum, nunc verò factum est per Christum accessibile.

Præterea Paul. ad Philip. c. 1. Quid eligam ignoro, coarctor autem è duobus, desiderium habens dissolui, & esse cum Christo multo magis melius, permanere autem in carne magis necessarium propter vos; vbi Chrysostomus, quid est quod dicis? nosti, & pro comperto habes, futurum te esse cum Christo, & hæsitas, ac dicis, quid eligã nescio?

 & pau-

μου μετὰ εὐδοξίας, καὶ τροπαίων, καὶ μετὰ τοῦ βασιλέως ἐν τοῖς βασιλείοις ἀναπαύεσθαι, καταδέξαιτ' ἄν ἔτι καὶ ἱδρῶν, καὶ παρατάττεσθαι; πῶς οὖν τὸν οὕτω κατάπικρον ζῶν βίον, ἔτι ἐνταῦθα μένειν βούλει;

Ἐκ τούτων οὖν τῶν χρυσῶν ῥημάτων τοῦ διδασκάλου, καὶ ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων λαμπρότερον παρίσταται ὁ σκοπὸς τοῦ χρυσορρήμονος πατρὸς, καὶ ὅτι ἣν τὴν γνώμην μετέβαλε, ἥντινα νέος ὢν ἐφρόνει, καὶ ξυνεγράψατο ἐν τῷ ἑβδόμῳ λόγῳ, οὗ ἡ ἀρχή, πολλὰ παρεκάλεσα χθὲς τὴν ὑμετέραν ἀγάπην. τοῦ Ε' τόμου, τοῦ περιέχοντος διαφόρους λόγους εἰς διαφόρους τῶν ἁγίων γραφῶν περικοπάς. ἥντινα γνώμην ἀλλαχοῦ ἡμεῖς λεπτομερέστερον ἐνιστάμενοι καθ' ἡμῶν αὐτῶν προὐτεινάμεθα, καὶ ταύτης τὴν λύσιν ἐν τῷ προσήκοντι χωρίῳ ἐπιφέρομεν. ἢ πάντως νοθεύεται ταῦτα, καὶ οὐκ εἰσὶ τῆς χρυσῆς σάλπιγγος ἐναντία ὄντα τοῖς προρρηθεῖσιν. ἢ ὅλως τὴν ὁλόκληρον ἀνάστασιν νοεῖ ὁ διδάσκαλος. τοῦτο γὰρ βούλεται τὸ παράδειγμα τοῦ ἀδάμ, καὶ τῆς θείας γραφῆς δέον οὖν συνεκδοχικῶς ἐκ μέρους τῆς ψυχῆς τὸν ἅγιον νοεῖσθαι. ὡς ἐν τοῖς ἄλλοις παραδείγμασιν φαίνεται.

Ἐν τῇ ἑβδόμῃ συνόδῳ πράξει τρίτῃ φυλ. 449. φέρεται ὑπόδειγμα συνοδικὸν Θεοδώρου Πατριάρχου τῶν Ἱεροσολύμων, ὃν ἀποδέχεται πᾶσα ἡ σύνοδος, ἐν ᾧ ὁ διδάσκαλος περὶ τῶν σωμάτων καὶ λειψάνων τῶν ἁγίων καὶ τῶν ψυχῶν αὐτῶν ταῦτα φησίν. οὗτοι γὰρ αὐτοὶ ταμεῖα Θεοῦ, καὶ καθαρὰ καταγώγια γεγόνασι, καὶ τοῦ ἁγίου πνεύματος ἀκηλίδωτα ἔσοπτρα. Ἀλλὰ καὶ αἱ ψυχαὶ αὐτῶν ἐν χειρὶ Θεοῦ πεφήνασιν ὡς γέγραπται. ζωὴ γὰρ ὢν ὁ Θεὸς καὶ φῶς, καὶ οἱ ἐν χειρὶ Θεοῦ ὄντες ἅγιοι, ἐν ζωῇ καὶ φωτὶ ὑπάρχουσιν. καὶ διὰ τοῦτο τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, οὗτοι ζῶντες ἐν παρρησίᾳ τῷ Θεῷ παρεστήκασι. πηγὰς σωτηρίους ὁ δεσπότης χριστὸς τὰ τῶν ἁγίων ἡμῖν παρέσχετο λείψανα, πολυτρόπως τὰς εὐεργεσίας τοῖς ἀσθενοῦσι πηγάζοντα, μύρον εὐωδίας βρύοντα, καὶ δαίμονας ἀπελαύνοντα. Καὶ ὡς φησὶν ὁ μέγας διδάσκαλος, καὶ τῆς ἀθανασίας ἐπώνυμος, τὰ τῶν μαρτύρων ὀστᾶ νόσους φυγαδεύουσιν, ἀσθενεῖς θεραπεύουσι,

τυφλοῖς

& paulò infra, ecquis mercator naui vectus innumerabilium thesaurorum plena, si liceat subire portum, ac requiescere, mari adhuc iactari malit? Ecquis athleta cum liceat corona potiri adhuc certare postulet? Ecquis pugil cum coronam possit inducere malit rursus in certamen descēdere, & suum ipsius caput concidendum prębere? Ecquis dux exercitus, qui in bello cū gloria & trophæis liberari queat, & cum Rege in regia quietus degere, seque oblectare, adhuc, & sudare præoptet, & in aciem prodire? quomodo igitur hanc acerbam viuendo vitam, adhuc vis hìc manere?

Ex his igitur aureis verbis Doctoris, & ex his, quæ postea sumus dicturi, clarè constat mens aurea verba fundentis Patris, vel dicendum est, eum mutasse sententiam, quàm habuerit iuuenis, & conscripsit in septimo sermone, cuius initium, multū hesterna die rogaui vestram charitatē, quod reperitur in 5. tomo, qui tomus continet varios sermones in diuersas sacræ Scripturæ periodos. quam sententiā nos alibi perpartes nobis obijcientes, eius solutionem loco cōuenienti attulimus; vel dicendum est, hæc esse adulterina, & non esse illius aureæ tubæ, cum prædictis sint contraria. Vel tandem totalem, & integram resurrectionē intelligit Doctor, id enim requirunt exempla Adæ, & diuinę Scripturæ cū per figuram synecdochen ex parte animæ necesse sit totum hominem intelligere, & Chrysostomum quoque idem intelligere, cum etiam in alijs exemplis idē appareat.

In septima Synodo act. 3. fol. 449. fertur exemplar Synodicum Theodori Patriarchę Hierosolymorum, quem recepit tota Synodus, in quo doctor ipse de corporibus, & reliquijs, & animabus Sanctorum hęc disserit: Hi enim ipsi ærarium, & loca, in quibus reponuntur thesauri, & habitacula mūda, sanctiq; Spiritus purissima specula facti sunt, sed & ipsorū animæ in manu Dei sunt, vt scriptum est. Cū enim vita sit Deus, & lux, Sancti quoque qui in manu Dei sunt in

vita

τυφλοῖς τὸ βλέπειν χαρίζονται, λεπροὺς καθαίρουσι, πειρασμοὺς καὶ αἰτίας διαλύουσι, καὶ ταῦτα διὰ Χριστοῦ, τοῦ ἐν αὐτοῖς ἐνοικήσαντος. ἐφ᾽ ᾧ δὴ καὶ καλῶς ὁ ψαλμῳδὸς ἐκελάδησε, θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. καὶ αὖθις, τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Διὸ δὴ παυσάσθωσαν ἑαυτοὺς Γραικοὺς ἀποκαλοῦντες τοιαύτας ἀρνούμενοι τῶν ἁγίων τῶν ἀνατολικῶν μαρτυρίας. ἡμεῖς δὲ ἀντεισάξομεν τὰ λοιπὰ ῥητὰ τῶν διδασκάλων.

Διονύσιος οὖν ὁ Ἀρεοπαγίτης ὁ Παυλοδίδακτος ἐν τῷ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας κεφ. ζ. διαλεγόμενος περὶ τῶν ἁγίων, ὅσον οὔπω τεθνηξομένων, οὕτω φησίν. ὅλους αὐτοὺς ἀπολείψεσθαι τὴν χριστοειδῆ λῆξιν, εἰδότες, ὅταν ἐπὶ τὸ πέρας ἔλθωσι τοῦ τῇδε βίου τὴν εἰς ἀφθαρσίαν αὐτῶν ὁδόν, ὡς ἐγγυτέραν ἤδη γεγενημένην, ἐμφανέστερον ὁρῶσι, καὶ τὰς δωρεὰς τῆς θεαρχίας ὑμνοῦσι, καὶ θείας ἡδονῆς ἀποπληροῦνται, τὴν ἐπὶ τὰ χείρω ῥοπὴν οὐκ ἔτι δεδοικότες, ἀλλ᾽ εὖ εἰδότες ὅτι τὰ κτηθέντα καλὰ, βεβαίως, καὶ αἰωνίως ἕξουσι. καὶ κατωτέρω ἐν τῷ αὐτῷ κεφαλαίῳ φησί. τὰς ψυχὰς τῶν ἁγίων εἶναι ἐν φωτὶ, καὶ χώρᾳ ζώντων, εἰς κόλπους Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἐν τόπῳ, οὗ ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμὸς, ταῦτα δὲ ἐπεξηγεῖται εἶναι τὴν εὐδαιμονίαν τῶν ψυχῶν, ταῦτα μὲν οὖν φησιν (ὡς εἶμαι) δῆλα τὰ τῶν ἁγίων μακαριώτατα, γέρα. τί γὰρ ἂν γένοιτο τῆς παντελῶς ἀλύπου, καὶ φωτιστικῆς ἀθανασίας ἰσόῤῥοπον; εἰ καὶ τὰ μάλιστα ταῖς ἡμῶν ἀναλόγοις σημασίαις, αἱ παντὸς ὑψηλότεραι νοὸς ἐπαγγελίαι σημαινόμεναι, τῆς πραγματικῆς αὐτῷ ἀληθείας ἀποδεούσας ἔχουσι τὰς ὀνομασίας. ἀληθὲς γὰρ εἶναι τὸ λόγιον ὁπτέον, ὅτι ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. κόλποι δὲ εἰσὶν, ὡς οἶμαι (σημείωσαι) τῶν μακαρίων πατριαρχῶν, καὶ τῶν λοιπῶν ἁγίων ἁπάντων, αἱ θειόταται καὶ μακαρισταὶ λήξεις, αἱ τοὺς θεοειδεῖς ὑποδεχόμεναι πάντας εἰς τὴν

vita & luce consistunt,& ideo pretiosa in conspectu Domini mors Sanctorum eius.Isti viuentes fiducialiter Deo astiterunt: fontes salutares Christus Dominus Sanctorũ nobis reliquias præbuit,quæ multis modis beneficijs infirmantes irrigant, vnguentũ suauitatis emanant, & dęmones abigũt, & sicut dicit magnus Doctor ab immortalitate cognominatus(idest Athanasius) martyrũ ossa languores fugant, infirmos curant,cœcis videre donant, leprosos mundant,tẽtationes,& mærores dissoluunt; & hæc per Christũ,qui habitauit in illis, & benè Psalmista cecinit; Mirabilis Deus in Sanctis suis,& rursus, Sanctis, qui sunt in terra eius, mirificauit omnes voluntatis eius inter illos.

Quapropter cessent se ipsos appellare Græcos, qui hæc testimonia Sanctorum Orientalium inficiantur; Nos verò inducemus reliqua dicta Doctorum.

Dionysius igitur Areopagita à Paulo edoctus in cap. 7. de Ecclesiastica hierarchia disserens de Sanctis in morte constitutis dicit, eos optimè nosse, se totos percepturos exactissimam ad Christi speciem: cum ad præsentis vitæ finem peruenerint,viamq. ad immortalitatem suam è vicino iam clarius intuẽtes,diuinitates iam laudant munera, diuinaq; lætitia gestiunt, non iam ad deteriora conuersionem metuentes,sed parata bona se firmiter,perpetuòq; habituros probè noscentes.Et in eodem capite dicit,animas Sanctorum statui in lumine,& regione viuẽtium,in sinus Abrahæ,Isaac,& Iacob,in loco vbi aufugit dolor, & mestitia,& gemitus.hæc autem interpretatur esse beatitudinẽ animæ, sic enim scribit.Hæc, vt reor,sunt perspicua beatissima Sanctorum præmia.Quid enim immortalitati perfectæ, omniq; tristitia vacuæ, ac plenæ perpetui luminis conferri possit? licet multum sanè promissiones illę sublimiores nostra mẽte sint, quæ vocabulis nobis congruis designantur, longè tamen inferiores earũ re,& veritate appellationes habent.

Verum

ἐν αὐτοῖς ἀγήρω, καὶ μακαριωτάτην τελείωσιν.

Ἰγνάτιος ὁ θεοφόρος, καὶ μεγαλομάρτυς ἐν τῇ πρὸς ῥωμαίους ἐπιστολῇ φησὶν, ὅτι ὁ χριστὸς ἀπὸ ἀνατολῆς μεταπεμψάμενος (τὸν Ἰγνάτιον) τῶν ἑαυτοῦ παθημάτων μάρτυρα ἐκάλει, τοῦ διαλυθῆναι ἀπὸ κόσμου εἰς Θεόν. καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ κατωτέρω, ὕδωρ ζῶν, ἀλλόμενον ἐν ἐμοὶ, ἔσωθέν μοι λέγει, δεῦρο πρὸς τὸν πατέρα. ἐν τῇ αὐτῇ. ἄφετέ με καθαρὸν φῶς λαβεῖν. ἐκεῖ παραγενόμενος ἄνθρωπος Θεοῦ ἔσομαι. ταῦτα δὲ φησὶν ὁ πλήρης τοῦ ἀποστολικοῦ πνεύματος Ἰγνάτιος, οὐχ ἑαυτὸν ἐπαινῶν, πόῤῥω γὰρ τῆς τοιαύτης συνηθείας ὁ ἅγιος, μᾶλλον δὲ σαφοῦς μανίας; ὡς εἰώθασι φλυαρεῖν, ἵνα μὴ εἴπω βλασφημεῖν οἱ ἡμέτεροι, ὅταν ἀκούωσιν ἐπαινουμένους τοὺς ἁγίους, φάσκοντες εἶναι ἐγκώμια, τουτέστι, ὡς αὐτοὶ ἑρμηνεύουσι, ψευδῆ. ἀρνούμενοι τὴν ἀπόλαυσιν τῶν ἁγίων, καθὸ ψυχαὶ ἐν τῷ οὐρανῷ, καὶ τὴν κόλασιν τῶν ἀνόμων ἐν τῷ ᾅδῃ. καὶ οὕτως ὁμολογουμένως ἀποφαίνονται τὴν ἑαυτῶν ἐκκλησίαν εἶναι συντεθειμένην ἐκ ψεύδους, καὶ τοῖς τῆς θείας γραφῆς μαρτυρούσης, ὀφθαλμὸν μὴ ἑωρακέναι, μήτε οὖς ἀκηκοέναι, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀναβεβηκέναι ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. τίς οὖν ἔσται ἐκεῖνος ὁ ῥήτωρ, κἂν ἐν τοῖς ἔξωθεν τοὺς εὐγλωττοτάτους Θουκυδίδην, Ξενοφῶντα, καὶ Δημοσθένην εἴποις, κἂν ἐν τοῖς ἡμετέροις τοὺς ῥητορικωτάτους τὸν κατ᾽ ἐξοχὴν θεολόγον Γρηγόριον, τὸν μέγαν βασίλειον, καὶ τὸν χρυσοῤῥήμονα ὀνομάσαις, κἂν αὐτὸν τὸν θεοδίδακτον Παῦλον φαίης, ὅς τις δυνήσεται τοιοῦτόν τι μέγα καὶ τηλικοῦτον εἰπεῖν περὶ τῶν φίλων τοῦ Θεοῦ, ὥστε ἐξισοῦσθαι ταῖς θείαις ἐπαγγελίαις; ἀλλ᾽ οὐχ οὕτως ὁ χρυσόστομος ἐν τῇ τρίτῃ ὁμιλίᾳ πρὸς φιλιππησίους, ὅπου φησίν. Πενθῶμεν τοὺς ἁμαρτωλοὺς μὴ ἀποθνήσκοντας μόνον, ἀλλὰ καὶ ζῶντας. χαίρωμεν δὲ ἐπὶ τοῖς δικαίοις, μὴ ζῶσι μόνον, ἀλλὰ καὶ τετελευτηκόσιν. ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες τεθνήκασιν, οὗτοι δὲ καὶ ἀποθανόντες, ζῶσι. ἐκεῖνοι καὶ ἐνταῦθα ὄντες, ἐλεεινοὶ πᾶσιν εἰσὶν, ἐπειδὴ Θεῷ προσκρούουσιν, οὗτοι καὶ ἐκεῖ μεταστάντες μακάριοι, ὅτι πρὸς

τῶν

Verum enim profectò illud existimādum est eloquiū, quod oculus non vidit, auris non audiuit, & in cor hominis non ascenderunt, quæ præparauit Dominus diligentibus se. Sinus autem sunt, vt reor (nota) beatorum Patriarcharum, & reliquorum omnium Sanctorum diuinissimæ, ac beatissimæ requies, quæ diuinos omnes viros recipiunt in senectutis expertè, & beatissimam perfectionem.

Ignatius Deipherus, & Magnus Martyr in Epist. ad Romanos dicit, quòd Christus ab Oriente accersens (Ignatiū) vocabat eum fieri testem suarum passionum, vt dissolueretur à mundo in Deum. Et in eadē Epistola paulò infra, aqua viua saliens in me intus mihi dicit, veni ad Patrem. In eadē Epistola, sinite me accipere lumen purum, eò accedens homo Dei ero. Hæc verò dicit Apostolici Spiritus Ignatius plenus, non se ipsum laudans, lōgè enim abest à tali ineptia Sanctus, immò verò à manifesta dementia, vt solent nugari, ne dicam blasphemare nostri, quando audiunt laudari Sanctos dicentes, esse Encomia, hoc est, vt ipsi interpretantur, mendacia, negantes fruitionē Sanctorum, quatenus animæ in Cœlo, & punitionem impiorum in Inferno. Ac ita haud dubiè enunciant, ipsorū Ecclesiam esse cōpositam ex mendacio. licet diuina Scriptura testetur, oculum non vidisse, neque aurē audiuisse, neque in cor hominis ascendisse, quæ præparauit Deus diligētibus ipsum. Quis igitur ille erit rhetor, quamuis inter externos eloquentissimos Thucididem, Xenophontem, & Demosthenē dixeris, quamuis inter nostrates disertissimos per excellentiam Theologū Gregoriū, Magnum Basilium, & aureū illud os nominaueris, quamuis ipsum Paulum à Deo edoctum fassus fueris, qui poterit tale aliquid magnum dicere de amicis Dei, vt æquare possit diuinis pollicitationibus? At nō ita Chrysostomus in 3. hom. ad Philippenses, vbi dicit lugeamus peccatores non solum morientes, sed etiam viuentes. De iustis gaudeamus, nō so-

τὸν χριστὸν ἀπῆλθον. οἱ ἁμαρτωλοὶ ὅπου ἂν ὦσι πόῤῥω τοῦ βασιλέως εἰσὶν, διὰ τοῦτο δακρύων ἄξιοι, οἱ δὲ δίκαιοι ἄν τε ἐνταῦθα, ἄν τε ἐκεῖ μετὰ τοῦ βασιλέως εἰσί. κἀκεῖ μᾶλλον, καὶ ἐγγύτερον οὐ διὰ εἰσόδου, οὐ διὰ πίστεως, ἀλλὰ πρόσωπον. φησὶ πρὸς πρόσωπον. μὴ τοίνυν ἁπλῶς κλαίωμεν τοὺς ἀποθανόντας, ἀλλὰ τοὺς ἐν ἁμαρτίαις, οὗτοι θρήνων ἄξιοι, οὗτοι κοπετῶν, καὶ δακρύων. ποία γὰρ ἐλπὶς, εἰπέ μοι, μετὰ ἁμαρτημάτων ἀπελθεῖν, ἔνθα οὐκ ἔστιν ἁμαρτήματα ἀποδύσασθαι; ἕως μὲν γὰρ ἦσαν ἐνταῦθα, ἴσως ἦν προσδοκία πολλὴ, ὅτι μεταβαλοῦνται, ὅτι βελτίους ἔσονται, ἂν δὲ ἀπέλθωσιν εἰς τὸν ᾅδην, ἔνθα οὐκ ἔστιν ἀπὸ μετανοίας κερδᾶναί τι (ἐν γὰρ τῷ ᾅδῃ, φησὶ, τίς ἐξομολογήσεταί σοι) πῶς οὐ θρήνων ἄξιοι; ἐνταῦθα μαρτυρεῖ ὁ ἅγιος καὶ τὴν ἀπόλαυσιν τῶν δικαίων, καὶ τῶν ἁμαρτωλῶν τὴν κόλασιν.

Ἐν τῇ ἑορτῇ τῶν ἀποστόλων, περὶ τοῦ Παύλου ἡ ἀνατολικὴ ἐκκλησία οὕτω μελῳδεῖ. νῦν οὐδαμῶς ἐν αἰνίγματι, οὐδὲ ἐν ἐσόπτρῳ χριστὸς σοὶ ὀπτάνεται. πρὸς πρόσωπον δὲ μᾶλλον ὁρᾶται πρόσωπον, τελείως σοὶ τὴν γνῶσιν ἀποκαλύπτων τῆς θεότητος.

Ὁ ἅγιος Ἐπιφάνιος ἐν τῷ λόγῳ τῷ εἰς τὴν Θεόσωμον ταφὴν τοῦ κυρίου, καὶ εἰς τὴν ἐν τῷ ᾅδῃ κατάβασιν, περὶ τὸ τέλος εἰσάγει τὸν κύριον οὕτω διαλεγόμενον μετὰ τοῦ Ἀδάμ. λοιπὸν ἔγειρε, ἄγωμεν ἐντεῦθεν. ἐξήγαγέ σε ὁ ἐχθρὸς ἀπὸ γῆς παραδείσου. ἀποκαθίσω σε οὐκέτι ἐν παραδείσῳ, ἀλλ' ἐν οὐρανίῳ θρόνῳ. καὶ κατωτέρω. ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν ἀπὸ τῆς ὀδύνης εἰς εὐφροσύνην, ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἀπὸ φυλακῆς εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἀπὸ τῶν δεσμῶν ἐπὶ τὴν ἄνεσιν, ἀπὸ τῆς κατοχῆς ἐπὶ τὴν τοῦ παραδείσου τρυφὴν, ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν.

Ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ ζωῇ τοῦ μεγάλου Ἀντωνίου, ἦν, συνέθετο, ὅτι ἐν τῷ ὄρει καθήμενος, εἶχε τὴν μὲν καρδίαν νήφουσαν, τὸν δὲ κύριον δεικνύοντα αὐτῷ τὰ μακρὰν. καὶ γάρ ποτε καθήμενος πάλιν ἐν τῷ ὄρει, καὶ ἀναβλέψας εἶδεν ἐν τῷ ἀέρι ἀν-

ἐρχό-

lùm morientes,ſed etiam viuentes. De iuſti gaudeamus,nō ſolum dum viuunt, verùm etiam poſtquam mortui fuerint. Nam illi quidem etiam dum viuunt, mortui ſunt: hi verò etiam cùm mortui fuerint, viuunt. Illi etiam dum hic ſunt, omnium elicere miſericordiam debēt, quoniam Deum offendunt: hi verò illuc etiam tranſlati beati ſunt, quoniam ad Christum ſunt profecti. Peccatores vbi vbi ſunt, procul à Rege ſunt; propterea lacrymis digni. Iuſti autem, ſiue hìc, ſiue ibi cum Rege ſunt, atque ibi quidem multo magis, ac propius, non quaſi quodam interiecto veſtibulo, non per fidem, ſed facie, inquit, ad faciem. Non igitur vniuersè ploremus mortuos, ſed eos qui in peccatis: hi lamentis digni, hi eiulatu, hi lacrymis. Quæ enim, dic mihi, ſpes eſt vnà cum peccatis eò diſcedere, vbi peccata exuere non licet? donec enim hic erant, magna forſitan erat ſpes, fore vt conuerterentur, vt meliores euaderent, at ſi in infernum abierint, ibi nihil lucri ex pœnitentia reportari poteſt. Nam in inferno, inquit, quis confitebitur tibi? quomodo non lamentis digni? lugeamus eos, qui hoc modo decedunt. Hìc teſtatur Sanctus, & fruitionem Iuſtorum, & punitionem peccatorū.

In feſto Apoſtolorum de Paulo Orientalis Eccleſia ita canit, nunc nulla ratione in ænigmate, neque in ſpeculo Christus tibi apparet, ſed magis facie ad faciem videtur, perfectè tibi notitiam Deitatis reuelans.

Sanctus Epiphanius oratione in diuini Corporis ſepulturam, & in infernum Domini deſcenſum circa finem, ſic introducit Dominum loquentem cum Adam: Surge eamus hinc. Eduxit te hoſtis ex terra Paradiſi; ego verò te non amplius in Paradiſo, ſed in cęleſti throno colloco. Et inferius: Surgite, eamus hinc, à dolore ad lætitiam, ex ſeruitute in libertatem, ex carcere in cœleſtem Hieroſolymam, ex vinculis in libertatem, ex captiuitate ad Paradiſi delitias, è terra in cœlum.

ἐρχόμενόν τινα, πολλούς τε τῶν ἀπαντώντων γινομένην τὴν χαρὰν, εἶτα καὶ θαυμάζων, καὶ μακαρίζων τὸν τοιοῦτον χορὸν, ηὔχετο μαθεῖν, τί ἂν εἴη τοῦτο, καὶ εὐθὺς ἦλθεν αὐτῷ φωνὴ, ταύτην εἶναι τοῦ Ἀμοῦν τὴν ψυχὴν, τοῦ ἐν τῇ νιτρίᾳ μοναχοῦ. ἦν δὲ οὗτος ἀσκητὴς ἕως γήρως διαμείνας, καὶ τὸ διάστημα δὲ τὸ ἀπὸ τῆς νιτρίας ἕως τοῦ ὄρους, ἔνθα ἦν ὁ Ἀντώνιος, ἡμερῶν ὡς δεκατριῶν. οἱ τοίνυν μετὰ τοῦ Ἀντωνίου βλέποντες τὸν γέροντα, ἠξίωσαν μαθεῖν, καὶ ἤκουσαν ὅτι ἄρτι τετελεύτηκεν ὁ Ἀμοῦν. καὶ πρὸς τὸ τέλος τοῦ συγγράμματος περὶ αὐτοῦ τοῦ Ἀντωνίου φησὶν Ἀθανάσιος. ταῦτα εἰπὼν (ὁ Ἀντώνιος) καὶ ἀσπασαμένων ἐκείνων, αὐτὸς ἐξάρας τοὺς πόδας, καὶ ὥσπερ φίλους ὁρῶν τοὺς ἐλθόντας πρὸς αὐτὸν ἀγγέλους, καὶ δι' αὐτοὺς περιχαρὴς γενόμενος, ἐφαίνετο γὰρ ἀνακείμενος ἱλαρῷ τῷ προσώπῳ, ἐξέλιπε, καὶ προσετέθη πρὸς τοὺς πατέρας.

Καὶ περὶ τοῦ ἁγίου Βενεδίκτου οἱ Γραικοὶ ἐν τοῖς ἑαυτῶν μηναίοις. μαρτίου. ιδ. οὕτω φασίν. ἐν αὐτῇ δὲ τῇ ὥρᾳ δυσὶν ἀδελφοῖς τῷ μὲν ἑνὶ ἡσυχάζοντι ἐν τῷ ἑαυτοῦ κελλίῳ, τῷ δὲ ἑτέρῳ μήκοθεν οἰκοῦντι ὅρασις ὁμοία ἐφάνη. εἶδον τοίνυν ἑκάτεροι. καὶ ἰδοὺ ὁδός τις θαυμαστὴ ἀπὸ τοῦ ὁσίου τοῦ κελλίου μέχρι τοῦ οὐρανοῦ πρὸς ἀνατολὰς ἀνετείνετο ἐκλαμπρῶν τινῶν ἱματίων σηρικῶν ἐστρωμμένη ὅλη, ἐν αὐτῇ δὲ ἤτινες ἄνδρες ἐξαίσιοι λαμπάδας κατέχοντες, καὶ ἐν ὀρδίνως τρόπῳ εὐθείᾳ βαστάζοντες ἀνήρχοντο. ἀνὴρ δέ τις ἕτερος λευχείμων καὶ αὐτὸς φωτοειδὴς πλησίον αὐτοῦ ἑστηκὼς ἠρώτα τούτους, εἰ τὴν ὁδὸν ταύτην, ἣν κατανοοῦσι θαυμάζοντες, ἐπίστανται τίνος ἐστί; τῶν δὲ ἀγνοεῖν εἰπόντων, ἔφη ὁ φανείς, αὕτη ἐστὶν ἡ ὁδὸς, δι' ἧς ὁ τοῦ θεοῦ ἀγαπητὸς Βενέδικτος εἰς οὐρανοὺς ἀνέρχεται. ταῦτα ἔλαβον οἱ Γραικοὶ ὀλίγα τινὰ ἐναλλάξαντες, σχεδὸν ἐκ τοῦ δευτέρου βιβλίου τῶν διαλόγων τοῦ μεγάλου Γρηγορίου κεφαλαίῳ τριακοστῷ ἑβδόμῳ, μεθερμηνευθέντα ἐκ τῆς λατίνων φωνῆς ὑπὸ Ζαχαρίου τοῦ Πάπα.

Ἔτι ὁ μέγας Βασίλειος ἐν τῇ. ιη. ὁμιλίᾳ εἰς Βαρλαὰμ τὸν μάρτυρα, οὕτως ἄρχεται ταύτης. πρότερον μὲν τῶν ἁγίων οἱ

θάνα-

Sanctus Athanasius in vita Magni Antonij, quam ipse composuit, Antonij, inquit, hoc mirum erat, quod in monte sedens habebat cor vigilans, & Dominum ostendentē sibi, quæ procul gerebantur. Nam rursus aliquando in monte sedens, & sursum aspiciens vidit in aere quendam ascendētem, & magnam fieri lætitiam eorum, qui occurrebant. Deinde etiam admirans, & huiusmodi chorum beatum existimans, precabatur scire, quidnam hoc esset, & statim venit vox ipsi, hanc esse animam Ammonis, qui in Nitria Monachus morabatur, erat autē is Asceta, qui in meditationibus diuinis vsque ad senectutem exercendo se perseuerauerat, & spatium à Nitria vsque ad montem, vbi residebat Antonius tredecim dierum erat. Qui igitur aderant cum Antonio videntes senem admirantem voluerunt scire, & audierunt, quod modò obijt Ammon. Et circa finē illius vitæ de eodē Antonio ait Athanasius, hæc cùm dixisset Antonius, & illi amplexati eum essent, erigēs pedes, & tanquam amicos intuens, qui ad eum venerant, Angelos, & propter eos valdè lætus factus (apparebat enim iacēs hilari vultu) defecit, & ad Patres appositus est.

Et de Sancto Benedicto Græci in ipsorum Menæis. mense Martio 14. die vbi celebrant eius festū in eius Synaxario, sic habēt, eadem hora (quando exhalauit animam) duobus fratribus, vni quidē in propria cella quiescenti, alteri verò lōgius habitanti, visio similis apparuit. Vidit igitur vterque & ecce via quædam admirabilis à cella sancti viri ad cœlū vsque versus orientem extendebatur, ex pulcherrimis quibusdam holosericis aulæis tota strata, & ornata, in ipsa verò & quidam viri egregij cū lampadibus, recto ordine ascendebant; vir autē alter quidam in vestibus albis, & ipse splendidus ibi propè stans, hos interrogabat, vtrum viam hanc, quam aspiciētes admirabantur, scirent cuiusnam essent? his verò ignorare dicētibus, dixit qui apparuit, hæc est via, per

quam

θάνατοι κοπετοῖς ἐκοσμοῦντο, καὶ δάκρυσιν. ἔκλαυσε σφοδρῶς Ἰωσὴφ τὸν Ἰακὼβ τεθνεῶτα. ἐκόψαντο καὶ τὴν Μωϋσέως τελευτὴν οὐ μικρῶς Ἰουδαῖοι. πολλοῖς καὶ τὸν Σαμουὴλ τετιμήκασι δάκρυσι. νῦν δὲ ἐπὶ ταῖς τῶν ὁσίων τελευταῖς σκιρτῶμεν. ἡ γὰρ τῶν λυπηρῶν μετὰ τὸν σταυρὸν μεταβέβληται φύσις. οὐκ ἔτι θρήνοις τοὺς τῶν ἁγίων δορυφοροῦμεν θανάτους, ἀλλ' ἐνθέοις χορείαις τοῖς ἐκείνων ἐπορχούμεθα τάφοις. ὕπνος γὰρ τοῖς δικαίοις ὁ θάνατος, μᾶλλον δὲ πρὸς κρείττω ζωὴν ἐκδημία.

Ἔτι ὁ θεολόγος γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς ἔπαινον τῆς ἀδελφῆς Γοργονίας, ταῦτα φησὶ περὶ τὸ τέλος. κρείσσω μὲν οὖν εὖ οἶδα καὶ μακρῷ τιμιώτερα τὰ παρόντα σοι νῦν (νῦν φησὶν οὐχ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀναστάσεως) ἢ κατὰ τὰ ὁρώμενα, ἦχος ἑορταζόντων, ἀγγέλων χορεία, τάξις οὐρανία, δόξης θεωρία, τῆς τε ἄλλης, καὶ τῆς ἀνωτάτω Τριάδος ἔλλαμψις καθαρωτέρα τε, καὶ τελεωτέρα, μηκέτι ὑποφευγούσης τὸν δέσμιον νοῦν, καὶ διαχεόμενον ταῖς αἰσθήσεσιν, ἀλλ' ὅλης ὅλῳ νοΐ θεωρουμένης τε, καὶ κρατουμένης καὶ προσαστραπτούσης ταῖς ἡμετέραις ψυχαῖς ὅλῳ τῷ φωτί τῆς θεότητος. πάντων ἀπολαύοις, ὧν ἔτι ὑπὲρ γῆς εἶχες τὰς ἀπορροίας, διὰ τὸ γνήσιον τῆς πρὸς αὐτὰ νεύσεως. καὶ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον περὶ τὸ τέλος, εἰς χεῖρας σου παραθήσομαι τὸ πνεῦμά μου, τελευταῖον εἰπὼν, τοῖς ἀπάγουσιν αὐτῷ ἀγγέλοις, οὐκ ἀηδῶς ἐναπέψυξεν. καὶ κατωτέρω. καὶ νῦν ὁ μὲν ἔστιν ἐν οὐρανοῖς, κἀκεῖ τὰς ὑπὲρ ἡμῶν, ὡς οἶμαι, προσευχόμενος. οὐδὲ γὰρ ἀπολιπὼν ἡμᾶς, παντάπασιν ἀπολέλοιπεν. καὶ ἐν αὐτῷ τῷ τέλει. εἰ δὲ μεταςαίημεν, δέξαιο κἀκεῖθεν ἡμᾶς ταῖς σεαυτοῦ σκηναῖς. ὡς ἂν ἀλλήλοις συζῶντες, καὶ συνεποπτεύοντες τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καθαρώτερόν τε, καὶ τελεώτερον, ἧς νῦν μετρίως δεδέγμεθα τὰς ἐμφάσεις, ἐνταῦθα ςαίημεν τῆς ἐφέσεως, καὶ ταύτην λάβοιμεν ὧν πεπολεμήκαμεν, καὶ πεπολεμήμεθα τὴν ἀντίδοσιν. τὰ αὐτὰ φησὶν ὁ διδάσκαλος περὶ τοῦ μεγάλου Ἀθανασίου, Κυπριανοῦ, καὶ τῶν ἄλλων.

Ὁ Μι-

quamDeo amabilis Benedictus in Cœlos ascēdit. Hæc acceperunt Græcis paucis nonnullis mutatis fermè à 2. libro Dialogorum Magni Gregorij cap. 37. ex Latinorum lingua græcè translata à Zaccharia Pontifice.

Præterea Basilius Magnus hom. 18. in Barlaam martyrē, sic eam exorditur. Primum quidem Sanctorum mors planctu, & lacrymis cohonestabatur, vehementer mortuum Iacobum defleuit Ioseph, & Mosis mortem Iudæi haud parū planxerunt, Samuelem quoque multis lacrymis ornarunt. Nunc vero morientibus sanctis exultamus. Tristium namq; post Crucem Domini immutata est natura. Iam nō ampliùs Sanctorum obitus lamētationibus prosequimur, sed tripudijs diuinis circum ipsorum sepulchra, veluti choreas dúcimus, somnus enim iustis est mors, immò potius migratio ad vitam meliorem.

Præterea Gregorius Theologus in laudem sororis Gorgoniæ circa finem orationis hæc habet. Equidem nō dubito, quin ijs, quæ oculis cernūtur, multò præstantiora sint ea, quibus nunc frueris nempè sonus epulantium, Angelorum chorea, cœlestis ordo, gloriæ contemplatio, cum alius tum supremæ Trinitatis purior, & perfectior illuminatio nō iam vinctam mentem, ac per sensus diffusam suffugiētis, sed totam sese toti menti contemplandam, & tenendam præbentis, totoq; diuinitatis lumine animis nostris affulgētis. Omninò, inquam, his frueris, quorū etiam, dum adhuc in terra esses, ob sinceram ad ea mentis erectionē riuulos habebas. Et in oratione in laudem Basilij circa finem. Atque ipse ad Angelos eos, à quibus abducebatur, postremis his verbis habitis, in manus tuas commendo spiritum meum, animam lætus exhalauit. Et paulò infra, de eodem, Et nunc ille quidē in Cœlis est illic etiam, vt reor, sacrificia pro nobis offerens, & pro populo preces fundēs, neque enim ita nos reliquit, vt prorsus reliquerit. Et in ipso fine orationis, nos

postea

Ὁ Μεταφραστὴς ἐν τῷ βίῳ τοῦ θαυματουργοῦ καὶ μυροβλύτου Νικολάου πρὸς τὸ τέλος φησὶν. ἀλλ' ὁ μὲν οὕτω τὸν ἐπίκηρον τουτονὶ καὶ βραχὺν καταλείπει βίον, διαβαίνει τε πρὸς τὴν μακρὰν ἐκείνην καὶ μακαρίαν ζωὴν, καὶ λαμπρότησιν ἀγγέλων συνὼν, καὶ συναγαλλόμενος, καὶ τὸ τῆς τριάδος φέγγος ὁρῶν, τρανώτερόν τε καὶ καθαρώτερον, τὸ δὲ τούτου σῶμα τὸ τίμιον χερσὶν ὁσίαις ἐπισκόπων καὶ τοῦ κλήρου παντὸς, λαμπροφορίᾳ τιμώμενον τῷ ἐν μύροις ἐναπετέθη ναῷ.

Γρηγόριος ὁ θαυματουργὸς ἐν τῷ πρώτῳ λόγῳ εἰς τὸν εὐαγγελισμὸν σχεδὸν ἀπ' ἀρχῆς. σήμερον ὁ Ἀδὰμ ἀνακεκαίνισται, καὶ χορεύει μετ' ἀγγέλων εἰς οὐρανὸν ἀναπτάμενος.

Ὁ δὲ Χρυσόστομος ἐν τῷ. ξε. λόγῳ, τῷ εἰς τὰς παρθένους, καὶ μάρτυρας Βερενίκην, καὶ Προσδόκην, καὶ Δομνίναν τὴν ἑαυτῶν μητέρα, τόμῳ. ε. τὴν ὑπόθεσιν ἐξηγούμενος παραβάλλει τοὺς ἐξοχωτάτους ἄνδρας τῆς παλαιᾶς διαθήκης μετὰ τῶν εὐαγγελικῶν μαρτύρων. ἐκείνους φησὶν φοβηθῆναι τὸν θάνατον, τούτους αὐτοῦ καταφρονῆσαι, καὶ εἰς οὐδὲν λογίσασθαι. ὀνομάζει δὲ ὁ διδάσκαλος τὸν Ἀβραὰμ, τὸν Ἰακὼβ, τὸν Ἠλίαν, ἐν τοῖς μάρτυσι δὲ ἀριθμεῖ, κἂν αὐτὰς εἴποις τὰς τρυφερὰς παρθένους, καὶ κόρας. καὶ τὸν λόγον ἀποδίδωσι διὰ τί τοῦτο. τότε μὲν γὰρ πρότερον ὁ θάνατος εἰς τὸν ᾅδην κατῆγε, νυνὶ δὲ ὁ θάνατος πρὸς τὸν Χριστὸν παραπέμπει. τὸ αὐτὸ δείκνυσιν ὁ Χρυσόστομος παράγων τὸ παράδειγμα τοῦ Παύλου ἐκ τῶν ῥημάτων τῆς ἐπιστολῆς πρὸς Φιλιππησίους κεφ. β. εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ, καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω, καὶ συγχαίρω πᾶσιν ὑμῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετε, τί φῂς, (λέγει ὁ Χρυσόστομος) ἀποθνήσκεις Παῦλε καὶ κοινωνοὺς καλεῖς τῆς ἡδονῆς τοὺς ἀνθρώπους; τί γέγονεν εἰπέ μοι; οὐκ ἀποθνήσκω, φησὶν, ἀλλ' ἐπὶ τὴν μείζονα ἀναβαίνω ζωήν. τέλος, ἐπάγει ὁ Χρυσόστομος, τοὺς Ἰουδαίους τεσσαράκοντα ἡμέρας θρηνῆσαι τὸν Ἰακὼβ, τὸν Μωϋσῆν, διότι ὁ θάνατος τότε ἦν θάνατος, νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ ὑμνῳδίαι, καὶ εὐχαὶ, καὶ ψαλμοὶ, δηλούντων ἁπάντων, ὅτι ἡδο-

νὴν

posteaquam ex hac vita migrauerimus, illic quoque taberculis tuis excipe, vt simul viuentes, & sanctam, ac beatam Trinitatem, cuius nunc exiguam speciem, & imaginē accepimus, purius, pleniusq. cernentes, desiderijs nostris finem statuamus, ac bellorum eorum, quæ intulimus, vel pertulimus, hoc præmium referamus. Similia tradit Theologus de Athanasio, Cypriano suo parenti, & alijs.

Metaphrastes in vita patratoris miraculorum, & vnguētum scaturientis Nicolai circa finem, ait: Sed hic quidē sic relicta hac caduca, & breui vitā, ad illam longam, & beatā transit, & splendoribus Angelorum consociatus cōgaudet, lumēq. Trinitatis clarius, & purius aspicit. Huius verò corpus venerandum pijs manibus Episcoporum, ac totius Cleri, splendidæ vestis gestatione honoratur, & in templo Mirensi deponitur.

Gregorius Thaumaturgus oratione primn in annunciationem fermè à principio, hodie, inquit, Adam renouatus est, & cum Angelis tripudiat in Cœlum aduolans.

S. Ioannes Chrysostomus tom. 5. orat. 65. in Virgines, & Martyres, Berenicem, & Prosdocen, & Domninam matrē illarum. hoc idem argumentum tractans, opponit veris sanctis veteris legis, quamuis eminentibus & præcipuis, martyres Euangelicos, illos ait, tanquam malam, & horrendam timuisse mortem, hos eam despexisse, & floccifecisse: nominat autem Abrahamum, Iacobum, Heliam. Inter martyres enumerat, vel ipsas tenerrimas puellas, & virgines, quas mortē paruipendisse, & lætas occubuisse testatur. Et reddit rationem quare hoc, quod prius mors ad inferos ducebat, nunc verò mors ad Christum transmittit. Quod totum probat Chrysostomus, adducto exemplo Pauli, cupiētis dissolui, & esse cum Christo, adductis præterea eiusdē verbis ex epistola ad Phillppenses c. 2. etsi immolor supra sacrificiū, & obsequium fidei vestræ gaudeo, & congratulor omnibus

L vobis

νὴν ἔχει τὸ πρᾶγμα. οἱ γὰρ ψαλμοὶ εὐθυμίας σύμβολον. εὐθυμεῖ γάρ τις (φησὶν) ἐν ὑμῖν, ψαλλέτω.

Ἔτι ὁ Χρυσόστομος ἐν τῷ β. λόγῳ εἰς τὸν ἅγιον μάρτυρα Βαβύλαν τόμῳ. ε. καὶ κατὰ Ἰουλιανοῦ. καὶ ἐλλείψαν περὶ τὸ μέσον αὐτὸν μὲν (φησὶ τὸν Βαβύλαν) εἶχε λοιπὸν ὁ οὐρανὸς, τὸ πρὸς τὴν ἀρίστην διακονησάμενον ἡ γῆ, καὶ διενείματο ἡ κτῆσις τὸν ἀθλητὴν. καὶ τοιγε ἐχρῆν, καὶ μετατεθῆναι κατὰ τὸν Ἐνὼχ, καὶ ἁρπαγῆναι κατὰ τὸν Ἡλίαν, οὓς ἐζήλωσεν. ἀλλ᾽ ὁ Θεὸς φιλάνθρωπος ὢν, καὶ μυρίας ἡμῖν τοῦ σώζεσθαι προφάσεις διδοὺς, καὶ ταύτην μετὰ τῶν ἄλλων διέτεμεν ἡμῖν τὴν ὁδὸν, ἱκανὴν προσκαλέσαι πρὸς ἀρετὴν, τὰ τῶν ἁγίων λείψανα, παρ᾽ ἡμῖν τέως ἀφείς. μετὰ γὰρ τὴν διὰ τοῦ λόγου δύναμιν, δευτέραν ἔχουσι τάξιν οἱ τῶν ἁγίων τάφοι, πρὸς τὸ διεγείρειν εἰς τὸν τῶν ἴσων ζῆλον τὰς τῶν θεωμένων αὐτοὺς ψυχάς.

Τὸ αὐτὸ ἐπαναλαμβάνει ὁ Χρυσόστομος καινῷ τινι τρόπῳ εἰς ἔπαινον τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ, ἐμερίσατο (φησὶν) ὁ Θεὸς πρὸς ἡμᾶς τοὺς μάρτυρας, τὰς ψυχὰς λαβὼν, αὐτὸς τὰ σώματα ἡμῖν ἔδωκεν, ἵνα ἔχωμεν ὑπόμνησιν ἀρετῆς διηνεκοῦς τὰ ἁγιωτάτων ὀστέα. εἰ γὰρ ὅπλα τις ἀγωνιστοῦ βλέπων ἡμαγμένα, ἀσπίδα, καὶ δόρυ, καὶ θώρακα, κἂν ἁπάντων νωθρότατος ᾖ, εὐθέως ἐξάλλεται, καὶ θερμότερος γίνεται, καὶ πρὸς τὸν πόλεμον ἐκπηδᾷ ἀπὸ τῆς ὄψεως τῶν ὅπλων λαβὼν παράκλησιν, πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι πράγμασιν, ἡμεῖς οὐχ ὅπλα ὁρῶντες, ἀλλ᾽ αὐτὸ τὸ σῶμα τοῦ ἁγίου τὸ καταξιωθὲν αἱμαχθῆναι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, κἂν ἁπάντων ὦμεν δειλότεροι, πῶς οὐ πολλὴν ἕξομεν προθυμίαν ὥσπερ τινὸς πυρὸς τῆς ὄψεως ταύτης εἰς τὴν διάνοιαν ἡμῶν ἐμπιπτούσης, καὶ πρὸς τὸν αὐτὸν ἀγῶνα κελευούσης ἡμᾶς; διὰ τοῦτο παρακατέθετο ἡμῖν τὰ σώματα τῶν ἁγίων ὁ Θεὸς, ἕως τοῦ καιροῦ τῆς ἀναστάσεως, ἵν᾽ ἔχωμεν ὑπόθεσιν φιλοσοφίας μεγίστης. ταῦτα ὁ Χρυσόστομος.

Πρὸς ὃ δὲ λέγουσιν, ὅτι ἡ ψυχὴ τιμωρητέα ἐστὶ μετὰ τοῦ σώματος (καὶ τοι τοῦ Χρυσοστόμου ἐνταῦθα τοὐναντίον λέγοντος) φαμὲν

μὲν

vobis. Id ipsum autē & vos gaudete, & cōgratulamini mihi. Vbi Chrysostomus, quid ais? moreris Paule, & socios vocas voluptatis homines? quid factum sit dic mihi? non morior, inquit, sed ad maiorem ascendo vitam; tādem infert Chrysostomus, Iudeos per quadraginta dies se verberasse, & defleuisse Iacobum, & Moysen, quia mors tunc erat mors, nūc verò non ita, sed hymnodiæ fiunt, & precationes, & psalmi, quibus omnes significāt, quod hęc res voluptatem habeat. Quippe psalmi sunt signum lætitiæ, etenim æquo animo, inquit, est quis inter vos, psallat.

Præterea Chrysostomus in 2. orat. in S. martyrē Babylā to. 5. & aduersus Iulianum, & Gentiles circa mediū, Animā quidem, inquit, ipsius Cœlū habuit, corpus autem (quo tanquam ministro ad virtutis opera pręstanda vsus fuerat) terra. Sic vt Creatura ipsa Athletam diuiserit. Atqui poterat Babylas, vel exēplo Enoch transferri, vel Eliæ modo rapi, vt qui vtriusq. æmulator fuerat, At Deus qua est in humanum genus benignitate inter alias, quas infinitas salutis nostræ occasiones dedit, & hanc quoque viam nobis à se munitam esse voluit, idoneum ad virtutē capessendam stimulū relictis scilicèt interim apud nos sanctorum reliquijs; nam post sermonis facultatem, ipsa certè sanctorū sepulcra proximum locum obtinēt, ad hominū animas in ipsos Sanctos intuentium, ad virtutem earumdē æmulationē excitandas.

Idem resumens modo quodam nouo in laudē sancti martyris Iuliani, iterat, Deus nobiscū partitus martyres est: accipiēs enim ipse animas, largitus est nobis corpora, vt sancta ipsorum ossa, quasi virtutis eorum immortalis iugē memoriam habeamus. Nam si quis aspiciens arma alicuius Athletæ cruentata, scutum videlicet, lanceam, & thoracē, quamuis omniū inertissimus sit, statim prosilit, & animosior factus ad bellum procurrit ex armorum aspectu, hortatione ad idem aggrediēdum accepta, Nos cū non arma, sed ipsū

μετὰ πρῶτον, εἴπερ ἦν ἀληθὲς, ἔδει μὴ δύνασθαι τὴν ψυχὴν καθ' αὑτὴν κολασθῆναι ἐν τῷ ᾅδῃ, τοὐναντίον μαρτυροῦντος τοῦ πλουσίου παρὰ τῷ Λουκᾷ, μήτε τοῦ λῃστοῦ τὴν ψυχὴν τῶν αἰωνίων ἀπολαύειν ἀγαθῶν. λέγοντος τοῦ κυρίου, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Εἶτα οὐ κολάζεται μετὰ τοῦ σώματος τὸ γενικὸν ἔχον ἡ ψυχὴ, ἀλλὰ μόνη, διὰ τὸ εἶναι αὐτὴν ὑποκείμενον καὶ αἴτιον ἀποτελεσματικὸν τοῦ ἁμαρτήματος. εἰσὶ γάρ τινα ἔργα τῶν ἀνθρώπων μὴ δυνάμενα γενέσθαι, εἰ μὴ ὑπὸ παντὸς τοῦ συνθέτου, τοῦ συνεσταμένου ἐκ ψυχῆς, καὶ σώματος, μήτε δεχθῆναι, εἰ μὴ εἰς ἅπαν τὸ σύνθετον· ὁποῖά εἰσιν πάντα τὰ ἀποτελούμενα ἐκ τῶν ὀργανικῶν δυνάμεων· οἷον ἐστὶ, τὸ, φθέγγεσθαι, τὸ, ὁρᾶν, τὸ ἀκούειν, τὸ ὀσφραίνεσθαι, καὶ τὰ ὅμοια, ἅτινα διαλυθέντος τοῦ συνθέτου, οὐκ ἔτι πάρεισιν, οὐδὲ πλέον εὑρίσκεται. καὶ εἴπερ τοιαύτη ἦν ἡ ἁμαρτία, πάντως τὸ ἐπιχείρημα συνεπέραινεν ἄν· ἀλλ' οὐχ οὕτως ἔχει. ἡ γὰρ ἁμαρτία ἐστὶν ἐνέργεια τοῦ αὐτεξουσίου, καὶ κυρίως ὑπὸ τῆς θελήσεως ἀποτελεῖσθαι πέφυκε, καὶ ἐν μόνῃ τῇ θελήσει κυρίως καθίδρυται. διαλυθέντος οὖν τοῦ ἀνθρώπου, ἡ ἁμαρτία ὁλοχερῶς, καὶ μόνως ἐν τῇ θελήσει εὑρίσκεται, καὶ δι' αὐτῆς ἐν τῇ ψυχῇ. οὐχὶ δὲ ἐν τῇ νενεκρωμένῃ σαρκί. ἐκεῖ δὲ κολάζεται ἡ ἁμαρτία, ἢ καθαίρεται, ὅπου εὑρίσκεται.

Τούτων δὲ οὕτως ἐχόντων, εἴποι τις ἄν, τίς ἡ ἀνάγκη γενέσθαι τὴν καθόλου κρίσιν προηγησαμένης τῆς μερικῆς; καὶ τῶν μὲν δικαίων κομισαμένων (καθὸ ψυχαὶ) τὴν ἐπαγγελίαν τῶν αἰωνίων ἀγαθῶν, τῶν δὲ ἁμαρτωλῶν τὰς ποινὰς τῶν κολαζομένων;

Τούτου γε πολλά εἰσι τὰ αἴτια. πρῶτον μὲν ἐκ μέρους τοῦ Θεοῦ. ὁρῶμεν γὰρ πολλοὺς τῶν δικαίων πιέζεσθαί τε, καὶ θλίβεσθαι, καὶ ἑνὶ λόγῳ εἰπεῖν, ἀδικεῖσθαι. καὶ πολλοὺς τῶν ἁμαρτωλῶν τοῖς προσκαίροις ἀγαθοῖς περιρρεομένους καὶ δοκοῦντας εὐδαίμονας εἶναι. τινές δ' εἰσὶν, οἳ τοπάζουσιν τὸν Θεὸν ταῦτα μὴ ὁρᾶν, ἢ τούτων αὐτῷ μὴ μέλλειν. ἵνα οὖν οἱ ἄνθρωποι γνῶσι τὸ

πᾶν

Sancti corpus ob Christi confessionem aspersum sanguine videamus, licet simus omnium timidissimi, quo pacto hoc aspectu, velut igne in mentem nostram illapso, ad idem certamen nos prouocati non longè alacriores euademus? Propterea nimirum Deus apud nos corpora Sanctorum ad resurrectionis vsque tempus deposuit, vt ingentis philosophiæ materiam habeamus. Sic Chrysostomus.

Ad illud verò quod aiunt, quòd anima vnà cum corpore punienda est, quamuis oppositũ Chrysostomus tradat. primum dicimus, si hoc esset verum, oporteret non posse animam per se ipsam puniri in Inferno, cum oppositum testetur diues apud Lucam, neque latronis animam æternis bonis frui, dicente Domino, hodie mecum eris in paradiso.

Deinde non punitur anima vnà cum corpore in præsentia, sed sola, eo quod ipsa sit subiectum, & causa efficiens peccati. Sunt enim nõnulla opera hominum, quæ non possunt fieri, nisi à toto composito, quod ex anima, & corpore cõstat, neque recipi, nisi in totum compositum. qualia sunt omnia, quæ efficiuntur à potentijs organicis, quale est loqui, videre, audire, olfacere, & similia, quæ dissoluto cõposito non amplius adsunt, neque amplius reperiũtur; & si tale esset peccatum, omnino argumentum concluderet, sed non ita se habet, peccatum enim est operatio liberi arbitrij, & propriè à voluntate solet effici, & in sola voluntate propriè residet. Igitur dissoluto homine peccatum totaliter, & solum in voluntate reperitur, & per ipsam in anima, non autem in mortificata carne. Ibi verò punitur peccatum, vel purgatur, vbi reperitur.

Quæ cùm ita sint, dixerit aliquis, quæ igitur necessitas est, fieri vniuersale iudicium, cum præcesserit particulare? & iusti quidem receperint, quatenus animæ promissionem æternorum bonorum, peccatores autem pœnas punitorũ?

Huius rei multæ sunt causæ. Prima quidem ex parte Dei, vide-

πᾶν ὑπὸ τοῦ Θεοῦ πανσόφως κυβερνᾶσθαι, ἤρεσε τῷ Θεῷ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἐνώπιον πάντων τῶν ἀγγέλων, καὶ τῶν ἀνθρώπων ἀποδοῦναι τὰ ἆθλα τοῖς καλοῖς τε κἀγαθοῖς, καὶ τοῖς πονηροῖς τὰς τιμωρίας· ὅπως πάντες ἀναγκασθῶσι κηρύττειν, καὶ λέγειν, δίκαιος εἶ κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.

Δεύτερον αἴτιον, ὅτι τὸν Χριστὸν τὸν ἔμπροσθεν τῶν ἀνθρώπων ἀδίκως κατακριθέντα, καὶ ἀνάξια πολλὰ παθόντα αὐτοὶ ὄψονται, δηλονότι εἰς ὃν ἐξεκέντησαν, καθήμενον ἐπὶ θρόνου δόξης, καὶ κρίνοντα τοὺς ἀσεβεῖς ἔμπροσθεν τῶν ἀγγέλων, καὶ παντὸς τοῦ κόσμου. ὅθεν ἡ ἀτιμία τοῦ πάθους μεταγραφήσεται εἰς δόξαν τοῦ κρίνοντος ἐν τῷ θεάτρῳ τοῦ σύμπαντος, καὶ πληρωθήσεται τὸ ἀποστολικὸν ἐκεῖνο, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, ἐπιγείων, καταχθονίων.

Τρίτον, ὅπως ἡ ἀνταπόδοσις τῶν δικαίων ὁλοσχερὴς εἴη· ἡ γὰρ μισθαποδοσία τῆς δικαιοσύνης ἐστὶ τιμὴ, καὶ δόξα, καὶ ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων ἐς ἄκρον δικαιοσύνης φθάσαντες, οἱονεί τινες μικροὶ καὶ ἀσεβεῖς ἀπεκτάνθησαν, πρέπον ἐστὶν, ἵνα ἐν τῷ δημοσίῳ θεάτρῳ τῆς οἰκουμένης, ἡ δικαιοσύνη αὐτῶν ἀνακηρυχθῇ, καὶ εἰς τὸν τούτων ἀριθμὸν ἀνήκουσιν οἱ ἅγιοι μάρτυρες οἵ τινες ἐν ὀφθαλμοῖς τῶν διωξάντων τυράννων ἐθνικῶν, ἢ αἱρετικῶν, ἀρχόντων, καὶ βασιλέων ἐστεφανωμένοι παραστήσονται.

Τέταρτος λόγος τοῦ γενέσθαι τὴν καθόλου κρίσιν· εἰς σύγχυσιν καὶ ὀνειδισμὸν τῶν ὑποκριτῶν. εἰσὶ γάρ τινες, οἳ μὴ δόξης ἁγιωσύνης ἀποθνήσκουσιν, ἀληθῶς ὄντες ἀσεβεῖς, καὶ παράνομοι, ὁποῖοι εἰσὶν οἱ αἱρετικοὶ, καὶ ὁ παρὼν ψευδοπατριάρχης τῆς πόλεως καλβινιανὸς ὢν, κἀκεῖνα τὰ καθάρματα ὁ Φώτιος, ὁ Παλαμᾶς, ὁ Ἐφέσου Μάρκος, καὶ οἱ παραπλήσιοι.

Πέμπτος λόγος, ἵνα αἱ ψυχαὶ ὁμοῦ καὶ τὰ σώματα κριθῶσιν. ἐν γὰρ τῇ μερικῇ κρίσει μόναι αἱ ψυχαὶ κρίνονται, καὶ ἆθλον, ἢ ποινὴν δέχονται. ἀλλ' ἐν τῇ καθόλου κρίσει πάντες

videmus enim multos Iuſtorum vexari, & affligi, & vt vno verbo dicam, iniuriam pati, & multos peccantium temporaneis bonis affluẽtes videri eſſe felices. Nõnulli verò sũt, qui opinantur, Deũ hęc non videre vel horum non eſſe ipſi curam. Vt igitur homines noſcant vniuerſum à Deo ſapiẽter gubernari, placuit Deo in vltima die coram omnibus Angelis, & hominibus reddere præmia bonis, & honeſtis, & malis pœnas, vt omnes cogantur prædicare, ac dicere; Iuſtus es Domine, & recta iudicia tua.

Secunda cauſa, quod Chriſtum, qui ante homines iniuſtè iudicatus eſt, & multa indigna paſſus, ipſi videbunt, nimirum in quem transfixerunt, ſedentem ſuper thronũ gloriæ, & iudicantem impios coram Angelis, & toto mundo. Vnde ignominia paſſionis cõuertetur in gloriam iudicantis in theatro totius orbis, & adimplebitur illud Apoſtolicum, vt in nomine Ieſu omne genu flectatur cœleſtium, terreſtrium, & infernorum.

Tertia cauſa vt retributio iuſtorum fiat totalis nam merces iuſtitiæ eſt honor, & gloria. Et quoniam multi homines in ſummum gradũ iuſtitiæ peruenientes, quaſi quidam ſceleſti, & impij occiſi ſunt, conueniens eſt, vt in publico theatro totius orbis iuſtitia illorum publicetur, & in eorum numerum ſpectant Sancti Martyres, qui in oculis Perſecutorum Tyramnorum gentilium, vel hæreticorum Principum, & Regum coronati adſtabunt.

Quarta cauſa, vt fiat generale iudicium in confuſionem, & opprobrium hypocritarum ſunt enim nonnulli, qui cum opinione ſanctitatis moriuntur, cùm re vera ſint impij, & tranſgreſſores legis, quales ſunt hæretici, & præſens Pſeudopatriarcha Cõſtantinopolitanus, qui eſt caluiniſta, & illę Quiſquiliæ Photius, Palamas, Marcus Epheſius, & ſimiles.

Quinta ratio, vt animæ ſimul cum corporibus iudicentur, nam in particulari iudicio ſolæ animæ iudicantur, &

præ-

οἱ ἄνθρωποι φανήσονται. καὶ ἐπειδὴ αἱ ψυχαὶ μετὰ τῶν σωμάτων ἢ μῦριον, ἢ ἀγαθὰ ἔπραξαν, οὕτως ἐστὶ χρεία μετὰ τὴν ἀνάστασιν, ἵνα αἱ ψυχαὶ μετὰ τῶν σωμάτων ἄθλα, ἢ τιμωρίας δέξονται.

Ἕκτος λόγος, καὶ ὕστατος καὶ κυρίως ἐστὶν, ἵνα μὴ μόνον τὰ ἀγαθὰ, ἢ τὰ πονηρὰ, ἅπερ ἐν τῷ βίῳ ἐπράξαμεν, ἄθλα ἢ ποινὰς δέξωνται, ἀλλ' ἵνα τὰ ἀγαθὰ, ἢ τὰ πονηρὰ, ἅπερ φύονται ἐκ τῶν καλῶν ἔργων, ἢ πονηρῶν τῶν ἡμετέρων, αὐξηθῶσιν, ἕως τῆς συντελείας τοῦ κόσμου, καὶ ἐν τῇ συντελείᾳ τοῦ κόσμου ἐπαίνων, ἢ ψόγων δημοσίᾳ τύχωσιν.

Ἐντεῦθεν δῆλον, ὅσους στεφάνους ἕξει ὁ μέγας Βασίλειος ὁ τοσαῦτα ξενοδοχεῖα, γυμνάσια, μοναστήρια, καὶ κοινόβια ἐποικοδομήσας, ἅτινα ἐπὶ μήκιστον χρόνον διέμειναν. ἐν οἷς ἐξοχώτατοι ἄνδρες ἤκμασαν, καὶ σοφώτατα συγγράμματα σωθεὶς τῇ τοῦ Θεοῦ καταλέλοιπεν ἐκκλησίᾳ. πόσους στεφάνους κτήσεται ἕως τῆς συντελείας τοῦ κόσμου ὁ χρυσορρήμων τοῖς ἑαυτοῦ χρυσοῖς γράμμασι, καὶ ἡρωϊκαῖς πράξεσι. πόσοις διαδήμασι στεφανωθήσεται Αὐγουστῖνος ὁ διαυγέστατος ἀστὴρ, καὶ διδάσκαλος τῆς ἐκκλησίας. πόσοις ὁ θεολογικώτατος καὶ γρήγορος νοῦς Γρηγόριος. πόσαις εὐφημίαις στεφθήσεται ὁ νέκταρος ὄζων, καὶ ἀμβροσίας ῥέων Ἀμβρόσιος. πόσοις στέμμασι κοσμηθήσεται ὁ ἠθικώτατος, καὶ μέγας ἕτερος Γρηγόριος, καὶ οἱ λοιποὶ τῶν πατέρων. ἐκ τοῦ ἐναντίου δὲ πόσα κολαστήρια, καὶ πόσους αἰκισμοὺς ἀφορήτους πείσονται τὰ ἀχάριστα ἐκεῖνα κτίσματα, τὰ ὀνειδανέστατα, καὶ ἀναιδέστατα, ἀνδράποδα. ὁ σκοτεινὸς Φώτιος ὁ κορυφαιότατος τοῦ σχίσματος, ὁ βλάσφημος Παλαμᾶς καὶ πολύθεος καὶ διὰ τοῦτο ἄθεος, καὶ ὁ Ἐφέσιος τῆς οἰκουμενικῆς συνόδου καθάπερ Ἄρειος, Μακεδόνιος, Νεστόριος, καὶ Εὐτυχὴς ἔχθιστος ἀντίπαλος. οἵτινες ἅπαν τὸ γένος τῶν ἑλλήνων ἀπώλεσαν, καὶ προσέτι τοῖς ἑαυτῶν φθοροποιοῖς συγγράμμασι μέχρι τέλους διαφθείρειν οὐ παύονται.

Ἀλλὰ κατὰ τῶν εἰρημένων φαίη τις ἄν. πρῶτον ὅτι ἡ ἡμετέρα ψυχὴ οὐ ποιεῖ ἔργα ἀνταποδόσεως ἄξια, εἰμὴ μόνον οὖσα

præmium, vel supplicium recipiunt; & quoniam animæ cum corporibus peccauerunt, vel bona egerunt, ita etiam oportet post resurrectionem, vt animæ cum corporibus præmia vel supplicia recipiant.

Sexta ratio, & vltima, & propria est, vt non solum bona, vel mala, quæ in vita fecimus, præmia, vel pœnas recipiant, sed etiam vt bona vel mala, quæ ex bonis, vel malis nostris operibus oriuntur, augeantur vsque ad consumationem sæculi, & in consumationem sæculi laudes, aut vituperia publicè obtineant.

Hinc constat, quot coronas habebit Magnus Basilius, qui tot hospitia, gymnasia, monasteria, & cœnobia construxit, quæ in longum tempus durarunt, in quibus præstantissimi viri floruerunt, & doctissima scripta componens Ecclesiæ Dei reliquit. Quot coronas acquiret vsque ad consumationem mundi aureum illud os, suis aureis scriptis, & heroicis actionibus. Quot diadematis coronabitur Augustinus splendidissima stella, & Ecclesiæ doctor eximius. Quot apprimè Theologus, & vigilantissima mens Gregorius. Quot laudibus decorabitur, qui nectar olet, & ambrosiam effluit Ambrosius? Quot insignibus ornabitur moralissimus, & magnus alter Gregorius, & reliqui Patres. E contrario verò, quot supplicia, & cruciatus non ferendos patientur ingratæ illæ vilissimæ creaturæ, & impudentissima mancipia, obscurissimus Photius, Coryphæus schismatis, & blasphemus Palamas, & multorum Deorum cultor, & propterea Atheus, & Marcus Ephesius Oecumenici Concilij, velut alter Arius, & Macedonius, Nestorius, & Eutyches infensissimus hostis, qui totum genus Græcorum destruxerunt. Et insuper suis scriptis letalibus vsque ad finem corrumpere non cessant.

Cæterum aduersus prædictos dixerit aliquis, primum quidem, quod nostra anima non efficit opera digna retri-

ἐν τῷ σώματι. τὸ γὰρ ποιεῖν τοιαῦτα ἔργα ἐν τῷ παρόντι βίῳ νοεῖται, ἐν τούτῳ γὰρ ἡ ψυχὴ ζωοποιεῖ, καὶ ὁδηγεῖ τὸ σῶμα. καὶ τὸ ῥηθὲν ὑπὸ τοῦ ἀποστόλου ἐν τῇ β΄ πρὸς Κορινθίους, ἐν τῷ ε΄ κεφαλαίῳ, πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. καθάπερ οὖν ἡ ψυχὴ χωρὶς τοῦ σώματος οὐ ποιεῖ τοιαῦτα ἔργα, οὕτως οὐδὲ ἔστιν ἀξία κομίσασθαι τὸν μισθὸν ἄνευ τοῦ σώματος.

Ἀποκρίνομαι, διάφορον εἶναι τὸν τρόπον τοῦ κερδαίνειν τὴν μισθαποδοσίαν, καὶ τοῦ κομίζεσθαι τὸν μισθὸν ἐφ' ὅσον ἀνήκει εἰς τοῦτο, εἰς τὸ ἔχειν τὴν ψυχὴν μετὰ τοῦ σώματος πρὸς τὸ κερδαίνειν δυοῖν ἕνεκα. τοῦτο μὲν ὅτι τὸ κερδαίνειν ἐστὶν ἴδιον τῶν ὁδοιπόρων, ἡ δὲ ὁδὸς τῶν ὁδοιπορούντων διώρισται τοῖς ἀνθρώποις ὑπὸ τοῦ Θεοῦ ἐν τῷ παρόντι βίῳ. ἔξω γὰρ τούτου ἀποθανόντες οὐκ ἰσχύουσιν οἱ ἄνθρωποι, μήτε ποιεῖν ἔργα ἄξια μισθαποδοσίας, μήτε ἔργα πονηρὰ τῆς κολάσεως. τοῦτο δὲ ὅτι μάλιστα τὸ κρεῖττον μέρος τῶν κατορθωμάτων τοῦ ἀνθρώπου πέφυκε γίνεσθαι ὑπὸ τοῦ σώματος, ὡς δῆλόν ἐστιν ἐν τοῖς μαρτυρίοις, ἐν τῷ φυλάττειν τὴν παρθενίαν, ἐν τῇ ἀπαρνήσει τοῦ κόσμου, καὶ πάντων τῶν προσκαίρων ἀγαθῶν, ἐν τῇ ἀποχῇ τῶν βρωμάτων, καὶ ἐν ταῖς νηστείαις, ἐν τῇ πολυειδεῖ τοῦ σώματος κακουχίᾳ, ἐν τοῖς ἔργοις τῆς ἐλεημοσύνης, καὶ τοῖς πρὸς πλησίοις. ἐν δὲ τῷ λαμβάνειν τὸν μισθὸν, ὅπερ ἐστὶν ἡ μακαρία τοῦ Θεοῦ θεωρία, ἡ ψυχὴ οὐκ ἔχει χρείαν τοῦ σώματος. ἡ γὰρ τοιαύτη θεωρία οὐ γίνεται δι' ἀντανακλάσεως τοῦ νοὸς πρὸς τὰ φαντάσματα. καθάπερ ὁ ἡμέτερος νοῦς νοεῖ, ὅταν ᾖ ἐν τῷ σώματι, ἀλλὰ γίνεται διά τινος φωτὸς τῆς δόξης, καὶ ὕψωσιν τοῦ ἀνθρωπίνου νοὸς ὑπερβαίνουσαν τὴν φυσικὴν δύναμιν, καὶ τὸν εἰωθότα τρόπον τοῦ νοεῖν.

Ἀλλὰ καὶ τούτου δεύτερόν ἐστιν ἐπιχείρημα, ὅτι ἡ μακαρία τοῦ Θεοῦ θεωρία οὖσα τελεία τοῦ ἀνθρώπου εὐδαιμονία, πάντως πληροῖ (ἵν' οὕτως εἴπω) καὶ παύει πᾶσαν τὴν ὄρεξιν τῆς ψυχῆς. ἀλλ' ἡ ψυχὴ χωρισθεῖσα τοῦ σώματος κλίσιν ἔχει, καὶ ῥέπει πρὸς τὸ λαμβάνειν τὸ σῶμα, ὅπερ οὐ γενήσεται, εἰ μὴ μετὰ τὴν ἀνάστασιν.

ἄρα

butionis, nisi tantum existens in corpore. efficere enim huiusmodi opera in præsenti vita intelligitur, quippe in hac vita anima viuificat, & dirigit corpus, iuxta illud Apostoli in 2. ad Corint. cap. 5. omnes enim nos manifestari oportet ante Tribunal Christi, vt referat vnusquisque propria corporis, prout gessit siue bonum, siue malũ. Quemadmodum igitur anima sine corpore non efficit eiusmodi opera; ita etiam non est digna, vt recipiat mercedem sine corpore.

Respondeo diuersum esse modum lucrandi, & recipiendi mercedem, quantum spectat ad hoc, vt anima sit cum corpore, vel extra corpus, quippe anima indiget corpore ad hoc vt lucrum faciat duas ob caulas. partim quidem, quod lucrum est precium viatorum, via verò viatorum est determinata hominibus à Deo in hac vita; extra enim si moriantur non valent homines, neque facere opera digna retributionis, neq. opera mala punitionis partim verò quod præstantior pars rectè gestorum hominis potissimum, non solent fieri sine corpore, vt manifestum est in martyrijs, in conseruanda virginitate, in renunciatione mundi, & omniũ temporalium bonorum, in abstinendo à cibis, & in ieiunijs, & in mortificatione multiplici corporis, in operibus eleemosynæ, & similibus. In recipiendo verò mercedẽ, quæ est beata Dei visio, anima nõ indiget corpore, eiusmodi enim speculatio non fit per reflexionem mentis ad phantasmata, quemadmodum nostra mens intelligit, quando existit in corpore, sed fit quod quoddam lumen gloriæ, & eleuationem humanæ mentis, quæ superat naturalem potentiam, & consuetum modum intelligendi.

Sed contra hoc secundum est argumentum, quod beata Dei visio, cum sit perfecta hominis felicitas omninò explet vt ita dicam, & cessare facit omnem appetitum animæ, sed anima separata à corpore inclinationem habet, & vergit ad recipiendum corpus, quod vtique non fiet, nisi post resur-

ἄρα ἡ ψυχὴ οὖσα κεχωρισμένη τοῦ σώματος, κλίσιν τε ἔχουσα πρὸς ἐκεῖνο, ἐν τῷ μεταξὺ οὐκ ἔχει τελείαν εὐδαιμονίαν.

Ἀποκρίνομαι, ὅτι ἡ ψυχὴ χωρισθεῖσα τοῦ σώματος διττὴν ἔχει τὴν ἔφεσιν, μίαν μὲν καὶ πρώτην, καὶ κυρίαν ἔφεσιν τοῦ ὁρᾶν τὸν Θεὸν, ἐν ᾗ θεωρίᾳ τυγχάνει πᾶσα τῆς ψυχῆς ἡ εὐδαιμονία, καὶ πληροῦται παντάπασιν ἡ τοιαύτη ἔφεσις τῆς ψυχῆς. δευτέραν δὲ ἔχει ὄρεξιν, καὶ κλίσιν πρὸς τὸ σῶμα, ἥτις οὐ πληροῦται εἰ μὴ μετὰ τὴν ἀνάστασιν. τίνος οὖν χάριν αὐτὴ ἡ ἀναβολὴ οὐ θορυβεῖ, οὔτε λυπεῖ τὴν ψυχὴν; τρεῖς αἰτίας ἀποδοθῆναι δύνανται τούτου. Πρώτη, ὅτι ἡ ψυχὴ κεχωρισμένη βεβαιοτάτην ἔχει ἐλπίδα ἐν τῷ προσήκοντι καιρῷ ἀναληψεσθαι τὸ σῶμα. δευτέραν ὅτι ἡ ψυχὴ ἔχουσα τὴν θέλησιν πάντως συμφωνοῦσαν τῷ θείῳ θελήματι, ὁρῶσα δὲ τὸν Θεὸν ἐκεῖνον θέλοντα γενέσθαι τὴν τοιαύτην ἀναβολὴν ἕως τῆς ἡμέρας τῆς κρίσεως, τοῦτ' αὐτὸ εὐπρεπῶς στέργει, καὶ βούλεται, ὅπερ βούλεται ὁ Θεός. Τρίτον δὲ, ὅτι ἐκ τῆς τοιαύτης ἀναβολῆς ἥδιστα, καὶ ἐνδοξότατα δέξεται τὸ σῶμα. ἐν γὰρ τῇ κοινῇ τῶν ἁγίων πάντων ἀναστάσει, δόξῃ, καὶ εὐφροσύνῃ, ἥδιον καὶ αὐτὴ χαρήσεται. τὸ γὰρ ὁμοῦ δοξασθῆναι, καθώσπερ φησὶν ὁ χρυσόστομος λόγῳ. κη'. πρὸς Ἑβραίους, μεγάλην ἡδονὴν ἔχει.

Ἐνστάιη δ' ἄν τις καὶ τοῦτο εἰπών. ὁ γὰρ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, ἐν τῷ. ια. κεφαλ. περὶ τῶν προφητῶν φησὶ, κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες. καὶ ἐν τῷ τέλει τοῦ αὐτοῦ κεφαλαίου, οὗτοι πάντες, φησὶ, μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Πρὸς τοῦτο οὖν εἴποι τίς ἂν, ὅτι ὁ Παῦλος ἐπαγγελίαν νοεῖ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ χριστοῦ, ἣν ὁ Θεὸς ἐπηγγείλατο τοῖς πατράσιν τῷ Ἀβραάμ, τῷ Ἰσαάκ, τῷ Ἰακώβ, καὶ τῷ Δαβίδ. ὅθεν ὁ χριστὸς ἔλεγε τοῖς ἀποστόλοις, πολλοὶ βασιλεῖς καὶ προφῆται ἠθέλησαν ἰδεῖν, ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι,

rectionem. Igitur anima existens separata à corpore, & inclinationem habens ad illud, interim non habet perfectam felicitatem.

Respondeo quod anima separata à corpore duplicē habet appetitum, alterū quidem, & primum, & propriū videndi Deum, in qua visione consistit tota animæ beatitudo, & expletur omnimodè eiusmodi appetitus animæ. Secūdū verò appetitū habet, & inclinationē ad corpus, qui non adimpletur, nisi post resurrectionem. Cur igitur ipsa dilatio non turbat, neque molestat anima? tres causæ huius reddi possunt. Prima, quòd anima separata certissimam habet spem tempore conuenienti recipiendi corpus. Secunda, quòd anima habet omninò voluntatem concordem diuinæ volūtati, videns etiam ipsum Deum volentem fieri hanc dilationem vsque ad diem Iudicij, hoc idē supra modum amplectitur, & vult quod vult Deus. Postremò scit, quod ex eiusmodi dilatione iucundissimè, & gloriosissimè recipiet corpus, etenim in communi omnium Sanctorum resurrectione, gloria, & lætitia iucundius & ipsa lætabitur. simul enim glorificari, quemadmodum alicubi ait Chrysostomus serm. 28. ad hebr. magnam voluptatem habet.

Obijciet autem quispiam, & hoc dicens, nam Paulus in epistola ad Hebræos c. 11. de prophetis dicit, iuxta fidem defuncti sunt omnes isti, non acceptis repromissionibus, sed à longè eas aspicientes, & salutantes, & in fine eiusdem capitis, hi omnes testimonio fidei probati non acceperunt repromissionem, Deo pro nobis melius aliquid prouidente, vt non sine nobis consumarentur.

Ad hoc igitur dixerit aliquis, quod Paulus promissionem intelligit Incarnationem Christi, quam Deus promisit Patribus Abrahamo, Isaaco, Iacobo, & Dauidi. Vnde Christus dicebat Apostolis, multi Reges, & Prophetæ voluerūt videre, quæ vos videtis, & non viderunt, aut audire quæ

audi-

ἀ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ὥστε οἱ ἅγιοι τῆς παλαιᾶς διαθήκης οὐκ ἐκομίσαντο ταύτην τὴν ἐπαγγελίαν, ἥτις γέγονε κοινὴ καὶ τοῖς ἁγίοις τῆς νέας διαθήκης.

Ἢ δυνάμεθα εἰπεῖν, ἐπαγγελίαν νοεῖν τὸν Παῦλον, τὴν εὐδαιμονίαν τῆς ψυχῆς. συγκρίνοντα τοὺς ἀνθρώπους τῆς παλαιᾶς διαθήκης τοῖς ἁγίοις τῆς νέας διαθήκης. πρὸ τοῦ γὰρ ὑπῆρχεν ὁ οὐρανὸς κεκλεισμένος, καὶ οὐδαμῶς οἱ ἅγιοι τῆς παλαιᾶς διαθήκης προὔφθασαν, καὶ προέβησαν τοὺς ἡμετέρους.

Τρίτη ἐξήγησις ἐστὶν, ὅτι ἐπαγγελίαν νοεῖ ὁ ἀπόστολος τὴν κοινὴν ἀνάστασιν. ὁ γὰρ λαὸς τοῦ Ἰσραὴλ αἰχμάλωτος ὢν ἐν Βαβυλῶνι ἀπήλπιζε τὴν πρὸς τὴν πατρίδα ἐπάνοδον, καὶ οὐκ ἤλπιζε τὴν ἀνάστασιν. ὁ γοῦν Θεὸς ἐν τῇ ὁράσει τοῦ Ἐζεκιὴλ ἐν τῷ. λζ. κεφαλαίῳ, ἐπαγγέλλεται ἀνοίξειν τοὺς τάφους, καὶ ζωοποιῆσαι τὰ ὀστᾶ τῶν τεθνεώτων. ὅθεν ὁ χριστὸς ἐν τῷ πέμπτῳ τοῦ Ἰωάννου, κεφ. φησὶν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. (τοῦτο λέγει διὰ τὸν λάζαρον μετ' ὀλίγον ἀναστησόμενον, καὶ διὰ τοὺς ἤδη ὑπὸ χριστοῦ ἀναστάντας.) Ταύτην οὖν τὴν ἀνάστασιν καλεῖ ὁ Λουκᾶς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἐν κεφαλ. ιγ. ἐπαγγελίαν λέγων, ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν, ἡμῖν ἀναστήσας Ἰησοῦν. ὅθεν λέγεται ὁ χριστὸς πρωτότοκος τῶν νεκρῶν. τὴν αὐτὴν μαρτυρεῖ Παῦλος ἐν ταῖς αὐταῖς πράξεσι τῶν ἀποστόλων, ἐν τῷ. κϛ. κεφαλαίῳ κατὰ τὴν διαίρεσιν τῶν λατίνων, τούτοις τοῖς ῥήμασι. Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος. εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ Ἰουδαίων. τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; καὶ διὰ τοῦτο προσέθηκεν ὁ Παῦλος, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι, σημαίνων τῇ τοιαύτῃ λέξει τὴν τελείαν εὐδαιμονίαν τῆς ψυχῆς, καὶ τοῦ σώματος, ὁ δὲ νοῦς τοῦ ἀποστόλου ἐστὶν, ὅτι βουλόμενος ὁ

Θεὸς

auditis,& non audierunt. Itaque Sancti veteris testamenti non acceperunt hanc promissionem, quæ facta est communis etiam Sanctis noui testamenti.

Vel possumus dicere, promissionem intelligere Paulum felicitatem animæ, facta comparatione hominum veteris testamenti cum Sanctis noui testamenti, etenim antea erat clausum Cœlum,& minimè Sancti veteris testamenti, anticipauerunt, & præuenerunt nostros.

Tertia expositio, quod promissionem intelligat Apostolus communem resurrectionem, etenim populus Israeliticus cùm in Babylone esset captiuus, desperabat reditum in patriam,& non sperabat resurrectionem, Deus igitur in illa visione Ezechielis cap. 37. pollicetur se reseraturum sepulcra,& viuificaturum ossa mortuorũ. Vnde Christus in c. 5. Ioannis Euangelistæ, Amen Amen, inquit, dico vobis q..od venit hora, & nunc est, quando mortui audient vocem filij Dei,& qui audierint, viuent. Hoc ait propter Lazarũ paulò post resurrecturum,& propter alios, qui iam à Christo suscitati fuerunt. Hanc igitur resurrectionem vocat Lucas in actibus Apostolorum c. 13. promissionem dicens, nos vobis annunciamus eam, quæ ad Patres nostros repromissio facta est, quoniam hanc Deus adimpleuit filijs nostris resuscitans Iesum. Vnde Christus dicitur primogenitus mortuorum; hanc eandem repromissionem testatur Paulus in Actibus Apostolorum c. 26. his verbis, & nunc in spe, quæ ad Patres nostros repromissionis facta est à Deo, sto iudicio subiectus, in quam duodecim tribus nostræ nocte, ac die deseruientes sperant deuenire. De qua spe accusor à Iudæis, Rex, quid incredibile iudicatur apud vos, si Deus mortuos suscitat? Et propterea addidit Paulus, ne sine nobis consumarentur, significans illa dictione perfectam felicitatem animæ, & corporis. Sensus autem Apostoli est, quod volens Deus restaurare numerum Angelorum, qui

ceci-

Θεὸς ἀνακτήσασθαι τὸν ἀριθμὸν τῶν πεπτωκότων ἀγγέλων διὰ τῶν ἀνθρώπων, οὐκ ηὐδόκησεν ἕκαστον εὐθὺς θανόντα ἀνίστασθαι, ἀλλ' ἀνέμεινε πληρωθῆναι τοὺς προωρισμένους ἀνθρώπους, ὅπως γεννηθῶσιν, καὶ πληρωθῇ ὁ ἀριθμὸς τῶν σωζομένων, καὶ διώρισεν ἡμέραν, ἐν ᾗ πάντες ὁμοῦ μετὰ τῶν σωμάτων ἀναστήσονται. ἵνα δὲ μείζονα πίστιν τούτου ἡμῖν ποιήσῃ, ἀνέστησεν ἡμῖν τὸν χριστὸν, τὴν ἀπαρχὴν τῶν κεκοιμημένων, ὅστις ἅπαξ θανὼν οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύσει, οἱ δὲ λοιποί τινές, οἱ θαυμασίως ἀναστάντες, πάλιν ἀπέθανον.

ΚΕΙΜΕΝΟΝ.

Πρῶτον μὲν οὖν ὑμᾶς εἰδέναι βουλόμεθα, ὅτι ὁ μακάριος Ἰωάννης ὁ χρυσοῦς καὶ τὴν ψυχὴν, καὶ τὴν γλῶτταν, ἔργον ἐποιήσατο ἑαυτοῦ τὴν τῶν ἐπιστολῶν τοῦ κήρυκος ἑρμηνείαν, ὥσπερ καὶ τῆς ἄλλης ἁπάσης γραφῆς παλαιᾶς τε, καὶ νέας. λέγεται δὲ περί αὐτοῦ καὶ ἀνάγραπτον ἐν τῷ ἐκείνου φέρεται βίῳ, καὶ ἡμεῖς δὲ πιστεύομεν, ὡς παντὸς μᾶλλον ἀληθῶς εἰρημένῳ ἐγχειρῆσαι τῷ πράγματι βουληθέντα, πολλὰ μὲν ἰλιγγιᾶν, ἀφορῶντα πρὸς τὸ βάθος τῶν νοημάτων τοῦ ἀποστόλου, πολλὰ δὲ δεδιέναι μὴ κατόπιν λειφθῇ τῆς διανοίας ἐκείνου. ὅθεν ἐπ' εὐχὴν τρεψάμενον, καὶ πολλὰ δεηθέντα τοῦ Παύλου συλλαβέσθαι οἱ πρὸς τὸ προκείμενον σπούδασμα, οὕτως ἅψασθαι καὶ τοῦ ἔργου. τὸν δὲ μακάριον Παῦλον τοῦτο μὲν ἀποδεξάμενον τὸ τοῦ φρονήματος αὐτοῦ μέτριον, τοῦτο δὲ καὶ δηλῶσαι βουλόμενον, ὡς κατὰ νοῦν αὐτῷ εἴη ἑρμηνεία θ' ἑαυτοῦ γενέσθαι τὸν Ἰωάννην, ὀφθῆναι παρεστῶτα τε αὐτῷ καθημένῳ, καὶ λοιπὸν ἁψαμένῳ τοῦ δε τοῦ ἔργου, καὶ πρὸς τὸ οὖς ὑποψιθυρίζοντα. ὀφθῆναι δὲ Πρόκλῳ τῷ καὶ μαθητῇ Ἰωάννου, καὶ διαδόχῳ τοῦ Κωνσταντινουπόλεως θρόνου. καὶ τὰ ἑξῆς.

ceciderunt per homines, noluit singulos statim mortuos resuscitare, sed expectauit, vt explerentur homines prædestinati, & nascerentur, & adimpleretur numerus saluandorum, & determinauit diem in quo omnes simul cum corporibus resurgent. Vt autem maiorem fidem horum nobis præberet, suscitauit nobis Christum primitias dormientium, qui semel mortuus non amplius moritur, mors illi vltra non dominabitur. Reliqui verò quidam, qui miraculosè resurrexerunt, rursus mortui sunt.

TEXTVS.

PRimum quidem volumus vos scire, quod B. Ioannes aureus & animo, & lingua, opus sibi assumpsit, interpretationem Epistolarum Præconis Pauli, vt etiam totius Sacræ Scripturæ veteris & nouæ. Dicitur autem de ipso, & fertur literis proditum in eius vita (& nos credimus omnium maximè esse verè dictum) cum vellet rem aggredi, multum quidem quasi vertigine correptum æstuasse, quo se vertere nescientem, defixis oculis in profunditatem sensuum Apostoli, multum verò timuisse ne assequeretur mentem illius. Vnde ad orationem conuersum multum rogasse Paulum, vt ipsi opem ferret ad propositum opus elaborandum, sic tandem rem aggressum fuisse. Beatum verò Paulum partim quidem illius modestia mentis delectatum, partim verò & hoc significare volentem, quod ipsi ex animi sententia esset, Ioannem fieri ipsius interpretem, apparuisse ipsi sedenti opus aggresso, & ad aurem insusurrasse. Hanc porrò visionem non Chrysostomo, sed Proclo apparuisse, qui fuit discipulus Ioannis, & successor in Constantinopolitana sede, & quæ deinceps sequuntur.

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ τοῦ Χρυσοστόμου.

ΤΙ οὖν ἐροῦμεν περὶ τοσούτου, καὶ τηλικούτου ἀνδρὸς διαγλωττοτάτου, καὶ χρυσοῤῥήμονος, ὃν οἱ μὲν παλαιοὶ παῖδες τῶν γραικῶν πολλοῖς εἴδεσιν ὕβρεων ἐκδεδομένον αἰκισάμενοι, ἐξορίᾳ, λιμῷ, λοιμῷ, πολέμοις, πολιορκίαις συνεχέσιν, ἐρημίᾳ ἀφάτῳ, θανάτῳ καθημερινῷ, μαχαίραις Ἰσαυρικαῖς, στενοχωρίᾳ, ἀλλοτρίᾳ γῇ βαρβάρων, ἀναξίους ἑαυτοὺς τοῦ τοιούτου ἀρχιερέως, καὶ ἀρχιποιμένος ἔδειξαν εἶναι. οἱ δὲ μεταγενέστεροι τὰ ἑαυτοῦ λαμπρὰ συγγράμματα τοὐναντίον λέγειν παρ' ὃ γέγραφε προσβιάζονται. καὶ τὸν μακάριον Πρόκλον εἰσάγουσιν ἱστοροῦντα, ὡς τὸ σκεῦος τῆς ἐκλογῆς ὁ χριστοδίδακτος Παῦλος, καὶ τοῦ τρίτου οὐρανοῦ ἄκρος θεολόγος εἰς τὸ οὖς αὐτῷ διελέγετο, σαφηνίζων αὐτῷ ἄῤῥητα μυστήρια, καὶ δυσκατανόητα. ὅπερ ἔγωγε ἀληθέστατον εἶναι νομίζω. καὶ γὰρ καὶ ἄλλοις, καὶ Γρηγορίῳ τῷ διαλόγῳ τοῦτο συνέβη γενέσθαι. ὅνπερ οὐ δοῦλοι, καὶ ἀπόστολοι, ἀλλ' αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον, ἐν εἴδει περιστερᾶς φωτίζον ὡδήγησε. τί οὖν ἐροῦμεν; τί δ' ἄλλο ἤ, ὅπερ καὶ ἀληθές ἐστι, ὅτι ὁ Πρόκλος οὐ φησὶν σαφηνίζαι τὸν Παῦλον τῷ χρυσοστόμῳ πάντοτε τὰ δύσκολα, ἀληθεύεται γὰρ ἡ ὅρασις, κἂν μὴ διὰ παντὸς ὁ Παῦλος ἐφώτιζε τὸν χρυσόστομον, μήτι τὸ πνεῦμα τὸ ἅγιον τὸν μέγαν Γρηγόριον. καὶ περὶ τοῦ μεγάλου βασιλείου Ἐφραὶμ τῷ σύρῳ διαλεγομένου τὸ αὐτὸ τινὲς φασιν, ὅτι ἑώρων τὸ πνεῦμα τὸ ἅγιον, καὶ ὅμως οὐδείς ποτε μηδένα τῶν διδασκάλων ἐξισωθῆναι τῇ θεοπνεύστῳ γραφῇ εἰπεῖν ἐτόλμησε. τοὺς προφήτας δὲ τίς ἂν ἀρνήσαιτο φωτίζεσθαι ὑπὸ τοῦ θείου πνεύματος; καὶ μὴν πλεῖστα ἀγνοοῦσιν ἐκεῖνοι προφῆται τυγχάνοντες. μάρτυς ὁ Ἐλισαῖος ἐν τῇ τετάρτῃ βίβλῳ τῶν βασιλειῶν κ. γ. ζητῶν ψάλτην, ἵνα ἐκείνου ψάλλοντος ἐπ' αὐτὸν ἔλθῃ τὸ πνεῦμα καὶ προφητεύσῃ. καὶ ἐν τῷ δ. κεφαλαίῳ τῆς Σωμανίτιδος ἐπιλαμβανομένης τῶν ποδῶν τοῦ προφήτου καὶ τοῦ γιεζεὶ βουλομένου ἀπώσασθαι αὐτὴν, εἶπεν ὁ Ἐλισαῖος. ἄφες αὐτὴν, ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ, καὶ

κύριος

RESPONSIO.
De Chrysostomo.

QVid igitur dicemus de tanto, & tali viro eloquentissimo, & aurea verba fundente? quem quidē maiores Græcorum multiplici genere iniuriarū expositum cruciantes exilio, fame, peste, bellis, crebris obsidionibus, incredlbili solitudine, quotidiana morte, gladijs Isauricis, angustijs, aliena terra barbarorū, indignos se ipsos tali Pontifice, & Archipastore esse ostenderunt. Posteriores verò Græcorū eius splendidis scriptis vim inferunt, & ea præter id, quod sonant, & Sanctus scripsit contrariū dicere cogūt, & Beatum Proclum introducunt, qui narrat quod vas electionis à Christo edoctus Paulus, & tertij Cœli summus Theologus in aurē susurrabat exponens ipsi ineffabilia mysteria, & difficilia captu. Quod ego equidem verissimū esse existimo, nam & alijs, & Gregorio Dialogo hoc fieri cōtigit; quem non serui, & Apostoli sed ipse spiritus Sanctus in specie columbæ illuminās dirigebat. Quid igitur dicemus? Quid aliud quàm quod verū est, quod Proclus non ait, Paulū exposuisse Chrysostomo semper quæ difficilia sunt. Verificatur enim visio quamuis nō semper Paulus illuminauerit Chrysostomum, neque Spiritus sanctus Magnū Gregorium, & de Magno Basilio Ephræm Syrum alloquente idem nonulli aiunt, quod aspicerent Spiritum sanctum, & nihilominus nemo vnquam ausus est dicere. ex Doctoribus aliquem æquatum fuisse à Deo spiritæ Scripturæ. quis vnquā prophetas inficiatus est illuminari à spiritu Diuino, atqui multa ignorant, ipsi etiam cùm sint Prophetæ. Testis Elisæus in 4. lib. Regum. c. 3. qui quærit Psaltem, vt eo canente ad ipsum veniat spiritus, & prophetizet, & c. 4. cum Sunamitis apprehenderet pedes Prophetæ, & Iesi eam amoueret

κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι, τὸν αὐτὸν τρόπον καὶ τοῖς διδασκάλοις τὸ πνεῦμα τὸ ἅγιον τινὰ φανεροῖ καὶ σαφηνίζει, τινὰ δὲ οὔ. ἀνάγνωθι τὴν πρώτην ὁμιλίαν τοῦ μεγάλου Γρηγορίου, εἰς τὸν Ἐζεκιὴλ ἐν ᾗ εὑρήσεις παρὰ τοὺς τρεῖς χρόνους, τὸν παρῳχημένον τὸν ἐνεστῶτα, καὶ τὸν μέλλοντα ἐνίοις καταγίνεται ἡ προφητεία, ἔτι τὸν τρόπον καὶ τὴν ποιότητα τῶν προφητευόντων. τὸ γὰρ πνεῦμα τῆς προφητείας οὐ πάντοτε, οὐδὲ τὸν αὐτὸν τρόπον ἅπτεται τοῦ προφήτου. ἐνίοτε γὰρ ἐκ τῶν παρόντων καὶ ἐνεστώτων, ἐκ δὲ τοῦ μέλλοντος οὐδαμῶς ἅπτεται. ποτὲ δὲ ἐκ τοῦ μέλλοντος. καὶ οὐκ ἐκ τοῦ ἐνεστῶτος. πάλιν αὖθις ἐκ τοῦ μέλλοντος καὶ ἐνεστῶτος. καὶ ἐνίοτε ἐκ τοῦ παρόντος, καὶ παρεληλυθότος, καὶ μέλλοντος. καὶ πάλιν ἐν τῷ παρόντι ἐκ μέρους ἅπτεται, καὶ ἐκ μέρους οὐχ ἅπτεται. ἔστιν ὅτε ἐν τῷ μέλλοντι ἐκ μέρους ἅπτεται, καὶ ἐκ μέρους οὐχ ἅπτεται. ἃ πάντα τοῖς παραδείγμασιν ὑπερφυῶς ἐπεξηγεῖται Γρηγόριος ὁ μέγας ἐν τῇ πρώτῃ ὁμιλίᾳ εἰς τὸν Ἰεζεκιήλ. καὶ μέτιθι. εἰ δὲ τὸ πνεῦμα τῶν προφητῶν διαφόρως ἅπτεται, πόσῳ μᾶλλον τῶν διδασκάλων. ὅθεν διαφόρως τὴν θείαν γραφὴν μεστὴν οὖσαν νοημάτων, καὶ διαφόρων ἐννοιῶν, οἱ διδάσκαλοι ἐξηγοῦνται, καὶ τὸν γνήσιον νοῦν ζητοῦντες οἱ σπουδαῖοι, τοῖς πλείοσι τῶν διδασκάλων ἕπονται.

ΚΕΙΜΕΝΟΝ.

Λοιπὸς δὴ Γρηγόριος ὁ μακάριος ὁ τῆς Νυσσέων προεστάτης ἐκκλησίας, ὃς δὴ μᾶλλον τῶν ἄλλων δοκεῖ λέγειν ὑμῖν συνιστάμενον. Καίτοι βέλτιον ἦν σιωπῇ τὰ ἐκείνου τιμᾶσθαι, καὶ μηδαμῶς ἡμᾶς ἀναγκάζεσθαι τὴν ὑπὲρ τούτων ἀπολογίαν φανερῶς ἐν τῷ μέσῳ ποιεῖσθαι. ῥητέον δ' οὖν ὅμως (ὡς ἔνεστι) τὴν εὐφημίαν φυλάξασι τῷ πατρί. ἄνθρωπος ἦν, ἀνθρώπῳ δέ, κἂν ὅτι μάλιστα εἰς ἄκρον ἁγιωσύνης ἀφίκηται, οὐκ ἀδύνατον ἁμαρτεῖν. καὶ μάλιστα περὶ ἃ μηδεμία προέβη ἐξέτασις, μηδὲ κοινῇ συνελθόντες πατέρες τὸ δοκοῦν ἐψηφίσαντο. δῆλον γὰρ δὴ τοὺς πολλοὺς ὑπὲρ τὸν ἕνα τὰ ἀληθῆ δύνασθαι συνιέναι, εἴγε εἰσὶ δύο ἀγαθοὶ ὑπὲρ τὸν ἕνα. τοῦ γοῦν περὶ τῆς αἰωνίου κολάσεως μήπω ἐξητασ-

μένου

ueret, dixit Elisæus, dimitte illam; quoniam Anima eius in amaritudine est. & Dominus celauit à me, & non indicauit mihi; simili modo & Doctoribus Spiritus sanctus nonnulla manifestat, & explanat, quædam vero minime. Legas primam homiliam Magni Gregorij in Ezechielem, in qua reperies præter tria tempora præteritum, præsens, & futurum, in quibus versatur prophetia; modum, & qualitatem prophetantium, spiritus enim prophetiæ non semper, neque secundum eundem modum tangit prophetam. Quandoque enim ex præsentibus & non ex futuro tangit. Quandoque vero ex futuro, & non ex præsenti. Rursus ex futuro, & præsenti. Alias ex præsenti, & præterito, & futuro. Nonnunquam in præsenti ex parte tangit, & ex parte non tangit. Quæ omnia exemplis egregie explanat Gregorius Magnus in eadem 1. Hom. & adeas eam. Quod si Spiritus Prophetã diuersimode tangit, quanto magis Doctorem. Vnde diuerse diuinam Scripturam, quæ plena est sensuum, & diuersorum conceptuum, Doctores exponunt, & legitimum sensum quærentes studiosi, maiorem partem Doctorum sequuntur.

TEXTVS.

SVperest vnus B. Gregorius Nyssenæ Ecclesiæ Præsul, qui magis quam alij, quæ pro vobis faciunt, dicere videtur. Atqui satius erat illius auctoritatem silentio præterire, nullaque ratione nos cogere, eorum, quæ dixit, defensionem apertè in medium proferre. Dicẽdum tamen nobis est, salua quoad eius fieri potest, Patris illius existimatione. Homo erat, homini verò, etiamsi ad culmen sanctimoniæ peruenerit, non est impossibile errare, & præcipuè ijs in rebus, de quibus nulla antea præcessit inquisitio, neque communibus Patrum suffragijs, atque sententijs aliquid est decretum.

μένου ζητήματος, τῆς τῶν ἁμαρτωλῶν ἀποκαταστάσεως δόξης καὶ οὗτος γενέσθαι δοκεῖ, καὶ τέλος εἰσάγειν κολάσεως, μηδὲν ἄλλο ταύτην εἶναι ἀποφαινόμενος, ἢ κάθαρσίν τινα καὶ χωνείαν, καὶ πρὸς Θεὸν ἑλκυσμὸν δι' ὀδύνης καὶ πόνων ὡς ἐσομένης ποτὲ τελείας ἀποκαταστάσεως πάντων, καὶ τῶν δαιμόνων αὐτῶν, ἵνα ᾖ, φησὶν, ὁ Θεὸς τὸ πᾶν ἐν πᾶσι, κατὰ τὸν ἀποστολικὸν λόγον.

Πρῶτον μὲν οὖν ἀπολογούμεθα ὑπὲρ τούτων, ὃ παρὰ τῶν πατέρων ἡμῶν παρελάβομεν, ὡς εἰκὸς διαφθορὰς εἶναι ταύτας καὶ παρεμβολὰς αἱρετιζόντων τινῶν, καὶ τὰ Ὠριγένους φρονούντων, οἵτινες ἤκμαζον πολλοὶ κατ' ἐκείνους τοὺς χρόνους ἐν τοῖς κατ' Αἴγυπτον μάλιστα καὶ Παλαιστίνην τόποις, ἵνα καὶ τὸν ἅγιον τοῦτον καὶ μέγαν φωστῆρα συνήγορον ἔχειν δοκῶσιν.

Deinde verò Beatus Paulus quamuis dictionibus græcanicis vſus ſit, tamen phraſes hebraicæ linguæ in omnibus ſuis epiſtolis diligenter obſeruauit. Quemadmodum & vetus diuina Scriptura in Græcorum linguam à Septuaginta verſa, ſeruat figuras & gratias illius linguæ, quæ multum diſtant à Græcorum lingua. Et quantum ad hoc ſpectat, Græci, & Latini æqualem & ſimilem difficultatem interpretationis habent, & non eſt dicere, quæ græcè Præco ſcripſit; nō enim Græcus, ſed Hebræus erat Paulus Tharſenſis. Hieronyminus autē multarum linguarum peritus & multæ lectionis vir Græcorum, Hebræorum, & Chaldæorum linguā ad ſummum edoctus vltra latinam, multa intellexit ſcripturæ melius quàm cœteri expoſitores.

TEXTVS.

SEcundam affert ſolutionem dicēs, Latinorum Sanctos, cùm propria ſua lingua careat metaphora Scripturæ, & non abundet dictione apta, quæ ſignificet, quod etiam phraſis græca, dicendum eſt in eum ſenſum abductos fuiſſe.

RESPONSIO.

ATqui non tantum Latini, ſed etiam Græci ſic expoſuerunt, vt antea diximus; & Latinos callere metaphoras non minus quàm Græci, omnibus manifeſtum eſt; niſi quis velit dicere ſuperbè, & audacter, Spiritum ſanctū non valuiſſe illuminare Latinos, ſicut & Græcos. Tu verò fruſtra conaris, & nihil probas, celſa verò mente præditus Auguſtinus, & rerum cœleſtium explanator nemini Græcorum cedit, ſunt verò quos & ſubtilitate, ac multitudine ſcriptorum longo interuallo ſuperauit.

ΚΕΙΜΕΝΟΝ.

ΤΡίτην λύσιν ἐπιφέρει λέγων, τοὺς λατίνους μεῖζόν τι κακὸν ἀναιρεῖν οὕτως συγχωρῆσαι τὸ ἔλαττον, ὡς ἐξ αὐτῶν τῶν Αὐγουστίνου δείκνυται λόγων (ἔδει σε ταῦτα ἐπισημειώσασθαι καὶ μὴ ψεύδεσθαι) ἦσαν δὲ τὸ ῥητὸν τοῦτο ἐπὶ πάσας εἷλκον ἁμαρτίας, πᾶσαν νομίζοντες εἶναι καθάρσιμον, ὡς καὶ τὴν αἰώνιον τέλος ἕξουσαν ποτὲ κόλασιν. τοῦτο οὖν βουλόμενος αἰτιλεῖν καὶ τῶν ψυχῶν ἀπελάσαι τῇ μέσῃ ταύτῃ συγχωρεῖ κολάσει παροδικὸν πῦρ, κἂν τῆς λέξεως ἴσως ἀσθενείας ἀπενεχθεὶς ἐπὶ τοῦτο.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀλλ' ὦ καλὲ βαρλαὰμ εἴθε ἐκ τοῦ μυλικοῦ καίθονος τοῦ βαλαὰμ διδαχθεὶς λαλεῖν. μάθεις οὖν φρονεῖν, καὶ φθέγγεσθαι περὶ τηλικούτων αἰδεσιμ, οἰκουμενικῶν ὄντων διδασκάλων, κάλλιον καὶ σωφρονέστερον. οὐ γὰρ ὡς ὑμεῖς, μεταβάλλονται πολλάκις τῆς ἡμέρας, ἀλλὰ διδασκαλικῶς ἀποφαίνονται τὴν ἀλήθειαν. σὺ δὲ λήρεις ἔχων καὶ φθέγγῃ τὰ ἐρευγόμενα ἐκ τῆς κοιλίας σου. οὐ γὰρ ἂν εἴποιμι τὰ τοῦ νοός. παράφορον τὸ παράπαν τυγχάνων.

Εἶτα τὸ κείμενον τοῦ Παύλου παρεξηγεῖται. καὶ εὐθὺς ἐν ἀρχῇ ψεύδεται λέγων, ἐπεὶ τὰ δὲ οὕτω μὲν τοῦ Ἰωάννου, καὶ τῶν γραικῶν ἁγίων πάντων ἡρμηνευκότων τοῦτον τὸν λόγον, καὶ τὰ λοιπά. τίνες οὗτοι οἱ ἅγιοι πάντες οἱ γραικοὶ, οἱ ἡρμηνευκότες; ὁρᾷς ὅτι ψεύδῃ; ὧν δὲ τοὺς λατίνους οὐχ οἷόν τι εἶναι τὰ τῶν πατέρων γραικῶν μετιέναι συγγράμματα, καὶ ἀποσκευάσαι τὸ ψεῦδος, ὧν ταῖς ἐπιμελείαις, καὶ εὐεργεσίαις πλουτοῦμεν τοὺς λαμπροὺς χαρακτῆρας τῶν τύπων. πάλαι γὰρ ἂν ἀνεστράφησαν τὰ τῶν ἑλλήνων συγγράμματα.

Καὶ σημειῶσαι, ὅτι τοῦ Βασιλείου ἀποδεχομένου καθαρῶς οὐ

TEXTVS.

TErtiam ſolutionem affert dicens, Latinas maius quidpiam malum deſtruentes, cõceſſiſſe quod minus eſt, vt ex ipſis Auguſtini verbis probatur. (oportuit te hæc adnotaſſe) erant qui dictum Pauli ad omne peccatum trahebant, exiſtimantes omne peccatum purgatum iri, vt etiam æternum cruciatum finem aliquando habiturum. Hoc igitur volens deſtruere Auguſtinus, & ex animis hominum expellere, tranſitorium ignem hac media punitione cõceſſit. Fortaſſis etiã imperfectione dictionis in hoc abductus.

RESPONSIO.

SEd ò bone Barlaam, vtinam ſaltem tu ab Aſina illa Balaam piſtrino digna loqui didiciſſes; diſce igitur ſapere, & loqui de tantis viris Oecumenicis Doctoribus exiſtẽtibus melius, & modeſtius: Non enim, vt Vos, immutantur ſæpè in die, ſed more Doctorum verum ſtatuunt. Tu verò nugaris, & loqueris quæ ex ventre eructas, non enim dixerim quæ ex mente, cum penitus ſis amens. Deinde textum Pauli prauè exponit. Et ſtatim à principio mentitur dicens: Deinde verò ita quidem Ioanne, & omnibus Sanctis Græcorum ſic exponentibus hunc textum, &c. Quinam ſunt iſti omnes Sancti Græcorum, qui ita expoſuerunt? Vides quòd mentiris? exiſtimaſti Latinos non poſſe adire ſcripta Græcorum Patrum; & extirpare tuum mendacium. Quorum induſtria, & beneficio ditati ſumus ſplendidis characteribus typorum. Diu enim ad nihilum redacta eſſent Græcorum opera.

Et nota, quod Baſilio Magno recipiente manifeſtè & clarè ignem purgatorium, neſcio qua de cauſa in medio

affers

λαμπρῶς τὸ πῦρ τὸ καθαρτήριον, οὐκ οἶδα τίνος χάριν εἰσφέρει εἰς μέσον ἔξω τοῦ προκειμένου τὸ πῦρ τὸ αἰώνιον, ὅπερ σαφηνίζει ὁ μέγας Βασίλειος, ἐκεῖνο τὸ ψαλμικὸν ἐξηγούμενος, φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός. πῦρ λέγων, ἐκεῖνο διακόπτεται τῇ φωνῇ τοῦ κυρίου, ἵνα, ἐπειδὴ δύο εἰσὶ δυνάμεις, ἥτε καυστικὴ, καὶ ἡ φωτίζουσα, τὸ μὲν δριμὺ καὶ κολαστικὸν τοῦ πυρὸς τοῖς ἀξίοις τῆς καύσεως προσαπομείνῃ, τὸ δὲ φωτιστικὸν αὐτοῦ, καὶ λαμπρὸν τῇ φαιδρότητι τῶν εὐφραινομένων ἀποκληρωθῇ, ὅπερ πάντελῶς πρὸς τὸ προκείμενον οὐ συντείνει, οὐδὲ ἀφορᾷ.

ΚΕΙΜΕΝΟΝ.

Ἀλλ' Αὐγουστῖνος διαῤῥήδην εἴρηκε, φησὶ, περὶ τούτου, καὶ Ἀμβρόσιος, οἱ μακάριοι, καὶ Γρηγόριος ὁ Διάλογος. τοῦτο φαμὲν καὶ ἡμεῖς, καὶ οὐκ ἔστιν ἀρνήσασθαι, εὖγε ὅτι ὁμολογεῖς τὴν ἀλήθειαν. ἀλλὰ, φησὶ, τῶν αἰδεσίμων τούτων ὄντων λατίνων, καὶ λατινικῶς γεγραφότων τὰ ἑαυτῶν, τὰ μὲν ὅλως οὐδὲν τί σαφῶς περὶ τοῦ καθαρτηρίου πυρὸς ἀποφαίνονται, ἀλλ' ὅτι μόνον ὠφελοῦσι τοὺς τεθνεῶτας, αἱ παρ' αὐτῶν γενόμεναι λειτουργίαι τε καὶ εὐχαὶ, διδάσκουσι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀλλὰ ταῦτα οὐκ ἔστιν ἐναντία τῷ πυρὶ τῷ καθαρτηρίῳ. καὶ οἱ ἅγιοι διδάσκαλοι, ὡς ἀλλαχοῦ εἰρήκαμεν, οὐχ ἅπαντα ἐν ταὐτῷ συναθροίσαντες εὐθὺς προφέρουσιν. οὐδὲ φιλοσοφοῦσι κατὰ τὸν φώτιον, ὃς τὰ ῥητὰ τῶν λατίνων περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος κἀκ τοῦ υἱοῦ ἐκφαυλίζει καὶ εἰς οὐδὲν τίθεται. ὡς ἐναντία καὶ μαχόμενα τῇ θείᾳ γραφῇ, διότι ἐν τῷ εὐαγγελίῳ λέγεται τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. ἔδει δὲ αὐτὸν ἀρνήσασθαι, καὶ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι. οὐδὲ γὰρ ἐν τῷ εὐαγγελίῳ τοῦτο εἴρηται. τί οὖν ἐρεῖ ὁ φώτιος πρὸς τὰς μαρτυρίας τῶν ἀνατολικῶν, πλείους

οὔσας

affers extra rem ignem æternum, quem Magnus Basilius declarat exponẽs illud Psalmi, vox Domini intercidentis flãmam ignis, ignem dicens illum intercidi voce Domini, vt quandoquidem duæ sunt potẽtiæ, altera combustiua, & altera illuminatiua, illius, quod est acerbũ, & punitiuum ignis ijs qui digni sunt combustione, remaneant: Quod verò illuminatiuum illius, & splendidum, hilaritati lætãtium adscribatur. Quod omninò ad propositum non conducit, neque spectat.

TEXTVS.

AT enim dicetis B. Augustinus & B. Ambrosius, & Gregorius Dialogus id expresse tradunt. Hoc etiã nos fatemur, & nõ possumus nega e(euge quod verũ fateris) sed inquit, cũ viri Latini fuerint, & latinè sua scripserint, quædam, inquit, nihil clarè de purgatorio igne statuunt, sed docent, quod solum iuuant mortuos, quæ pro illis offeruntur sacrificia, & præces.

RESPONSIO.

AT hæc non sunt contraria purgatorio igni. Et Sacri Doctores, vt alibi diximus, non omnia vno in loco enunciant, & congerunt. Neque philosophantur, vt Photius, qui dicta Latinorum Sanctorum reijcienda censet, tãquam contraria processioni Spiritus sancti etiam ex Filio, quia in Euangelio dicitur Spiritus sanctus ex Patre procedere per filiũ, & in Euangelio id nõ habetur. Sed quid respõdebit Photius ad auctoritates Patrũ Græcorum, quæ sunt multo plures quàm Latinorũ? Et existimat se esse sapientissimũ hoc ignorans, & nesciens. Legatis longissimam eius epistolam de his rebus, & inuenietis verissima esse, quę narro.

TEX-

ὕσας, ἢ τῶν λατίνων· καὶ οἴεται εἶναι σοφώτατος τοῦτο ἀγνοῶν, καὶ μὴ ἐπιστάμενος· ἀνάγνωτε τὴν ὑπὲρ μήκη αὐτοῦ περὶ τούτων ἐπιστολὴν, καὶ εὑρήσεται ἀληθέστατα εἶναι ἃ διηγοῦμαι.

ΚΕΙΜΕΝΟΝ.

Δευτέραν ἐπιφέρει λύσιν οὑτωσὶ λέγων, τὰ δὲ καὶ σαφῶς τοῦτο διαγορεύονται· διατί οὖν οὐ δέχηται σαφῶς τοῦτο διαγορεύοντα; ὅτι φησὶν τοῦτον μὲν οὐδέπω καὶ τήμερον ἀνεγνώσθη σύγγραμμα παρ' ἡμῖν. οὐδὲν μὲν, ὅτι φησὶν περὶ τοῦ ζητήματος τούτου, οὐδὲ περὶ ἄλλου τινὸς, ἢ ὅσον ὀλίγοις χρόνοις πρότερον περὶ τριάδος μόνον τοῦ Αὐγουστίνου, καὶ οἱ τοῦ Γρηγορίου διάλογοι μετενεχθέντες ἐκ τῆς ῥωμαίων εἰς τὴν ἑλλάδα διάλεκτον. τί οὖν θαυμαστὸν, εἰ ἀγνοοῦμεν ὃ μηδέποτε εἴδομεν, μηδὲ ἀνέγνωμεν, μηδὲ ἠκούσαμεν; οἱ μὲν γὰρ ἡμέτεροι, καὶ ὅσοι τῶν ἑλλήνων ἀρίστευσαν, εἰρήκασι περὶ τούτων οὐδέν. ψευδῆ, ἃ δὲ εἶπον λατῖνοι, ἡμῖν ἕλλησιν εἰσὶ πάντως ἀσύνετα.

ΑΠΟΚΡΙΣΙΣ.

Ψευδὴς ἡ πρόφασις, οὐ γὰρ μόνον τοὺς λατίνους οὐκ ἀνέγνωτε ἀγνοοῦντες τὴν ἐκείνων φωνὴν, ἀλλ' οὐδὲ τοὺς παλαιοὺς τῶν ἑλλήνων, καίπερ εἰδότες τὴν ἐκείνων διάλεκτον, εἰ μὴ τῶν μεταγενεστέρων τοὺς σχισματικοὺς, καὶ αἱρετικούς.

Ὤφελον οὖν οἱ λατίνων πατέρες χάριν τοῦ Βαρλαὰμ μυηθῆναι τὰ γραμματικὰ τῶν ἑλλήνων, καὶ πιστευθῆναι. ἄλλως γὰρ μηδὲ μίαν πίστιν αὐτοὺς ἔχειν, καὶ ταῦτα τὴν ἀψευδῆ ἐπαγγελίαν τοῦ σωτῆρος ἐκ περιουσίας καρπουμένους, ἀλλ' οὐχ οὕτω φρονεῖ ἡ πέμπτη σύνοδος ἐν τῇ τρίτῃ πράξει αὐτῆς περὶ τὸ μέσον φάσκουσα. ἀκολουθοῦμεν ἐν ἅπασι καὶ τοῖς ἁγίοις διδασκάλοις τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νύσσης, Ἀμβροσίῳ, Αὐγουστίνῳ, Θεοφίλῳ, Κυρίλλῳ, Ἰωάννῃ τῷ Κωνσταντινουπόλεως, Λέοντι, Πρόκλῳ, καὶ πάντα τὰ παρ' αὐτῶν συγγραφέντα περὶ τῆς ὀρθῆς πίστεως, καὶ πρὸς κατάκρι-

TEXTVS.

SEcundam solutionem infert sic dicens: Partim verò manifestè hoc fatentur. Cur igitur non recipis, quæ clarè istud fatentur? quoniam, inquit, nondum vsque in hodiernam diem eorum aliquid de hac quæstione, atque de alijs apud nos lectum est. Nisi ante paucos annos tantum de Trinitate Augustini, & Gregorij Dialogi ex Latina lingua translati sunt. Quid igitur mirum, si ignoramus quod nunquam vidimus, neque legimus, neque audiuimus? Etenim nostrates, & quotquot linguam Græcorum callent, de his nihil dixerunt. (Mentiris) Quæ verò Latini nobis Græcis dixerunt, sunt omninò inintelligibilia.

RESPONSIO.

FAlsa est excusatio, non enim solum Latinos non legistis minimè callentes eorum linguam, sed neque antiquas Græcorum, quamuis non ignoretis eorum dialectum, nisi tantum posteriorum schismaticorum, & hæreticorum scripta.

Debebant igitur Latinorum Patres gratia Barlaami initiari, & discere quæ spectant ad grammaticam Græcorum, vt crederentur fide digni. Aliter enim nullam fidem ipsis habendam esse: præsertim cum ex superabundante infallibili promissione Saluatoris fruantur. At non ita sentit quinta Synodus in tertia sua actione circa medium dicens; Sequimur in omnibus sanctos Doctores sanctæ Dei Ecclesiæ, Athanasium, Hilarium, Basilium, Gregorium Theologum, Gregorium Nyssenum, Ambrosium, Augustinum, Teofilum, Cyrillum, Ioannem Constantinopolitanum, Leonem, Proclum, & omnia ab ipsis

σιν τῶν αἱρετικῶν δεχόμεθα. ἀλλὰ καὶ ἐν τῷ λεγομένῳ συνο-
δικῷ, ἀναθέματι ὑποβάλλονται ὅσοι μὴ κατ' ὄνομα τοὺς αἱ-
ρημένους διδασκάλους δεχόμενοι, οὐ πάντα τὰ παρ' ἐκείνων
ὁμολογοῦσιν. ἰδίως δὲ τὸν ἅγιον Αὐγουστῖνον αἱ ἅγιαι καὶ οἰκου-
μενικαὶ σύνοδοι, ἥτε τρίτη, καὶ ἕκτη, καὶ ἑβδόμη ἐξοχώτα-
τον διδάσκαλον τῆς ἐκκλησίας, καὶ ἅγιον ἐπεκήρυξαν· ὡς ἔστιν
δῆλον ἐν τοῖς πρακτικοῖς αὐτῶν. ὑμεῖς οὖν καὶ οἱ παραπλή-
σιοι ὑμῶν σχισθέντες ἀπὸ τῆς ῥωμαϊκῆς ἐκκλησίας, πενθέκτας
ὀνειροπολεῖτε συνόδους, ἐν αἷς οὐδὲ μίαν ὅλως μνήμην τῶν δυ-
τικῶν ἁγίων ποιεῖτε. ὥστε σημεῖον ἐναργέστατον εἶναι, ὑμᾶς ἐκ
τότε ἀπαλλοτριωθέντας τολμᾶν ψευδῶς κανονίζειν τὴν μητέρα
καὶ μητρόπολιν, καὶ διδάσκαλον τῶν ἐκκλησιῶν, περί τε γάμου
ἱερέων, καὶ περὶ σαββάτου παρεξηγουμένους τὸν ἀποστολικὸν κα-
νόνα, καὶ ἄλλον νόθον περὶ σαββάτου εἰσφέροντας. τἀναντία
τῶν ἀνατολικῶν πατέρων μαρτυρούντων. καὶ ὅμως οἰκουμενι-
κὴν αὐτὴν καλεῖν οὐκ αἰσχύνεσθε, καίτοι τῆς πέμπτης πρὸ τῆς
πενθέκτης πρὸ ἑκατὸν ἐτῶν συγκροτηθείσης. καὶ οἷον εἰπεῖν,
φθονεῖτε τοῖς δυτικοῖς, καὶ αὐτοὺς μὴ εἶναι σοφοὺς διδασκάλους,
καὶ οὐρανοπολίτας κἂν ἐβούλεσθε. ἀλλ' οὐχ οὕτως ὁ Χρυσόστομος
ἐν τῇ τριακοστῇ δευτέρᾳ ὁμιλίᾳ πρὸς Ῥωμαίους. Ἐγώ, φησί,
καὶ τὴν Ῥώμην διὰ τοῦτο φιλῶ, καίτοιγε αὐτὴν καὶ ἑτέρωθεν
ἔχων ἐπαινεῖν, καὶ ἀπὸ τοῦ μεγέθους, καὶ ἀπὸ τῆς ἀρχαιότητος,
καὶ ἀπὸ τοῦ κάλλους, καὶ ἀπὸ τοῦ πλήθους, καὶ ἀπὸ τῆς δυνα-
στείας, καὶ ἀπὸ τοῦ πλούτου, καὶ ἀπὸ τῶν κατορθωμάτων τῶν ἐν
πολέμῳ, ἀλλὰ ταῦτα πάντα ἀφεὶς, διὰ τοῦτο αὐτὴν μακα-
ρίζω, ὅτι καὶ ζῶν αὐτοῖς (ὁ Παῦλος) ἔγραφε καὶ εὔνους ἦν, καὶ
τὸ ἅγιον σῶμα κατέχουσι, καὶ οὕτως αὐτοὺς ἐφίλει, καὶ παρὼν
αὐτοῖς διελέχθη, καὶ τὸν βίον ἐκεῖ κατέλυσε. διὸ καὶ ἐπίσημος ἡ
πόλις ἐντεῦθεν μᾶλλον, ἢ ἀπὸ τῶν ἄλλων ἁπάντων. καὶ κα-
θάπερ σῶμα μέγα καὶ ἰσχυρὸν ὀφθαλμοὺς ἔχει δύο λάμποντας
τῶν ἁγίων τούτων τὰ σώματα. οὐχ οὕτως ἐστὶν ὁ οὐρανὸς λαμ-
πρὸς ὅταν ἀφῇ τὰς ἀκτῖνας ὁ ἥλιος, ὡς ἡ Ῥωμαίων πόλις τὰς
δύο ταύτας λαμπάδας πανταχοῦ τῆς Οἰκουμένης ἀφιεῖσα. ἐκεῖ-

θεν

image
not
available

θεν ἁρπαγήσεται Παῦλος, ἐκεῖθεν Πέτρος. Ἐννοήσατε καὶ φρίξατε οἷον ὄψεται θέαμα Ῥώμη τὸν Παῦλον ἐξαίφνης ἀνιστάμενον ἀπὸ τῆς θήκης μετὰ Πέτρου, καὶ αἰρόμενον εἰς ἀπάντησιν τοῦ κυρίου. οἷον ἀποστέλλει τῷ Χριστῷ ὥς, ῥόδον δῶρον ἡ Ῥώμη· οἵους στεφάνους ἡ πόλις περίκειται δύο, οἵας χρυσᾶς ἁλύσεις διέζωσται, οἵας ἔχει πηγάς. διὰ ταῦτα θαυμάζω τὴν πόλιν, οὐ διὰ τὸν χρυσὸν τὸν πολὺν, οὐ διὰ τοὺς κίονας, οὐ διὰ τὴν ἄλλην φαντασίαν, ἀλλὰ διὰ τοὺς στύλους τῆς ἐκκλησίας τούτους. Τίς μοι νῦν ἔδωκε περιχυθῆναι τῷ σώματι Παύλου, καὶ προσηλωθῆναι τῷ τάφῳ, καὶ τὴν κόνιν ἰδεῖν τοῦ σώματος ἐκείνου, τοῦ τὰ ὑστερήματα ἀναπληρώσαντος τοῦ Χριστοῦ; καὶ τὰ ἑξῆς.

Μὴ φοβοῦ μήτε δίσταζε Χρυσόστομε, ὅτι οὐ μόνον τὴν κόνιν τῶν ἁγίων τούτων σωμάτων ὄψει, καὶ προσηλωθήσῃ τῷ τάφῳ τῶν πρωτοκορυφαίων τῶν ἀποστόλων, ἀλλὰ καὶ τὸ πνεῦμα πρότερον συνάψας ἐν οὐρανῷ τοῖς ἀποστόλοις ἰσαπόστολος ὢν, τὸ σὸν καθαρὸν λείψανον μετακομισθὲν, ἱεραρχοῦντος Οὐρβανοῦ Ὀγδόου, τοῦ τῶν ἑλλήνων φιλέλληνος, καὶ ἐνθρονισθὲν τοῖς ἀποστόλοις ὁμόστεγον ἕξεις. ἔστι ἐν τῷ περιφανεστάτῳ ναῷ τοῦ Πέτρου, ὅπου ἐστὶ μέρος τοῦ συναποστόλου Παύλου· καὶ αὐτὸς φυγὼν τὸν κρυερὸν χειμῶνα τῆς ἀπιστίας τῆς Θρᾴκης παρὰ Ῥωμαίοις λαμπρῶς ἱδρυνθήσῃ, καὶ κοσμηθείσῃ, ὅπου εὑρήσεις τὸν λαμπρότατον ἀστέρα τῶν καππαδοκῶν, τὸν σοὶ παραπλήσιον, καὶ κατ' ἐξοχὴν Θεολόγον Γρηγόριον, λαμπρῶς καὶ πάγκαλως ἐς ὑπερβολὴν, πέρα θαύματος τῷ περιβλέπτῳ τεμένει κατακοσμηθέντα. ὑπὸ Γρηγορίου τοῦ ὁμωνύμου τοῦ τρισκαιδεκάτου, καὶ ἀειμνήστου μνήμης ἄκρου ἀρχιερέως, καὶ τοῖς γραικοῖς προσφιλεστάτου, τοῦ τὸ ἑλληνομουσεῖον ἐν Ῥώμῃ ἀνεγείραντος. Καὶ τὸν περικαλλῆ τοῦ μεγάλου Ἀθανασίου νεὼν ἐκ βάθρων ἀναστήσαντος, καὶ δειμαμένου. εἶδε γὰρ τὸν ὀρθοδοξότατον καὶ ἀρειομάστιγα τῆς ἀθανασίας ἐπώνυμον παρὰ τῶν ἄκρων ἀρχιερέων προσφυγόντα τῇ πέτρᾳ τῆς πίστεως ἐν ῥώμῃ προθύμως εἰσδεξαμένων ζῶντα μεγάλως τιμηθῆναι· καὶ μετὰ θάνατον ἐν οὐρανῷ βασιλεύοντα ὑπὸ δυοῖν Γρηγορίοιν, τοῦ μὲν ἐν τῇ ἀνατολῇ πατριάρχου Κων-

σαν-

norum Vrbs duos istos fulgores vbiq; terrarum emittens. Hinc rapietur Paulus, hinc Petrus. Cõsiderate,& horrete quale spectaculum visura sit Roma, Paulum videlicet repentè ex theca illa cum Petro resurgentem in occursum Domini sursum ferri. Qualem donum Christo mittet Roma? Qualibus coronis duabus ornatur Vrbs ista? Qualibus catenis aureis cincta est? quales habet fontes? propterea admiror hanc Vrbem, non propter copiam auri, non propter columnas, neq; propter aliam quamcunque rerũ speciem, sed propter columnas illas Ecclesiæ. Quis mihi nũc dabit circumuolui corpori Pauli, affigi sepulchro, videre puluerem corporis illius, quæ adhuc in Christo deerant adimplentis stigmata illius gestantis, & quæ sequuntur.

Ne timeas, neq; dubites Chrysostome, quoniam non tantum puluerem horum Sanctorum corporum videbis, & affixus eris sepulchro principum Apostolorum, sed spiritũ prius coniungens in Cœlo cũ Apostolis, æqualis Apostolorum existens, sacris reliquijs tuis translatis, idq; tẽpore Vrbani VIII. Summi Pontificis,& Græcorum φιλέλλωος, & sub altari, quasi in throno collocatis sub eodem tecto Apostolorum habitabis in celeberrimo tẽplo Petri, vbi est pars coapostoli Pauli, & ipse fugiens rigidam hyemẽ infidelitatis Thraciæ, apud Romanos splendidè collocaberis, & ornaberis; Vbi reperies Stellam illam splendidissimam Cappadocum tui similem, & per excellentiam Theologũ Gregorium, magnificè, & pulcherrimè ad hyperbolẽ vsq;, & vltra miraculum conspicuo sacello exornatũ à Gregorio eiusdem nominis xiij. & æternæ memoriȩ summo Pontifice, & Græcis beneuolentissimo, qui Græcorum collegium erexit Romæ. Et perelegans templum magni Athanasij à fundamentis erigendum curauit, atque construxit. Oportebat enim eum, qui catholicissimus erat,& Ariomastix, immortalitate donatũ ad petram fidei confugientem

à sum-

σαντινουπόλεως τῷ θαυμαστῷ λόγῳ ἐπαινεθῆναι· τῇ δὲ ἐν τῇ δύσει τῆς πρεσβυτέρας ῥώμης ἱεράρχου τῷ πάνυ τοῖς ἔργοις, καὶ τῷ κατασκευασθέντι ναῷ ἐκτεθεῖσαι, καὶ καθιερωθῆναι. ἀλλ' ἐπανίημι ἐπὶ τὸν Βαρλαάμ, καὶ τοὺς ὁμοίους, οἵ φασιν μὴ συνιέναι μηδὲ ἀκηκοέναι τὶ περὶ τῶν συγγραμμάτων τῶν λατίνων. καὶ διὰ τοῦτο οἴονται αὐτοὺς ἀλλοτρίους εἶναι καὶ ἐλευθέρους πάσης ἀπιστίας. οὕτως εἶπον, μετὰ τὸ ἀναγνῶναι τὰ συγγράμματα τῶν ἑσπερίων, οἱ ἐν τῇ Φλωρεντίᾳ συνόδῳ πατέρες γραικοί. οὐδέποτε εἴδομεν τοὺς δυτικοὺς ἁγίους, οὐδέποτε ἀνέγνωμεν αὐτούς. ἀλλ' ἐκεῖνοι ἀναγνόντες αὐτοὺς ἀσπασίως ἐδέξαντο. νῦν οὖν οἴδαμεν, φασὶ, καὶ ἀνέγνωμεν, καὶ στέργομεν αὐτούς. ὑμεῖς δὲ τί φατὲ; διατὶ μετὰ τοῦ Αυγουστίνου ἔχοντες τὸ περὶ τριάδος ἑλληνικὸν οὐ πιστεύετε τὴν ἐκπόρευσιν τοῦ πνεύματος κἀκ τοῦ υἱοῦ, καὶ διὰ τοῦ υἱοῦ, τῆς, διὰ, προθέσεως ἰσοδυναμούσης τῇ, ἐκ;

Αλλ' ὁ ἀμαθέστατος φιλαδελφίας φησὶ τὴν, διὰ, μὴ λαμβάνεσθαι ὑπὲρ τῆς, ἐκ. οὐ γὰρ λέγομεν τὸ πνεῦμα ἐκπορεύεσθαι διὰ τοῦ πατρὸς. ἐπεὶ τοῦτ' αὖ ἀρνήσατο καὶ τὸν κόσμον εἰς τὸ εἶναι παρῆχθαι ἐκ τοῦ υἱοῦ. θεολογοῦντος τοῦ Ιωάννου, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ μὴ φάσκοντος πάντα διὰ τοῦ πατρὸς ἐγένετο. οὐδὲ τοῦ παμμάκαρος Βασιλείου ἀκούει λέγοντος ἐν τῷ τέλει τοῦ ὀγδόου κεφαλαίου περὶ τοῦ ἁγίου πνεύματος πρὸς Αμφιλόχιον, τὸ διὰ τοῦ υἱοῦ δημιουργεῖν τὸν πατέρα, ὅτι οὔτε ἀτελῆ τοῦ πατρὸς τὴν δημιουργίαν συνίστησιν, οὔτε ἄτονον τοῦ υἱοῦ παραδηλοῖ τὴν ἐνέργειαν. ἀλλὰ τὸ ἡνωμένον τοῦ θελήματος παριστᾷ, ὥστε ἡ δι' υἱοῦ φωνὴ, ὁμολογίαν τῆς προκαταρκτικῆς αἰτίας ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται. ἢ λεγέτω μὴ εἶναι ἕνα καὶ τὸν αὐτὸν δημιουργὸν τῆς κτίσεως, διότι ὁ υἱὸς οὐκ ἔστι προκαταρκτικὴ αἰτία τῆς δημιουργίας πάντα ὅσα ἔχει, λαβὼν παρὰ τοῦ Πατρὸς. καὶ ἰάσθω κακῷ τὸ κακὸν. εἰ δὲ τοῦτο ἥκιστα κωλύει. φάσθι καὶ αὐτὸς μετὰ τοῦ μεγάλου πατρὸς, τὸ διὰ τοῦ υἱοῦ ἐκπορεύειν τὸν πατέρα τὸ πνεῦμα τὸ ἅγιον. οὔτε ἀτελῆ τοῦ πατρὸς τὴν ἐκπόρευσιν συνίστησιν, οὔτε

ἄτο-

à ſummis Pontificibus, Liberio, & Iulio Romæ ſumma alacritate receptum, viuum ſummis honoribus affici; & poſt obitum regnantẽ in cœlo à duobus Gregorijs, altero quidem in Oriente nouæ Romæ Conſtantinopolis Patriarcha luculentiſſima oratione ſummis laudibus celebrari; altero verò, in Occidente veteris Romæ ſummo Hierarcha, fabricato tẽplo diuinis honoribus conſecrari. Sed redeo ad Barlaã, & ſimiles, qui aiunt, non intelligere, neq; audiuiſſe aliquid de operibus Latinorũ, & propterea exiſtimant ſe eſſe alienos ab omni infidelitate, & liberos. Sic dixerunt, poſtquã legerunt ſcripta Occidentalium, qui in Concilio Florentino fuerunt Patres græci. Nunquã vidimus Occidentales Sanctos numquam ipſos legimus. Sed illi poſtquam legerunt, eos libenter acceptarunt Nunc igitur vidimus, aiũt, & legimus, & eos acceptamus. Vos verò quid dicitis? Quare vnà cum Auguſtino habentes librum illius in græcum verſum de Trinitate, non creditis, Proceſſionem Spiritus ſancti etiam ex Filio, & per Filium, cum præpoſitio, per æquipolleat præpoſitioni, ex?

Cæterùm imperitiſſimus Philadelphiæ ait, præpoſitionem, per, nõ accipi pro præpoſitione, ex. Non enim dicimus Spiritum ſanctum procedere per Patrem. Iſte negaret vtiq; & Mundum productũ eſſe ex Filio, Ioanne theologicè aſſerente, omnia per ipſum facta eſſe, & non affirmante, omnia per Patrem facta eſſe. Neque beatum Baſilium audit dicentẽ in fine octaui capitis de Spiritu ſancto ad Amphilochium, Patrem per Filium creare, nec Patris imperfectam creationem conſtituit, nec imbecillam Filij operationem ſignificat; ſed duorum vnam, eandemq; voluntatẽ declarat. Itaque hæc vox per Filium, confeſſionem habet cauſæ principalis, non autem ſumitur ad reprehenſionem cauſæ efficientis. Vel dicat, non eſſe vnum, & eundẽ opificem creationis, quoniã Filius non eſt procatarctica cauſa

crea-

ἄτονον τοῦ υἱοῦ παραδηλοῖ τῆς ἐκπορεύσεως, ἀλλὰ τὸ ὑφειμένον τοῦ σχήματος παρεισᾷ. ὥστε ἡ διὰ υἱοῦ φωνὴ ὁμολογίαν τῆς προκαταρκτικῆς αἰτίας ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ προβλητικοῦ αἰτίου παραλαμβάνεται. Εἰ μὲν οὖν οὕτω νοεῖ ὁ φιλαδελφίας, μεθ' ἡμῶν, καὶ πρὸς ἡμῶν ἐστὶ, καὶ ψεύδεται λέγων, τὴν, διὰ, μὴ ἰσοδυναμεῖν τῇ, ἐκ. εἰ δὲ οὐχ οὕτως νοεῖ, ὁ Βασίλειος τῇ προρρηθείσῃ μαρτυρίᾳ καιρίαν βάλλει, καὶ ἡμῖν ἐξηγήσασθαι μὴ ὀκνήσητε, τί σημαίνει ἐνταῦθα ἡ διὰ πρόθεσις, φάσκουσιν, ἐκ πατρὸς διὰ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεται. ὅπερ ἀναφανδὸν κηρύττει ὁ ἐκ Δαμασκοῦ πλήρης χάριτος Ἰωάννης ἐν τῷ .ιγ. κεφ. τοῦ πρώτου βιβλίου περὶ θείων ὀνομάτων οὑτωσὶ φάσκων, τὸ δὲ πνεῦμα τὸ ἅγιον, ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρὸς μὲν διὰ υἱοῦ ἐκπορευομένη. καὶ ἐν τῷ τέλει τοῦ αὐτοῦ κεφαλαίου, πνεῦμα τοῦ πατρὸς, ὡς ἐκ πατρὸς ἐκπορευόμενον. υἱοῦ δὲ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ (νόει προκαταρκτικῶς) ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. μόνος γὰρ αἴτιος ὁ πατὴρ (προκαταρκτικῶς.) καὶ ὁ θεῖος Μάξιμος κατὰ τὸν αὐτὸν νοῦν ἐν τῇ ἐπιστολῇ πρὸς Μαρῖνον, οὐκ αἰτίαν, φησὶ, τὸν υἱὸν ποιοῦντες τοῦ πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν, (νόει προκαταρκτικὴν) μίαν γὰρ ἴσασιν υἱοῦ, καὶ πνεύματος τὸν πατέρα αἰτίαν υἱοῦ μὲν ἁπλῶς αἰτίαν, οὐ γάρ ἐστιν ἄλλος γεννῶν τὸν υἱὸν, ἀλλὰ μόνος ὁ πατήρ. Πνεύματος δὲ αἰτίαν προκαταρκτικὴν, διότι καὶ ὁ υἱὸς ἐκπορεύει, καὶ ἐπειδὴ οὐ προκαταρκτικῶς, διὰ τοῦτο λέγεται δι' αὐτοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι, καὶ οὐκ ἐξ αὐτοῦ. ἡ δὲ αἰτία προκαταρκτικὴ, καὶ μὴ προκαταρκτικὴ μία καὶ αὐτή ἐστὶ, καθάπερ ἐν τῇ δημιουργίᾳ. ἀλλ' ἵνα καὶ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας, καὶ ἀπαράλλακτον παραστήσωσι. τὴν αὐτὴν αἰτίαν ἀποδίδωσιν ὁ Μάξιμος, ἥνπερ ὁ Βασίλειος.

Ετι διατὶ οὐχ ὁμολογεῖτε τὸ πῦρ τὸ καθαρτήριον; ἀλλὰ φατὲ, μὴ συνιέναι τὴν λατίνων διάλεκτον; πῶς οὖν ἀσύνετοι ὄντες, καὶ παντελῶς νωθροὶ, δύνασθε δοῦναι γνώμην, καὶ φέρειν

κρίσιν

creationis. Quippe omnia, quæ habet Filius, accepit à Patre, & absurdo absurdum sanet. Si verò id minimè officit, dic & ipse vnà cũ magno Patre Basilio, Patrem per Filium producere Spiritum sanctũ, neq; imperfectam Patris productionẽ constituit, neq, imbecillam filij subostendit productionem, sed coniunctionem voluntatis exprimit. Itaq; vox, per filium, confessionem habet principalis causæ, non ad reprehensionẽ productiuæ causæ accipitur. Si igitur sic intelligit Philadelphiæ Antistes nobiscũ, & pro nobis facit, & mentitur dicens, præpositionem, per, non æquipollere præpositioni, ex. Si verò nõ ita intelligat, Basilius prędicta sententia letale illi vulnus infligit. Et nobis exponere non negligatis, quid significet hoc loco præpositio, per, affirmantibus ex Patre per Filiũ, Spiritus sanctus procedit. Quod clarè prædicat, & enunciat plenus gratiæ Ioannes Damascenus in 13. capite libri primi de diuinis nominibus. Sic asserens: Spiritus verò sanctus manifestatiua vis secretæ Deitatis Patris, ex Patre per Filiũ procedit; Et in fine eiusdem capitis, Spiritus Patris, tanquam ex ipso; intellige (procatarctice) sed tanquam per ipsum ex Patre procedẽs. Etenim solus causa est Pater (procatarcticè.) Et sanctus Maximus iuxta eundem sensum in epistola ad Marinum; non causam, inquit, Filium facientes Spiritus, se ipsos probarunt (intellige procatarcticè.) Vnam enim norunt Filij, & Spiritus Patrem causam. Nempè Filij quidẽ simpliciter causam, non enim est alius generans Filiũ, sed solus Pater. Spiritus verò causam procatarcticã, quoniam Filius etiam producit. Et quoniã non procatarcticè, propterea dicitur Spiritus per ipsum procedere, & non ex ipso. Porrò procatarctica causa, & non procatarctica vna, & eadem est, quemadmodum in creatione. Sed vt per ipsum procedere significent, & hoc modo coniunctionem substantiæ, & immutabilitatem exprimant. Eandem causam assignat

κρίσιν περὶ τῶν θεοφθόγγων, τῶν τοιούτων καὶ τηλικούτων ἱερῶν συγγραμμάτων; διὸ ὃ καὶ νῦν ἐπιφέρει τρίτην καὶ ἐναντίαν λύσιν ὁ Βαρλαὰμ μύθων συνέθετο. ὅτι δὲ ἀληθές, ἔξεστι μαθεῖν.

ΚΕΙΜΕΝΟΝ.

ΤΡίτη λύσις φησὶ γάρ, οὐ μὴν ἀλλά, καὶ τὰς τῶν πατέρων τούτων ἔχοι τὶς ἂν παραμυθήσασθαι ῥήσεις, καὶ μάλα καλῶς. (εἰπὲ καὶ μάλα κακῶς) ἐξ αὐτοῦ γὰρ τοῦ Μακαρίου Αὐγουστίνου, καὶ Γρηγορίου τοῦ διαλόγου φαίνεται δήλως, μήτ᾽ αὐτούς, μήθ᾽ ὅσοι τοῦτο εἰρήκασιν ἄλλοι ἐπ᾽ ἐξουσίας διασκεψαμένους εἰπεῖν. καὶ αὐτόθεν ἐπιβαλόντας τῷ σκέμματι, καὶ ὡς ἀληθῆ συνθεμένους, ἀλλ᾽ ὡς ἂν εἴποι τὶς, εἰσωθουμένους, καὶ ἐν στενῷ τῶν λόγων ἐπειλημμένους, καὶ μεῖζον ἀναγκαζομένους κακὸν αἱρεῖν.

ΑΠΟΚΡΙΣΙΣ.

ΛΕγε καὶ τὰς ἄλλας φλυαρίας ἀξίας οὔσας μυθευόντων, ἀλλ᾽ οὐ σωφρόνων ἀνδρῶν. περιέμενον δὲ οἱ λατῖνοι (ὡς ἔοικε) τὸν Βαρλαάμ, ἵνα αὐτοὺς σωφρονίσῃ, καὶ τὰ πίστεως διδάξῃ τὰ δέοντα. ἢ μᾶλλον εἰπεῖν μεταδιδάξῃ τὴν ὀρθὴν πίστιν εἰς τὴν κακοδοξίαν, καὶ φησὶ κατ᾽ οἰκονομίαν τοὺς λατίνους φρονῆσαι τὸ πῦρ τὸ καθαρτήριον. ὡσανεὶ ἔλεγε κατ᾽ οἰκονομίαν τοὺς δυτικοὺς ψεύσασθαι. καὶ οὕτω πειρᾶται ὁ Βαρλαὰμ λῦσαι τὰ ἄλυτα. καὶ δίδωσιν ἡμῖν ὑποπτεύειν τὴν παροῦσαν ἰταλικὴν ἐκκλησίαν διὰ οἰκονομίαν, ἢ μᾶλλον εἰπεῖν δι᾽ ἀπείθειαν, ἀμάθειαν, καὶ ὑπερηφάνειαν ἐν πολλοῖς κακῶς φρονεῖν, καὶ πολλὰ σφάλλεσθαι. ἀλλ᾽ οὐ τοῦτο θαυμάζω τοῦ

Βαρ-

Sanctus Maximus, quam etiam Magnus Basilius.

Præterea cur non confitemini Ignem purgatorium, sed dicitis non intelligere linguam Latinorum? Cur igitur cũ imperiti sitis, & penitus stupidi potestis dare sententiã, & ferre iudicium de diuinis scriptis talium, ac tantorum heroum? Idcircò, quam tertiam infert, & contrariam solutionem Barlaam, ebrius composuit. Quod autem sit verum, licet intelligere.

TEXTVS.

DIcit enim, verumenim verò & dicta horum Patrum potest aliquis mitigando exponere, & satis benè. (dic & satis malè.) Ex ipso enim B. Augustino, & Gregoriano Dialogo manifestè constat, neq; ipsos, neq; quotquot alij istud dixerũt, in sua potestate considerasse, & è re nata rei propositæ, quam disquirendam suscepimus, adhibuisse animum, & vt vera cõposuisse; Sed, vt quispiã diceret, coactos, atq; intrusos, & in angustia sermonũ redactos, & constitutos, & maius malũ destruere necessitas dixisse.

RESPONSIO.

PErge, & persequere alias nugas non modestis, sed ebrijs dignas. nimirũ præstolabantur Latini, vt apparet, Barlaã, qui eos moderaretur, & necessaria fidei doceret. Vel, vt melius dicã, rectam fidem dedoceret in cacodoxiam. Atq; ait, dispensatiuè Latinos sensisse Ignem purgatorium; quasi dicat, dispensatiuè Occidentales falsa docuisse. Atq; ita Barlaam nititur soluere quæ solui non possunt, & præbet nobis occasionem suspicandi præsentem Ecclesiam Orientalem dispensatiuè, vel, vt melius dicam, obstinatè, imperitè, atq; superbè in multis malè sentire, &

Βαρλαὰμ περὶ πολλῶν ἐτῶν γεγονότος, ὅσον τῶν νῦν περιόντων, οἳ τὴν ἀμαθίαν καὶ τὰ ψεύδη ἐκείνου ἐκπομπεύουσαι διὰ τύπου οὐκ ηὐλαβήθησαν· ἀμαθεστάτων ὄντων κἀκείνων, καὶ πληρεστάτων ψευδολογίας.

ΚΕΙΜΕΝΟΝ.

Ἐπεὶ δὲ καὶ ἀπὸ τοῦ κράτους ἐπεχειρήσατε τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ὅπερ πέμπτον μὲν ὑμεῖς τοῖς ἄλλοις ἐπιχειρήμασιν ἐνετάξατε, ἡμεῖς δὲ εἰς τόδε ἀνεβαλόμεθα· οὐ δεῖ, ἡμᾶς ἀγνοεῖν, ὅτι εἰ οὕτως ἔχομεν γνώμης περὶ ἀλλήλων ἀμφότεροι, ὡς τὰ παρὰ τῆς ἑκάστης ἐκκλησίας κρατοῦντα ταῦτα ἡγεῖσθαι καὶ κύρια, οὐδὲ ποτ' ἂν ἀλλήλοις συνήλθομεν, οὐδ' εἰς λόγους ἤλθομεν ἄν. ἀλλ' αὐτὸ τὸ πρῶτον, καὶ μέγιστον τῆς ἡμετέρας συγχύσεως αἴτιον, τὸ πάσης ἀφειμένους προλήψεως, καὶ παντὸς ἔθους μὴ καὶ τῷ λόγῳ βοηθουμένου, γυμνὰ κρῖναι τὰ πράγματα, παραθεμένους παρὰ τὰ λόγια, καὶ τὰς ἀποφάσεις τῶν διδασκάλων, κανόσιν αὐτοῖς χρησαμένους, καὶ στάθμη πρὸς ταῦτα.

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ παλαιοὶ τῶν μακαρίων ἀνδρῶν, καὶ πατέρων, οἷον εἰπεῖν ὁ πολύαθλος Ἀθανάσιος, ὁ μέγας Βασίλειος, ὁ Θεολόγος Γρηγόριος, ὁ πολὺς ἐν τοῖς λόγοις Χρυσόστομος, ὁ ἀγχίνους Ἀλεξανδρείας Κύριλλος, καὶ ἄλλοι πλεῖστοι ἐκ τῶν θεοπνεύστων τοῦ Σωτῆρος λογίων ᾔδεσαν τιμᾶν καὶ σέβειν τοὺς τοῦ Πέτρου διαδόχους, οὐχ ἧττον, ἢ αὐτὸν τὸν ἀπόστολον. ὅθεν ζητήσεως κινηθείσης πρὸς κεφαλὴν, καὶ πρὸς πατέρα καὶ οἰκουμενικὸν τῆς ἁπανταχοῦ ἐκκλησίας διδάσκαλον συνέδραμον, καὶ παρ' αὐτοῦ τὴν λύσιν δέξασθαι οὐκ ὀλιγώρως εἶχον. ἐκεῖνος

ἀνάγ-

multū errare. Sed non tantum admiror Barlaam, qui ante multos annos extitit, quantū eos, qui nūc superstites sunt, qui ignorantiam, & mēdacia illius prælo publicare nō sunt veriti, cum & ipsi imperitissimi sint, & plenè mendaciorū.

TEXTVS.

CVm verò etiam ab auctoritate Romanæ Ecclesiæ argumentamini, quod quidē quintum inter vestra argumenta, locum obtinet, nos autem hucusq; distulimus. Nō oportet vos ignorare, quod si ita vtrinq; inter nos animis affecti essemus, vt quæ in singulis Ecclesijs obtinent, etiam rata, firmaq; duceremus, numquam simul conuenissemus, neq; colloquiū inter nos instituissemus; sed illa primaria, & maxima nostri conuentus causa fuit, vt omni præsumptione, & consuetudine, quæ ratione nō nitatur, seposita, nudas res iudicemus, eas conferentes, examinantesq. ad sacram Scripturam, & declarationes Doctorum, vtentes ijs tanquam regulis & norma, à qua non deflectamus.

RESPONSIO.

ANtiqui beati Viri & Patres, quales sunt magnus athleta Athanasius, magnus Basilius, Theologus Gregorius, eloquentissimus Chrysostomus, Cyrillus Alexandrinus, & multi alij à Deo inspiratis eloquijs Saluatoris nouerant honorare, & reuereri successores Petri, non minus quam ipsum Apostolum. Vnde quæstione mota, ad ipsum tanquam ad caput, & Patrē & œcumenicum totius Ecclesiæ magistrū concurrere, & ab eo solutionem petere non negligebant. Ille, necessitate vrgente, concilia conuocabat, & eorum sententias apostolico more firmabat, tanquam quæ nullius ponderis essent, si ab ipso irrita fuissent.

Epi-

ἀνάγκης κατεπειγούσης, τὰς συνόδους συνεκρότει, καὶ τὰς αὐτῶν ἀποφάσεις ἀποστολικῶς ἐκύρου, ὡς μηδενὸς ἀξίας οὔσας ὑπ' ἐκείνου ἀκυρωθείσας. Ἐπισκόπους, καὶ πατριάρχας τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ ὁμοφρονοῦντας, καὶ συμπειθομένους, εἰς τοὺς ἑαυτῶν θρόνους ἀποκαθίστη. ἀσυμφωνοῦντας, καὶ μὴ πειθομένους τῶν ἰδίων ἐστέρειζε, καὶ ἀπ' ἐκείνων κανονικῶς κατήτει. ἔκρινεν, ἠθώου, μετεκίνει, ἀποστολικῇ αὐθεντίᾳ χρώμενος. ἐπεκράτησε δὲ τουτὶ τὸ ἐπαινετὸν ἔθος ἀπ' ἀρχῆς ἐν τῇ νύμφῃ τοῦ Χριστοῦ τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ ἄσπιλον, καὶ ἀμόλυντον ἀπ' ἀρχῆς τοῦ καιροῦ τοῦ μηδέποτε εἰς φῶς ἐλθεῖν ὀφείλοντος τοῦ ἐξώλους καὶ προώλους ἀπολουμένου Φωτίου. πρότερον δὲ τό γε ἧκον εἰς τὰ μέλη, καὶ τὴν κεφαλὴν τοῦ μυστικοῦ σώματος βαθεῖα εἰρήνη τὴν ἐκκλησίαν κατεῖχεν. ὅθεν ἄξιον ἐστὶν ἐπισημειώσασθαι, τί περὶ ταύτης τῆς ἄκρας συμφωνίας τῶν μελῶν μετὰ τῆς κεφαλῆς οἱ πνευματοκίνητοι ῥήτορες διὰ τῶν ἰδίων συγγραμμάτων γεγραφότες τοῖς ὀρθοδόξοις καταλελοίπασι. ταῦτα ἐν παραδρομῇ. οὐ γὰρ ἤλπιζον ποτὲ ἐκεῖνοι οἱ θαυμαστοὶ ἄνδρες θείᾳ δίκῃ τὸ γένος εἰς τοῦτο δυστυχίας καταντῆσαι, ὥστε ὑποταγῆναι τῷ αἰσχροτάτῳ, καὶ ἀσελγεστάτῳ Μωάμεθ.

Ὁ γοῦν μέγας Ἀθανάσιος αὐτοπροσώπως κληθεὶς παρεγένετο εἰς Ῥώμην πρὸς Ἰούλιον περὶ τῶν αὐτοῦ κατηγορουμένων ἀπολογησόμενος. ἐν ᾗ πόλει συνέθετο ἐκείνην τὴν πολυθρύλλητον καὶ θαυμαστὴν ὁμολογίαν τῆς πίστεως, ἥ τις παρὰ Ῥωμαίοις καθ' ἑκάστην κυριακὴν ἐν τῇ πρώτῃ ὥρᾳ τῆς ἀκολουθίας, οὐχ ἧττον ἢ τὰ τοῦ Δαβὶδ ὑπὸ τῶν κληρικῶν μετὰ τοῦ δόξα, καὶ νῦν, δημοσίᾳ ἀναγινώσκεται. ἀνελθὼν οὖν πρὸς Ἰούλιον, ὡς αὐτὸς μαρτυρεῖ ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ περὶ τὸ τέλος, προφέρει παρ' αὐτοῦ τὰ γραφέντα τῷ Ἰουλίῳ πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἐγκαλοῦντας τουτοισὶ τοῖς ῥήμασιν.

Εἰ γὰρ καὶ ὅλως, ὡς φατὲ, γέγονέ τι εἰς αὐτοὺς (τοὺς ἐπισκόπους) ἁμάρτημα, ἔδει κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, καὶ μὴ οὕτως γεγενῆσθαι τὴν κρίσιν. ἔδει γραφῆναι πᾶσιν ἡμῖν, ἵνα οὕτως παρὰ πάντων ὁρισθῇ τὸ δίκαιον. Ἐπίσκοποι γὰρ

ἦσαν

Epiſcopos, & Patriarchas Romanæ Eccleſiæ conſentientes,& ei obedientes,in ſuos thronos reſtituebat,diſſentiētes, & non obedientes proprijs priuabat, & ab ipſis canonicè deponebat. Iudicabat, innocentes declarabat, tranſmutabat, Apoſtolica vtens auctorirate. Durauit autē iſte laudabilis mos à principio in Sponſa Chriſti ſancta Dei Eccleſia immaculatus,& incontaminatus vſq;ad tempora perditiſſimi Photij, qui nunquam in lucem edi, ſed ante tempus,& prorſus perire debuiſſet. Anteà verò quod ſpectat ad membra, & caput myſtici corporis, profunda pax Eccleſiam occupabat. Vndè dignum eſt adnotare,quid de hac ſumma concordia membrorum cum capite Spiritu ſancto afflati Patres per propria opera Orthodoxis ſcriptum reliquerunt; idque obiter: non enim ſperabant aliquando illi admirandi Viri, Dei iudicio,genus Græcorum in hoc infelicitatis prouenturum eſſe,adeo vt ſubijceretur turpiſſimo, impuriſſimo,& ſceleſtiſſimo Mahometo.

Igitur magnus Athanaſius coram vocatus,profectus eſt Romam ad Iulium,reſponſurus de ijs,de quibus accuſabatur. In qua Vrbe cōpoſuit illam diuulgatiſſimam, & celebratiſſimam confeſſionē fidei,quæ apud Romanos ſingulis diebus dominicis in prima hora recitandi officij, nō ſecus atq; Dauidis pſalmi à Clericis cū gloria Patri, publicè recitatur. Igitur profectus ad Iulium, vt ipſe teſtatur in ſecunda Apologia circa finem, profert pro ſe ipſo quæ ſcripſit Iulius ad eos, qui accuſabant, & morabantur Antiochiæ his verbis: Nam ſi,vt dicitis,omninò in culpa fuerūt, oportuit ſecundū Eccleſiaſticum canonem non iſto modo iudicium fieri; oportuit ſcribere omnibus nobis, vt ita ab omnibus, quod iuſtum eſſet,decerneretur. Epiſcopi enim erant, & non vulgares Eccleſiæ, qui iſta patiebantur; ſed quam ipſi Apoſtoli ſuamet opera ad fidem inſtruxerant. Cur igitur, & in primis de Alexandrina ciuitate nihil nobis

ἦσαν οἱ πάσχοντες, καὶ οὐχ αἱ τυχοῦσαι ἐκκλησίαι αἱ πάσχουσαι, ἀλλ' ὧν αὐτοὶ οἱ Ἀπόστολοι δι' ἑαυτῶν καθηγήσαντο. διατὶ δὲ περὶ τῆς Ἀλεξανδρέων πόλεως μάλιστα οὐκ ἐγράφετε ἡμῖν; ἢ ἀγνοεῖτε ὅτι τοῦτο ἔθος ἦν, πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ὁρίζεσθαι τὰ δίκαια; εἰ μὲν οὖν τοιοῦτον ἦν ὑποπτευθὲν εἰς τὸν ἐπίσκοπον τὸν ἐκεῖ, ἔδει πρὸς τὴν ἐνταῦθα ἐκκλησίαν γραφῆναι. Νῦν δὲ οἱ ἡμᾶς μὴ πληροφορήσαντες, πράξαντες δὲ αὐτοὶ ὡς ἠθέλησαν, λοιπὸν καὶ ἡμᾶς οὐ καταγνόντας, βούλονται συμψήφους εἶναι. οὐχ οὕτως αἱ Παύλου διατάξεις, οὐχ οὕτως οἱ πατέρες παραδεδώκασιν. ἄλλος τύπος ἐστὶν οὗτος, καὶ καινὸν τὸ ἐπιτήδευμα. παρακαλῶ, μετὰ προθυμίας ἀνέχεσθε. ὑπὲρ τοῦ κοινῇ συμφέροντός ἐστιν ἃ γράφω. ἃ γὰρ παρειλήφαμεν παρὰ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ταῦτα καὶ ὑμῖν δηλῶ, καὶ οὐκ ἂν ἔγραψα, φανερὰ ἡγούμενος εἶναι ταῦτα παρὰ πᾶσιν, εἰ μὴ τὰ γενόμενα ἡμᾶς ἐτάραξεν.

Ὁ αὐτὸς Ἀθανάσιος περὶ τοῦ ἁγίου Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἀθῷον αὐτὸν ἀποδεικνύων τῶν διαβολῶν, οὕτω γράφων μαρτυρεῖ τὴν ἐξουσίαν τῆς Ῥώμης. Διονυσίου τοῦ ἐπισκόπου μαθόντος περὶ τῶν ἐν Πενταπόλει, καὶ ζήλῳ τῆς εὐσεβείας γράψαντος, καθὰ προεῖπον, κατὰ τῆς αἱρέσεως Σαβελλίου, τὴν πρὸς Εὐφράνορα, καὶ Ἀμμώνιον ἐπιστολὴν, τινὲς τῶν ἀπὸ τῆς ἐκκλησίας ἀδελφῶν, φρονοῦντες μὲν ὀρθῶς, μὴ ἐρωτήσαντες δὲ αὐτὸν, ἵνα παρ' αὐτοῦ μάθωσι πῶς ἔγραψεν, ἀνῆλθον πρὸς τὴν Ῥώμην, καὶ κατειρήκασιν αὐτοῦ παρὰ τῷ ὁμωνύμῳ αὐτοῦ Διονυσίῳ τῷ ἐπισκόπῳ Ῥώμης. κἀκεῖνος ἀκούσας. ἔγραψεν ὁμοῦ κατά τε τῶν τὰ Σαβελλίου δοξαζόντων, καὶ κατὰ τῶν φρονούντων ταῦτα, ἅπερ καὶ Ἄρειος λέγων, ἐξεβλήθη τῆς ἐκκλησίας, ἴσην καὶ κατὰ διάμετρον ἀσέβειαν λέγων εἶναι τήν τε Σαβελλίου, καὶ τὴν τῶν λεγόντων κτίσμα, καὶ ποίημα, καὶ γενητὸν εἶναι τοῦ Θεοῦ λόγον. ἐπέστειλε δὲ καὶ Διονυσίῳ δηλῶσαι περὶ ὧν εἰρήκασι κατ' αὐτοῦ, καὶ ἀντέγραψεν εὐθὺς αὐτὸς; καὶ ἐπέγραψε τὰ βιβλία ἐλέγχου καὶ ἀπολογίας. Ἐνταῦθα τὸ μυσαρὸν ἐργαστήριον τῶν θεομάχων κατανόει, καὶ πῶς αὐτοὶ καθ' ἑαυτῶν τὴν αἰσχύ-

αἰσχύ-

bis ſcribere voluiſtis? An ignari eſtis, hanc conſuetudinem eſſe, vt prlmum nobis ſcribatur, vt hinc quod iuſtum eſt, definiri poſſit? Quapropter, ſi iſtic huiuſmodi ſuſpicio in Epiſcopũ concepta fuerat, id hic ad noſtram Eccleſiam referri oportuit. Nunc autem nos, quos certiores minimè fecerunt, poſtquam iam egerint, quod libuit, ſuffragatores tuæ damnationis, cui non interfuimus, eſſe volunt. Nõ ita ſe habent Pauli ordinationes, non ita Patres docuerunt; alia forma eſt iſta, & nouũ ſtudium eſt. Obſecro vos cum alacritate audite, pro publico bono iſta ſcribo. Quę enim accepimus à B. Petro Apoſtolo, ea vobis ſignifico, non ſcripturus alioquin quæ nota apud omnes eſſe arbitror, niſi facta ipſa nos conturbaſſent.

Idem Athanaſius ſcribens de Dionyſio Epiſcopo Alexandrino, & innocentem eum oſtendens ab hæreſi Arianorum, ſic circa finem teſtatur poteſtatem Romanæ Eccleſiæ. Cum Dionyſius Epiſcopus certior factus de Pentapolitanis, zelo religionis epiſtolam, quemadmodũ dixi, contra hæreſim Sabellij ad Ammonium, & Euphranorem ſcripſiſſet, quidam ex Eccleſiæ fratribus, rectè quidẽ ſentientes, ſed non interrogantes eum, vt ab eo ſcirent, quomodo ſcripſerit, Romam aſcenderũt, ibiq; eum apud Dionyſium eiuſdem nominis Romanum Præſulem accuſauerunt. Ille verò, re intellecta, ſcripſit ſimul & contra Sabellij ſectatores, & contra eos, qui ſapiunt ea, propter quæ Arius ab Eccleſia eiectus fuit, æqualem aſſerens impietatem eſſe, & è diametro hæreſim Sabellij, & hæreſim eorũ, qui aiunt, creaturam, & opus, & factum eſſe Dei Verbum. Miſit vero & Dionyſio Alexandrino ſignificans ea, de quibus eum accuſarunt. Et reſcripſit ſtatim ipſe, & titulo inſcripſit libros Elenchi, & apologiæ. Hic ſceleratam officinam Chriſti rebellium perſpicias, atq; intelligas, & quomodo ipſi contra ſe ipſos infamiam excitarunt. Cum enim

αἰσχύνην ἐκίνησαν, Διονυσίου γὰρ τοῦ ἐπισκόπου Ῥώμης γράψαντος, καὶ κατὰ τῶν λεγόντων κτίσμα καὶ ποίημα τὸν υἱὸν τοῦ Θεοῦ, δείκνυται μὴ νῦν πρῶτον, ἀλλ' ἔκπαλαι παρὰ πάντων ἀναθεματισθεῖσα τῶν χριστομάχων Ἀρειανῶν ἡ αἵρεσις. ἐπειδὴ Διονυσίου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρείας ἀπολογουμένου περὶ ἧς ἔγραψεν ἐπιστολῆς, φαίνεται καὶ αὐτὸς μήτε οὕτω φρονήσας, ὡς αὐτοὶ λέγουσι, μήτε τὴν Ἀρείου ὅλως κακοδοξίαν ἐσχηκώς. καὶ ἀρκεῖ μὲν εἰς τελείαν κατάγνωσιν τῶν Ἀρειανῶν, καὶ εἰς ἀπόδειξιν τῆς συκοφαντίας αὐτῶν, τὸ καὶ μόνον ἀπολογήσασθαι τὸν Διονύσιον, καὶ περὶ ὧν οὗτοι τεθρυλλήκασιν. οὐ γὰρ ὡς φιλονεικῶν ἀντέγραψεν, ἀλλ' ἀπολογούμενος περὶ ὧν ὑπωπτεύθη. ὁ δὲ ἀπολογούμενος περὶ ὧν κατηγορήθη, τί ἕτερον ποιεῖ, ἢ λύει μὲν πᾶν ἔγκλημα ὑποπτευθὲν κατ' αὐτοῦ. ἐλέγχει δὲ καὶ ἐν τούτῳ συκοφαντοῦντας τοὺς Ἀρειομανίτας.

ΕΡΜΙΝΙΑ

ΑΠΟ ΤΟΥ ΡΩΜΑΪΚΟΥ, ΤΗΣ ΠΡΟΣ ΙΟΥΛΙΟΝ Ἐπιστολῆς, περὶ τῆς μετανοίας Οὐρσακίου, καὶ Οὐάλεντος.

κυρίῳ μακαριωτάτῳ Πάπᾳ Ἰουλίῳ, Οὐρσάκιος; καὶ Οὐάλης.

Ἐκ τῆς δευτέρας ἀπολογίας τοῦ ἁγίου Ἀθανασίου.

Ἐπειδὴ συνέστηκεν ἡμᾶς πρὸ τούτου, πολλά τε καὶ δεινὰ περὶ Ἀθανασίου τοῦ ἐπισκόπου διὰ γραμμάτων ὑποβεβληκέναι, γράμμασί τε τῆς σῆς χρηστότητος μεθοδευθέντες, τοῦ πράγματος χάριν, περὶ οὗ ἐδηλώσαμεν, οὐκ ἠδυνήθημεν λόγον ἀποδοῦναι, ὁμολογοῦμεν παρὰ τῇ σῇ χρηστότητι, παρόντων τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν πρεσβυτέρων, ὅτι πάντα τὰ πρὸ τούτου ἐλθέντα εἰς ἀκοὰς ὑμῶν περὶ τοῦ ὀνόματος τοῦ προειρημένου Ἀθανασίου, ψευδῆ καὶ πλαστά ἐστι, πάσῃ τε δυνάμει ἀλλότρια αὐτοῦ τυγχάνει. διό

Dionyſius Romanus Epiſcopus ſcripſerit etiam contra eos, qui aſſerunt facturam & opus Filium Dei, oſtenditur, hæreſim Chriſti rebellium Arianorum non modo primũ, ſed iam olim ab omnibus damnatam fuiſſe. Deindè cum Dionyſius Alexandrinus reſpondeat de ea epiſtola, quam ſcripſerat; apparet & ipſum neque ita ſenſiſſe, vt ipſi fatentur, neque omnino hæreſim Arij habuiſſe. Et ſufficit quidem ad perfectam condemnationem Arianorum, & ad probandas calumnias ipſorum, quas ipſi diuulgarunt, vel ſolum quod reſponderit Dionyſius. Non enim rixandi animo, ſed ſui purgandi reſcripſit. Certè qui ſuam innocentiam purgat, quid aliud facit, quam quod crimen diluit, & Arianos ſicophantas oſtendit?

EPISTOLA

AD IVLIVM ROMANO SERMONE tranſlata.

Domino beatiſſimo Papæ Iulio Vrſacius, & Valens.

QVandoquidem ſatis conſtat nos, ſuperioribus temporibus multa, & grauia de Athanaſio criminatos fuiſſe; & tuæ humanitatis literis admonitos, vt crimina probaremus, nunquam earum rerum documenta afferre potuiſſe; ideò confitemur tuæ humanitati coram vniuerſis noſtris fratribus Presbyteris, omnia quæ ante hac ad veſtras aures de Athanaſio perlata fuere, falſa, & ficta eſſe, & omnibus modis ab eo aliena. Ac proindè recipimus eius communio-

τε τοῦτο ἡδέως ἀντιποιούμεθα τῆς κοινωνίας τοῦ προειρημένου Ἀθανασίου, μάλιστα ὅτι ἡ θεοσέβειά σου, κατὰ τὴν ἔμφυτον αὐτοῦ καλοκαγαθίαν, τῇ πλάνῃ ἡμῶν κατηξίωσε συγγνώμην δοῦναι. ὁμολογοῦμεν δὲ καὶ τοῦτο, ὅτι ἄν ποτε ἡμᾶς οἱ ἀνατολικοὶ θελήσωσιν, ἢ καὶ αὐτὸς Εὐσέβιος κακοτρόπως περὶ τούτου εἰς κρίσιν καλέσαι, μὴ ἀπέρχεσθαι παρὰ γνώμην τῆς σῆς διαθέσεως. τὸν δὲ αἱρετικὸν Ἄρειον καὶ τοὺς ὑπερασπίζοντας αὐτοῦ, τοὺς λέγοντας ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱός, καὶ ὅτι ἐκ τοῦ μὴ ὄντος ὁ υἱός ἐστι, καὶ τοὺς ἀρνουμένους τὸν Χριστὸν θεὸν εἶναι Θεοῦ υἱὸν πρὸ αἰώνων, καθὼς καὶ ἐν τῷ προτέρῳ λιβέλλῳ ἑαυτῶν ἐν τῇ Μεδιολάνῳ ἐπιδεδώκαμεν, καὶ νῦν καὶ ἀεὶ ἀναθεματίζομεν. ταῦτα δὲ τῇ χειρὶ ἑαυτῶν γράψαντες ὁμολογοῦμεν πάλιν, ὅτι τὴν Ἀρειανὴν αἵρεσιν καθὰ προείπομεν, καὶ τοὺς ταύτης αὐθέντας κατεκρίναμεν εἰς τὸν αἰῶνα. Ἐγὼ Οὐρσάκιος τῇ ὁμολογίᾳ μου ταύτῃ παρὼν ὑπέγραψα, ὁμοίως καὶ Οὐάλης.

Καὶ κατωτέρω μετὰ πολλὰ ἐν τῇ αὐτῇ ἀπολογίᾳ Ἀθανάσιος ἐπιφέρει· τίς τὰ τοιαῦτα καὶ τὰ τοσαῦτα θεωρήσας οὐκ ἂν εἴποι, ὅτι καὶ Οὐάλης καὶ Οὐρσάκιος εἰκότως κατέγνωσαν αὐτῶν. καὶ μεταγινώσκοντες τοιαῦτα καθ' ἑαυτῶν ἔγραψαν, μᾶλλον ἑλόμενοι πρὸς ὀλίγον αἰσχυνθῆναι, ἢ αἰωνίως τὴν τῶν συκοφαντῶν ὑπομεῖναι τιμωρίαν.

Τοῦτ' αὐτὸ καὶ ὁ ἅγιος Ἐπιφάνιος μαρτυρεῖ ἐν τῇ. ξή. αἱρέσει φάσκων. Οὐρσάκιος καὶ Οὐάλης μετὰ λιβέλλων προσηθόντες τῷ μακαρίτῃ Ἰουλίῳ ἐπισκόπῳ Ῥώμης ὑπεραπολογούμενοι τοῦ αὐτῶν σφάλματος, ὅτι ἐσυκοφαντήσαμεν τὸν πάπαν Ἀθανάσιον, ἀλλὰ δέξαι ἡμᾶς εἰς κοινωνίαν, καὶ εἰς μετάνοιαν.

Τὴν αὐτὴν ἱστορίαν διηγεῖται ἐν τῷ β. βιβλίῳ κεφ. κδ. ὁ Σωκράτης. ταῦτα γνόντες Οὐρσάκιος, καὶ Οὐάλης, οἱ περὶ τὸ ἀρειανὸν δόγμα διάπυροι σπουδάζοντες καταγνόντες τότε τῆς προλαβούσης σπουδῆς ἐπὶ τὴν Ῥώμην ἀνῆλθον, βιβλίον μετανοίας τῷ ἐπισκόπῳ Ἰουλίῳ ἐπιδόντες. τῷ τε ὁμουσίῳ συ-

νέθεν-

nem, maximè quia tua in Deum pietas veniam, secundum genuinam suam probitatem, nostro errore impartiri dignata est. Quin & hoc promittimus, nunquam, si aliquando Orientales, atque adeo ipse Eusebius velit, malitiose de ea re in iudicium vocare, nos citra tuam sententiam non eò abituros. Porro hæreticum Arrium, eiusq. propugnatores, qui dicunt, erat quando non erat Filius, aut eum ex non ente ad essentiam emisisse, aut qui neget, Christum Deum esse Dei Filium ante sæcula, quemadmodum in priori libello nostro Mediolani edidimus, & nunc, & semper anathemate damnamus, nostraq; manu denuò protestamur, nos Arianam hæresim, eiusq. auctores in æternum damnare. Ego Vrsacius cum præsens meæ Confessioni interessem, subscripsi. Similiter & Valens.

Et post multa longè infra in eadem apologia, Athanasius infert: Quis, istis conspectis non pronunciauerit, Valentem, & Vrsacium meritò semetipsos improbasse? & ex pœnitentia culpam suam scriptis confessos esse? maluisseq; aliquantisper pudefieri, quam in æternum sycophantiarum pœnas luere?

Eandem historiam refert S. Epiphanius in 68. hæresi, dicens: Vrsacius, & Valens cum libellis accedentes ad beatæ memoriæ Iulium Episcopum Romanum, de suo errore respondentes, quod calumniati sumus Papam Athanasium, tù verò nos ad communionem, & pœnitentiam suscipe.

Idem narrat Socrates lib. 2. cap. 24. iuxta diuisionem Græcorum, & 19. iuxta Latinorum: Quæ cum Vrsacius, & Valens, qui anteà præ magno desiderio erga Arij dogma exarserant, intellexissent, priore suo studio abse ipsis condemnato, Romam veniunt, pœnitentiæ libello, Episcopo Iulio tradito consubstantiali assentiuntur, ac literis

ad

νέθεντο. καὶ γράμματα πρὸς Ἀθανάσιον διαπεμψόμενοι, κοινωνεῖν αὐτῷ τὸ λοιπὸν ὡμολόγησαν.

Ὁ Θεοδώρητος ἐν τῷ β. λόγῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας κεφαλαίῳ. ις. ἐν τῷ διαλόγῳ Κωνσταντίου βασιλέως καὶ Λιβερίου τοῦ Πάπα τὴν αὐτὴν ἱστορίαν περὶ Οὐρσακίου καὶ Οὐάλεντος οὕτω διέξεισι. πέντε μόνοι ἔκριναν τῶν συμπλευσάντων αὐτῷ ἐν τῷ Μαρεώτῃ, οὓς ἀπέστειλαν μετὰ τοῦ ἐγκαλουμένου συστήσασθαι κατ' αὐτοῦ ὑπομνήματα. ἀπὸ τούτων τοίνυν τῶν ἀποσταλέντων οἱ δύο τεθνήκασι, Θεόγνιος, καὶ Θεόδωρος. οἱ δὲ λοιποὶ τρεῖς ζῶσι, τουτέστι Μάρις, καὶ Οὐάλης, καὶ Οὐρσάκιος. ἀπὸ τούτων τῶν ἀποσταλέντων μετὰ Σαρδικὴν τοῦ πράγματος τούτου ἕνεκα συνεκροτεῖτο ψῆφος, οἱ ἐν τῇ συνόδῳ βιβλία ἐπιδεδώκασι, συγγνώμην αἰτοῦντες, ἐφ' οἷς ἐν τῷ Μαρεώτῃ μετὰ συκοφαντίαν ἐκ μονομεροῦς συνέθηκαν κατ' Ἀθανασίου ὑπομνήματα, ἅτινα βιβλία αὐτῶν νῦν ἔχομεν μετὰ χεῖρας. τίνι τούτων δεῖ πείθεσθαι ἡμᾶς, βασιλεῦ, κοινωνεῖν; τοῖς πρότερον κατεψηφισαμένοις, καὶ ἐκ δευτέρου συγγνώμην αἰτήσασιν, ἢ τοῖς νῦν τούτων καταψηφισαμένοις.

Καὶ σημείωσαι ὅτι ὁ μὲν βασιλεὺς Κωνστάντιος γινώσκων τὰς ψήφους τῶν ἄλλων μετὰ Ἀθανασίου μηδεμίαν ἰσχὺν ἔχειν, ἐβούλετο ἵνα ὁ Λιβέριος τὸν Ἀθανάσιον ὡς ὑπεύθυνον καταδικάσῃ. τοῦ δὲ μὴ βουλομένου, ἐξορίαν αὐτῷ τυραννικῶς κατεψηφίσατο.

Περὶ τῆς προθεσμίας τῶν συνόδων.

ΕΝ τῇ αὐτῇ ἀπολογίᾳ τὸν λόγον ποιούμενος Ἀθανάσιος περὶ Ἰουλίου τοῦ Πάπα, οὕτως εἰσάγει αὐτὸν φθεγγόμενον. ἀλλ' ἴσως ἡ προθεσμία ἐνεπόδισε. Γράψαντες γὰρ ἐμέμψασθε, ὅτι στενὴν τὴν προθεσμίαν τῆς συνόδου ὡρισάμεθα. ἀλλὰ καὶ τοῦτο, ἀγαπητοί, πρόφασίς ἐστιν.

Σω-

ad Athanasium missis, de cętero cum illo se communicaturos fatentur.

Eandem historiam complectitur Theodoretus in 2. oratione historiæ Ecclesiasticæ cap.16. referens dialogum Imperatoris Constantij, & Liberij Papę. Quinq;tantūmodo, qui cū eo vnà nauigarant in Mareote, iudiciū de eo fecerunt, quos quidē aduersarij eius eò miserant, vt contrà eū reum factum commentarios contexerent. Atq;ex istis, qui missi erant, duo exierunt è vita, Theognis nimirum, & Theodorus; reliqui tres, hoc est Mares, Valēs, & Vrsacius, etiā nunc supersunt. A quibus ad eam rē missis, in Concilio Sardicensi sententia de hac controuersia lata est. Qui etiā in eodem Conc. libellos supplices dederunt, postularūtq. veniā pro eo, quod cōmentarios vnius partis suffragijs per calūniam contra Athanasiū in Mareote confecerāt. Quos libellos iam habemus in manibus. Vtris istorū, Imperator, nobis credendum, communicandumq. est? Illis ne, qui primo eos condemnarint, secundo autem veniam petierint, an his, quorum iam sint condemnati sententijs?

Et nota, quod Imperator quidē Constantius aliorū suffragia contra Athanasium sciens nullam vim habere, volebat, vt Liberius Athanasium tanquam reum condemnaret; Illo nolente, exilio ipsum tyrannicè mulctauit.

De Præfinito tempore indicendi Concilia, quod spectat ad Romanum Pontificem.

IN eadem Apologia verba faciens Athanasius de Iulio pontifice, sic eum introducit loquentem. Sed fortassis præstitutum tempus prohibuit; scripsistis enim, & conquesti estis quod angustum tempus Concilij præfiniuimus; Verum & hoc, charissimi, excusatio est.

So-

Σωκράτης ἐν τῷ β. βιβλίῳ, κεφ. κ. προβάλλονται δὲ οἱ μὲν ἀσθένειαν τοῦ σώματος. ἄλλοι δὲ τὸ στενὸν τῆς προθεσμίας ἐμέμφοντο, τὴν αἰτίαν ἐπὶ Ἰούλιον τὸν ἐπίσκοπον Ῥώμης ἀναφέροντες, καίτοι ἐνιαυτοῦ καὶ ἓξ μηνῶν διαγενομένων, ἀφ᾽ οὗ ἥ τε σύνοδος ἐκεκήρυκτο, καὶ οἱ περὶ Ἀθανάσιον ἐν τῇ Ῥώμῃ διέτριβον, τὴν σύνοδον ἐπιμένοντες.

Καὶ ἐν τῇ οἰκουμενικῇ δευτέρᾳ συνόδῳ, τῇ συγκροτηθείσῃ ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, ἐκεῖνοι οἱ θεῖοι πατέρες, ἐν οἷς ἦν ὁ Θεολόγος Γρηγόριος, ὁ Μελέτιος τῆς Ἀντιοχείας, ὁ Ἀμφιλόχιος τοῦ Ἰκονίου, ὁ Γρηγόριος Νύσσης, καὶ Πέτρος οἱ ἀδελφοὶ τοῦ μεγάλου Βασιλείου, καὶ ἄλλοι πλεῖστοι ἀξιάγαστοι ἄνδρες κληθέντες ὑπὸ Δαμάσου τοῦ ἐπισκόπου Ῥώμης καὶ τῶν δυτικῶν ἀρχιερέων, εἰς τὴν ἐν Ῥώμῃ σύνοδον. οὕτω μετὰ πάσης εὐγνωμοσύνης καὶ φρονήσεως ἀποκρίνονται, καὶ ἐπιγινώσκουσι τὴν προθεσμίαν τῆς συνόδου, ἣν ὥρισεν ὁ Πάπας. ἄξιον δὲ καὶ αὐτῶν τῆς ἐπιστολῆς τῶν ῥημάτων μνησθῆναι. ἥνπερ ὁ Θεοδώρητος ἐν τῷ ε. βιβλίῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας κεφ. κ. αὐτολεξεὶ τέθηκεν, ἔχει δὲ οὕτως. Κυρίοις τιμιωτάτοις, καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Δαμάσῳ, Ἀμβροσίῳ, Βρίτωνι, Οὐαλεριανῷ, Ἀσχολίῳ, Ἀνεμίῳ, Βασιλείῳ, καὶ τοῖς λοιποῖς ἁγίοις ἐπισκόποις συνεληλυθόσιν ἐν τῇ μεγάλῃ πόλει Ῥώμῃ, ἡ ἁγία σύνοδος τῶν ὀρθοδόξων ἐπισκόπων τῶν συνεληλυθότων ἐν τῇ μεγάλῃ πόλει Κωνσταντινουπόλει ἐν κυρίῳ χαίρειν. μετά τινα οὕτω φασίν· ἦν μὲν οὖν, ὅπερ εἰρήκαμεν, ἀναγκαῖον, πλείονα ἡμᾶς προσασχοληθῆναι χρόνον. ἐπειδὴ μέντοι τὴν ἀδελφικὴν περὶ ἡμᾶς ἀγάπην ἐπιδεικνύμενοι, σύνοδον ἐπὶ τῆς Ῥώμης, Θεοῦ βουλήσει συγκροτοῦντες, καὶ ἡμᾶς ὡς οἰκεῖα μέλη προσεκαλέσασθε, διὰ τῶν τοῦ θεοφιλεστάτου βασιλέως γραμμάτων, ἵν᾽ ἐπειδὴ τότε, τὰς θλίψεις μόνοι κατεδικάσθημεν, νῦν ἐν τῇ τῶν αὐτοκρατόρων περὶ τὴν εὐσέβειαν συμφωνίᾳ, μὴ χωρὶς ἡμῶν βασιλεύσητε, ἀλλὰ καὶ ἡμεῖς ὑμῖν κατὰ τὴν ἀποστολικὴν φωνὴν συμβασιλεύσωμεν, εὐχὴ μὲν ἦν ἡμῖν, εἰ δυνατὸν, ἅπασιν

ἀθρόως

Socrates lib.2.c.20. Alij verò corporis infirmitatē causabantur; Alij de tēporis præstituti quærebantur angustia, culpamq;illius rei in Iulium Episcopū Romanum conferebant. Cum tamen ex eo tēpore,quo tum Concilium indictum fuerat, tum Athanasius Concilium expectans Romæ commoratus erat, annus,& sex menses præterijssent.

In 2. Synodo Oecumenica, quæ celebrata est Constantinopoli, tēpore Theodosij Imperatoris,illi diuini Patres,inter quos erat Gregorius Theologus,Meletius Antistes Antiochenus, Amphilochius Præsul Iconiēsis,Gregorius Nyssenus, & Petrus fratres Basilij Magni,& multi alij admirandi Viri vocati à Damaso Episcopo Romano,& ab Occidentalibus Pontificibus ad Romanam Synodū,sic cū omni benignitate, & prudentia respondent, & agnoscunt pręstitutū tempus Concilij,quod determinauit Pontifex. Dignum autē est etiam ipsorum verborum Epistolę cōmemorationē facere,quam Theodoretus in 5.lib. Ecclesiast. hist.c.8. ad verbū posuit. ita verò se habēt:Dominis honorandissimis,& cū primis reuerendis Fratribus,& Collegis, Damaso, Ambrosio , Britoni, Valeriano, Ascholio, Auemio, Basilio, & cęteris sanctis Episcopis in celebri Vrbe Roma conuocatis Sancta Synodus Orthodoxorū Episcoporum in ampla Vrbe Constantinopoli coactorum in Domino salutem. Post aliquot periodos sic fatetur: Itaque erat,vt diximus, pernecessarium, vt in his rebus ritè cōstituendis,plus tēporis collocaremus. Iam verò quoniā vos, quo fraternam vestram erga nos charitatē declararetis, Concilio,Dei voluntate ac nutu,Romę coacto,nos,veluti mēbra propria, per Imperatoris Sanctissimi literas accersiuistis, ne cū nos soli iam anteà rçs acerbas subire coacti essemus,nunc,Imperatoribus de pietate consentientibus, sine nobis vos regnaretis,sed potius, vti loquitur Apostolus, vt nos vobiscum corregnaremus, est certè nobis in

γὰρ τὰ αὐτὰ ταῦτα καὶ οἱ κοσμικοὶ νόμοι φυλάττουσιν ἐν ταῖς πόλεσιν αὐτῶν. ἄλλαι δὲ πρῶται πόλεις, ἃς ὑμῖν γεγραμμένας ἔν τινι τόμῳ πέμπομεν, παρὰ τῶν ἁγίων Ἀποστόλων, καὶ παρὰ τοῦ μακαρίου Κλήμεντος, εἴτε παρ᾽ ἡμῶν προστεύοντας κήρυκας ἔλαβον. αὕτη δὲ ἡ ἁγία Ῥωμαϊκὴ καὶ ἀποστολικὴ ἐκκλησία οὐ παρὰ τῶν ἀποστόλων, ἀλλὰ παρ᾽ αὐτοῦ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν ἔλαβε τὸ πρωτεῖον, καὶ τὴν ὑπεροχὴν τῆς ἐξουσίας ἐπὶ πάσας τὰς ἐκκλησίας, καὶ ὅλον τοῦ χριστιανοῦ λαοῦ τὸ ποίμνιον, τὸν αὐτὸν τρόπον καθ᾽ ὃν αὐτὸς τῷ μακαρίῳ ἀποστόλῳ Πέτρῳ εἶπεν, σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ, σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. προσετέθη δὲ ἡ ἑτερεία ἐν τῇ αὐτῇ τῶν Ῥωμαίων πόλει τοῦ μακαριωτάτου ἀποστόλου Παύλου, τοῦ σκεύους τῆς ἐκλογῆς, ὃς τῇ αὐτῇ ἡμέρᾳ, τῷ αὐτῷ καιρῷ, ἐνδόξῳ θανάτῳ μετὰ Πέτρου ἐπὶ Νέρωνος τοῦ βασιλέως ἀγωνισάμενος ἐστέφθη. καὶ ἀμφότεροι τὴν ἁγίαν Ῥωμαϊκὴν ἐκκλησίαν καθιέρωσαν, καὶ πασῶν τῶν ἄλλων πόλεων τῶν καθ᾽ ὅλην τὴν οἰκουμένην, τῇ ἑαυτῶν παρουσίᾳ καὶ τῷ τιμίῳ θριάμβῳ ἐκείνην προέκριναν. κἂν δὲ ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἐκτενεῖς πρὸς τὸν Θεὸν δεήσεις γίνωνται παρὰ τῶν ἁγίων, ἀλλ᾽ οὖν ὁ μακαριώτατος ἀπόστολος Παῦλος ἰδίῳ χειρογράφῳ Ῥωμαίοις ἐπαγγελλόμενος λέγει τοῖς ῥήμασι τούτοις. μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου.

Πρῶτος λοιπὸν θρόνος ἐστὶ τῇ οὐρανόθεν εὐεργεσίᾳ ὁ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ὃν ὡς ἤδη προείπομεν, οἱ μακαριώτατοι Πέτρος καὶ Παῦλος τῷ ἰδίῳ καθιέρωσαν μαρτυρίῳ. καὶ οὕτως ἡ Ῥώμη πρότερον οὖσα τῇ τοῦ κακοδαίμονος τεχνουργίᾳ μήτηρ, καὶ τροφὸς πάσης δυσσεβείας, ἀποτιναχθέντος τοῦ

bus, aliæ autem primæ ciuitates, quas vobis conscriptas in quodã tomo mittimus, à Sanctis Apostolis, & à Beato Clemente siue à nobis Primates, prædicatores acceperunt. Hæc verò Sacrosancta Romana, & Apostolica Ecclesia non ab Apostolis, sed ab ipso Domino Saluatore nostro primatum obtinuit, & eminentiam potestatis super vniuersas Ecclesias, & totum Christiani populi gregem assequuta est, Sic vt ipse Beato Petro Apostolo dixit, tu es Petrus, & super hanc Petram ædificabo Ecclesiam meam, & portæ inferi non præualebunt aduersus eam, & tibi dabo claues regni cœlorum, & quæcumque ligaueris super terram, erunt ligata & in cœlo, & quæcumque solueris super terram, erunt soluta & in cœlo. Adhibita est etiam societas in eadem Romana Vrbe beatissimi Apostoli Pauli, vasis electionis, qui vno die, vno quoque tempore gloriosa morte cum Petro sub Principe Nerone agonizans coronatus est. Et ambo Sanctam Romanam Ecclesiam consecrarunt, alijsque omnibus Vrbibus in vniuerso mundo eam sua pæsentia, atque venerando triumpho prætulerunt. Et licet pro omnibus assidua apud Deum omnium Sanctorum effundatur oratio, his tamen verbis Paulus beatissimus Apostolus Romanis proprio chirographo pollicetur dicens. Testis enim est mihi Deus, cui seruio in spiritu meo, in Euangelio filij eius, quod sine intermissione memoriam vestri facio semper in orationibus meis.

Prima ergo sedes est, cœlesti beneficio Romanæ Ecclesiæ quam vt memoratũ est, beatissimi Petrus, & Paulus suo martyrio cõsecrarunt. Sic Roma, quæ prius erat Cacodæmonis artificio omnium errorum Mater, & altrix, excussis tenebris, & varijs superstitionum ritibus

abie-

σκότους, καὶ τῶν ματαίων δυσιδαιμονιῶν τοῦ σεβάσματος ἀποῤῥιφθέντος, γέγονεν ἀνατείλαντος τοῦ ἡλίου τῆς δικαιοσύνης, τῶν υἱῶν τοῦ Θεοῦ πολύπαις γεννήτρια.

Δεύτερος δὲ θρόνος ἐστὶν ὁ τῆς Ἀλεξανδρείας, ὅς τις, ὡς ἀπὸ τοῦ μακαρίου Πέτρου, ὑπὸ Μάρκου τοῦ μαθητοῦ αὐτοῦ, καὶ εὐαγγελιστοῦ καθιέρωται. οὗτος γὰρ σταλεὶς ὑπὸ Πέτρου πρῶτος ἐν Αἰγύπτῳ τὸν λόγον τῆς ἀληθείας ἐκήρυξε, καὶ ἔνδοξον ὑπέστη μαρτύριον. ὃν ὁ αἰδέσιμος διεδέξατο Ἀνιανὸς, εἶτα Ἀβίλιος.

Τρίτος δὲ θρόνος ὁ τῆς Ἀντιοχείας, ὃς καὶ αὐτὸς τίμιός ἐστι διὰ τὸν αὐτὸν μακάριον ἀπόστολον Πέτρον. ἐκεῖ γὰρ πρὸ τοῦ ἐλθεῖν εἰς τὴν Ῥώμην κατῴκησε, καὶ Ζακχαῖον, μεθ᾽ ὃν Εὐόδιον εἶτα Ἰγνάτιον κατέστησεν ἐπίσκοπον· κἀκεῖ πρῶτον τοῦ νέου ἔθνους τῶν χριστιανῶν τὸ ὄνομα ἐβλάστησε. τὰς δὲ λοιπὰς ἐκκλησίας, ὡς προείπομεν, ἔν τινι τόμῳ γεγραμμένας τὸ μῆκος τῆς ἐπιστολῆς φεύγοντες, ὑμῖν πέμπομεν. διὰ τοῦτο γὰρ καὶ οἱ μακάριοι ἀπόστολοι ὁμοφρόνως ἐδογμάτισαν, ἵν᾽ οἱ καθ᾽ ἕκαστον ἔθνος ἐπίσκοποι γινώσκωσι τίς αὐτῶν πρῶτος ἐστίν, ὅπως ἐκεῖνος ἔχῃ τὴν περισσοτέραν αὐτῶν φροντίδα. ἦν γάρ τις καὶ ἐν τοῖς μακαρίοις ἀποστόλοις διάκρισις, εἰ γὰρ καὶ πάντες ἦσαν ἴσοι ἀπόστολοι, ὅμως παρὰ τοῦ Κυρίου τῷ Πέτρῳ δέδοται. καὶ αὐτοὶ ἐν αὐτοῖς ἀλλήλοις τοῦτο ἠθέλησαν, ὅπως τῶν λοιπῶν ἁπάντων προέχοι ἀποστόλων, καὶ Κηφᾶς εἴη, οἱονεὶ τὴν κεφαλὴν ἔχοι καὶ τὴν ἀρχὴν τῆς ἀποστολικῆς ἀξίας, ὃς τοῦτ᾽ αὐτὸ φυλάττεσθαι τοῖς ἑαυτοῦ διαδόχοις καὶ οἱ λοιποὶ ἀπόστολοι τοῖς ἐπισκόποις κρατεῖν παρέδωκαν, καὶ τοῦτο οὐκ ἐν τῇ νέᾳ μόνον διαθήκῃ νενομοθέτηται, ἀλλ᾽ ἦν ἔτι κἀν τῇ παλαιᾷ. ὅθεν γέγραπται, Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, δηλαδὴ πρῶτοι ἐν αὐτοῖς ἦσαν. καὶ κατωτέρω. εἰ δέ τινες παρ᾽ ὑμῖν ὑποθέσεις βαρύτεραι φανῶσιν, ἀναφέρετε ταύτας ὡς εἰς κεφαλὴν, εἰς τὴν ἀκρότητα τοῦ θρόνου τούτου, ἵνα συμπερανθῶσιν ἀποστολικῇ κρίσει. ὅτι γὰρ τοῦτο θέλει ὁ Κύριος καὶ οὕτω διετάξα-

abiectis, filiorum Dei, exorto Sole iustitiæ, facta est copiosa propagatrix.

Secunda Sedes apud Alexandriam Beati Petri nomine à Marco eius discipulo, atque Euangelista consecrata est, quia ipse & in Aegypto primum verbum veritatis directus à Petro, prædicauit, & gloriosum suscepit martyrium. Cui venerabilis successit Anianus, & post hunc Abilius.

Tertia autem sedes apud Antiochiam eiusdem, (idest beati Petri) Apostoli nomine habetur honorabilis, quia illic priusquam Romam veniret, habitauit, & Zacchæum, posteà Euodium, post quem Ignatium Episcopum constituit, & illic primùm nomen Christianorum nouellæ gentis exortum est. Reliquas verò Ecclesias, vt prædiximus in quodam tomo, prolixitatem vitantes epistolæ, vobis conscriptas direximus. Inde namque & beati Apostoli inter se statuerunt, vt Episcopi singularum scirent gentium, quis inter eos primus esset, quatenus ad eum potior eorum solicitudo pertineret. Nam & inter beatos Apostolos, quædam fuit discretio, & licet omnes pares essent Apostoli, Petro tamen à Domino est concessum, & ipsi inter se id ipsum voluerunt, vt reliquis omnibus præesset Apostolis, & Cephas, idest caput, & principium teneret Apostolatus, qui & eandem formam suis successoribus, & reliqui Apostoli Episcopis tenendam tradiderunt. Et non solum hoc in nouo testamento est constitutum, sed etiam in veteri fuit. Vnde scriptum est, Moyses, & Aaron in sacerdotibus eius, idest, primi inter eos fuerunt. Et paulo post. Si quę verò causę difficiliores inter vos ortę fuerint, ad huius sanctæ Sedis apicem, eas quasi ad caput referre, vt Apostolico terminentur iudicio, quia sic Dominum velle ab eoque ita con-

το, φανερόν ἐστιν ἐκ τῶν προρηθεισῶν μαρτυριῶν. οὗτος δὲ ὁ ἀποστολικὸς θρόνος κατέστη στρόφιγξ καὶ κεφαλὴ, ὡς προλέλεκται, πασῶν τῶν ἐκκλησιῶν παρὰ τοῦ Κυρίου, καὶ οὐ παρ' ἄλλου τινός. καὶ καθὼς ἡ θύρα τῷ στρόφιγγι κυβερνᾶται, οὕτω τῇ ἐξουσίᾳ τοῦ ἁγίου τούτου θρόνου πᾶσαι αἱ ἐκκλησίαι κυβερνῶνται.

Ταῦτα παρ' Ανακλήτου Πάπα γέγραπται διακοσίοις πεντήκοντα ἐνιαυτοῖς πρὸ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου. ὥστε ψεύδονται οἱ λέγοντες τοὺς πατέρας δεδωκέναι τῇ Ρωμαϊκῇ ἐκκλησίᾳ τὸ πρωτεῖον, διὰ τὸ εἶναι τὴν πρεσβυτέραν Ρώμην τῶν ἄλλων βασίλισσαν.

Αλλοι δὲ φασὶν ὡς ὁ Νεῖλος, ὅτι οἱ βασιλεῖς θεσπίζουσι τὸν Ρώμης πρῶτον εἶναι τῶν ἱερέων, ἀλλ' οὐχ ὡς νέον τι θεσπίζουσι τοῦτο γὰρ παρὰ τοῦ Χριστοῦ λαβὼν ἔχει ὁ πάπας ἀλλὰ τοῦτο γέγονε διὰ τὸν τῦφον τῶν πατριαρχῶν τῆς πόλεως οἵ τινες ἑαυτοῖς ἥρπαζον τὴν προσηγορίαν τοῦ λέγεσθαι οἰκουμενικοὺς καὶ ἐξισάζειν ἑαυτοὺς τῷ πάπᾳ.

Ερωτητέον οὖν τίνες εἰσὶν οἱ πατέρες οἱ δεδωκότες τῷ Πάπᾳ τὰ τοιαῦτα προνόμια; φήσουσιν οἱ τῆς ἐν Νικαίᾳ συνόδου. ἀλλ' ὁ κανὼν φησὶ, τὰ ἀρχαῖα ἔθη κρατείτω κατὰ τοὺς γραικοὺς ὥστε παλαιοτέρους πατέρας δεκτέον τοὺς δεδωκότας ἔπειτα δὲ εἰ πρὸ τῆς ἐν Νικαίᾳ συνόδου ὁ Πάπας οὐκ εἶχε τὸ πρωτεῖον, τίνι λόγῳ τινὲς κατηγόρησαν Διονυσίου πατριάρχου Αλεξανδρείας παρὰ τῷ ὁμωνύμῳ Διονυσίῳ τῷ Ρώμης πρὸ ἑξήκοντα ἐτῶν τῆς ἐν Νικαίᾳ συνόδου. καὶ ὁ μὲν ἀποδέχεται ὡς κριτὴς, ὁ δὲ οὐκ ἀποστρέφεται τὴν κρίσιν, καίτοι ἀμφότεροι ἦσαν ἅγιοι. οὕτω γράφει Αθανάσιος ἐν τῷ βιβ. περὶ τῆς γνώμης Διονυσίου τοῦ Αλεξανδρείας, ὡς ἐν τοῖς ἔμπροσθεν ἐροῦμεν.

Καὶ Βίκτωρ ὁ Πάπας ἑκατὸν εἴκοσι πρὸς τοῖς τέσσαρσιν ἐνιαυτοῖς γεγονὼς πρὸ τῆς πρώτης συνόδου Θεοφίλῳ μητροπολίτῃ Καισαρείας τῆς Παλεστίνης γράφων, (ἧς δὴ ἐπιστολῆς καὶ ἄνω μνήμην ἐποιησάμεθα) εἰπὼν ὁ Πάπας πότε χρὴ τε-

λεῖν

constitutum esse, antedictis testimonijs declaratur. Hęc verò Apostolica Sedes cardo, & caput, vt prędictum est, omnium Ecclesiarum à Domino, & non alio est constituta. Et sicut cardine ostium regitur, sic huius sanctę Sedis auctoritate omnes Ecclesiæ, Domino disponente, reguntur.

Hęc ab Anacleto Papa scripta sunt, ducētis quinquaginta annis ante primam Nicęnam Synodum. Itaq; mētiuntur qui dicunt, Patres dedisse Romanę Ecclesię primatum, eo quod senior Roma esset aliorum Regina. Alij verò dicunt, vt etiam Nilus, quod Imperatores sanciunt Romanum Pontificē esse primum inter Sacerdotes. Sed ipsi hoc sanciunt, non tanquam quid nouum, cum istud Pontifex à Christo acceptum habeat, sed propter superbiam Patriarcharum Constantinopolitanorū, qui sibi vsurpabant titulum œcumenici; & se æquabant Pōtifici.

Interrogandi igitur essent, quinam sunt isti Patres, qui dederunt eiusmodi priuilegia? Dicent, Patres Nicænæ Synodi. verùm Canon ait, secundum Græcos, antiquæ consuetudines teneant. Itaque antiquiores Patres ostendendi sunt qui dederint.

Deinde si ante Concilium Nicęnum Papa non habuit Primatum, quo iure Alexandrinus Patriarcha Dionysius annis circiter sexaginta ante Nicænam Synodum accusatur apud Romanum Pontificem Dionysium? & nec Romanus Pontifex Iudicem se esse negauit, nec Alexandrinus Iudicium illud recusauit, cum tamen vterque Sanctus esset. Hæc autem ita esse scribit Athanasius in libro de sententia Dionysij Alexandrini.

Victor Papa centum viginti, & quatuor annos ante Synodum Nicænam scribens ad Theophilum Metropolitam Cæsariæ Palestinæ, cuius sanè epistolæ & supra mentionem fecimus, cum dixisset quando opus est

λεῖν, τὸ πάσχα καὶ βαπτίζειν, ἐπιφέρει, ὁμοίως εἰς τὸν ἀποστολικὸν ἀνήνεκται θρόνον, ὅτι ἐκεῖνα κρίνετε ὑμεῖς ἃ χωρὶς τῆς ἡμετέρας αὐθεντίας ὑμῖν ὁρίζειν οὐκ ἔξεστι, καὶ μάλιστα δὴ τὰς κρίσεις τῶν ἐπισκόπων. ὑπὸ γὰρ τοῦ ὡρισμένου ἀπὸ τῶν χρόνων τῶν ἀποστόλων πρόδηλον, καὶ πάντοτε ἤρεσεν, ἵνα ἐπίσκοπος κατηγορηθεὶς, ἢ κριθεὶς ἐν πάσῃ δίκῃ ὑπὸ τῶν τῆς ἐπαρχίας ἐπισκόπων, θεμιτῶς ἐκκαλῆται, ἢ προσέρχηται τῷ ἀρχιερεῖ τοῦ ἀποστολικοῦ θρόνου, ὃς ἢ δι' ἑαυτοῦ, ἢ διὰ τοποτηρητῶν αὐτοῦ πάλιν ἀνακριθῆναι ποιήσει τὴν δίκην. καὶ ἐν ᾧ κρίνει τὸ δεύτερον ὁ Πάπας τὸ πρᾶγμα, μηδεὶς ἄλλος ἀντ' ἐκείνου χειροτονείσθω ἐπίσκοπος. εἰ γὰρ καὶ τὸ παρὰ τῶν ἐπαρχιωτῶν ἐπισκόπων ἐξετάζεσθαι τὴν δίκην τοῦ κατηγορηθέντος ἐστὶ θεμιτὸν, ἀλλ' οὖν τὸ ποιῆσαι τῆς κρίσεως τὴν ἀπόφασιν χωρὶς γνώμης τοῦ τῆς Ῥώμης ἀρχιερέως οὐ συγκεχώρηται, ἐπειδὴ τῷ μακαρίῳ Πέτρῳ τῷ ἀποστόλῳ οὐ παρ' ἄλλου τινὸς, ἀλλὰ παρ' αὐτοῦ εἴρηται τοῦ Κυρίου, ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. καὶ ἀλλαχόθι ἐν ταῖς διαταγαῖς τῶν ἀποστόλων ἀναγινώσκεται, εἴ τις νομίσει ἑαυτὸν ὑπὸ τοῦ ἰδίου μητροπολίτου βαρύνεσθαι, κρινέσθω παρὰ τῷ πατριάρχῃ, ἢ τῷ προεστῶντι τῆς διοικήσεως, ἢ παρὰ τῷ οἰκουμενικῷ τῆς ἀποστολικῆς ἐκκλησίας θρόνῳ. οὐδὲν ἐστὶν ἄλλο ἀδελφοὶ τὸ τοιαῦτα τολμᾶν, ἢ παραβαίνειν τοὺς ὅρους τῶν ἀποστόλων, καὶ τῶν διαδόχων αὐτῶν, καὶ τὰ ἐκείνων δόγματα παραφθείρειν, ἐγκαλοῦνται γὰρ ὡς γέγραπται, ἀδελφοὶ, ὅσοι παρατολμῶσι κρίνειν τοὺς ἐπισκόπους ἄλλως ἢ ὡς τοῦ ἀποστολικοῦ θρόνου τῷ Πάπᾳ γενέσθαι ἀρέσει. καὶ τίς ὁ κρίνων ἐκεῖνον ἐστὶν ὃν ὁ Κύριος τῇ κρίσει τῇ ἑαυτοῦ, καὶ τοῦ ἁγίου θρόνου ἐφύλαξεν;

Περὶ γοῦν τὸ διακοσιοστὸν ἑξηκοστὸν τῆς ἐνσάρκου οἰκονομίας ἔτος, μεγάλη τις καὶ βλάσφημος πάνυ, δι' ἣν ἡ ἀνατολικὴ ἐκκλησία τοπικὴν πρῶτον ἐν Ἀντιοχείᾳ ἐποιήσατο

celebrare pascha, & baptizare, infert, similiter, eas vos iudicare, ad Apostolicam delatum est sedem, quæ præter nostram vobis definire non licet auctoritatem, idest, Episcoporum causas. vnde ita constitutum liquet à tempore Apostolorum & deinceps placuit, vt accusatus vel iudicatus à comprouincialibus in aliqua causa Episcopus, licenter appellet, & adeat Apostolicæ Sedis Pontificem, qui aut per se, aut per Vicarios suos eius retractare negotium procuret. Et dum, iterato iudicio, Pontifex causam suam agit, nullus alius in suo loco ponatur, aut ordinetur Episcopus; quoniam quamquam à comprouincialibus Episcopis accusati causam Pontificis scrutari liceat, non tamen definiri, inconsulto Romano Pontifice permissum est, cum Beato Petro Apostolo, non ab alio quam ab ipso dictum sit Domino: (quæcumque ligaueris super terram, erunt ligata & in Cœlo: & quęcunque solueris super terram, erunt soluta & in Cœlo) & alibi in institutis legitur Apostolicis: si quis putauerit se à proprio Metropolitano grauari, apud Patriarcham vel primatem diœceseos, aut penes vniuersalis Apostolicæ Ecclesię iudicetur sedem. Nihil aliud est fratres talis pręsumptio, nisi Apostolorum, suorumque successorum terminos transgredi, eorumque decreta violare. Culpant enim, vt scriptum est, fratres, qui aliter circa Episcopos iudicare præsumunt, quam Apostolicę Sedis Papę fieri placuerit. Et quis est, qui iudicat eum, quem Dominus sibi, & huic sanctæ Sedi reseruari voluit iudicandum?

Circa annum incarnationis Domini ducentesimum sexagęsimum excogitata est quędam hęresis magna, & valde blasphema à quodam Artema, & Paulo Samosateno Episcopo Antiocheno. Propter quam Orien-

Σύνοδον, ἡ αἵρεσις ἐπενοήθη παρά τινος Ἀρτεμᾶ, καὶ Παύλου τοῦ Σαμοσατέως ἐπισκόπου Ἀντιοχείας. ἐκόσμει δὲ τὴν Σύνοδον ταύτην Γρηγόριος ὁ θαυματουργὸς, ὁ μετὰ καὶ τῶν ἄλλων τῶν ἐκεῖσε συνελθόντων ἐπισκόπων ἀναθεματίσας τὸν Σαμοσατέα. ἀλλὰ γὰρ οὐκ ἤθελεν ὁ Παῦλος ὑπακοῦσαι τῇ ψήφῳ τῆς Συνόδου, δυναστικῶς δὲ τὸν θρόνον ἐκεῖνον ἔχειν ἐσπούδαζε καὶ ταῦτα ἄλλου χειροτονηθέντος. ὅθεν ἡ ἁγία Σύνοδος προσέδραμεν Αὐρηλιανῷ τῷ τότε βασιλεῖ Ῥώμης, ὅδε καίπερ ὢν εἰδωλολάτρης ἔκρινεν ὅμως ἐκεῖνον ἔχειν τὴν Ἀντιοχείας ἐπισκοπὴν, ὃν ἂν ἐπικρίνοι ὁ Ῥώμης ἐπίσκοπος καὶ δέχοιντο οἱ ἐπίσκοποι τῆς Ἰταλίας. μαρτυρεῖ ταῦτα ὁ Παμφύλου Εὐσέβιος ἐν τῷ ζ. τῆς ἱστορίας κεφαλαίῳ λ. ὃς καὶ ἐπαινεῖ τὸν βασιλέα ὅτι ἔκρινεν ὁσιώτατα τοῦτ' ἔστι καὶ δικαιότατα. οὕτω λοιπὸν ἡ Ἀντιοχέων ἐκκλησία ὀρθόδοξον ἔλαβεν ἐπίσκοπον, καὶ τὴν μετὰ τῶν λοιπῶν τῆς ἀνατολικῆς ἐκκλησίας φυλάττουσα τὴν ὁμόνοιαν. μετὰ ταῦτα ἐπισκοποῦντος ἐν Ῥώμῃ Μαρκέλλου μετὰ τὸ τριακοσιοστὸν τῆς θεογονίας ἔτος φέρεται ἐν τῷ βίῳ τούτου ἐπιστολή τις αὐτοῦ δὴ τοῦ Πάπα πρὸς Ἀντιοχεῖς οὕτως ἔχουσα. τοῖς κατὰ τὴν διοίκησιν Ἀντιοχείας ἐπισκόποις ἅπασιν ἀδελφοῖς, ἀγαπητοῖς Μάρκελλος.

Τὴν φροντίδα πασῶν τῶν ἐκκλησιῶν κατὰ τὸν ἀπόστολον περιφέροντες, τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ χάριτος μνημονεύειν ὀφείλομεν τοῦ διὰ τὸ ἔλεος αὐτοῦ καταξιώσαντος ἡμᾶς ἀναβιβάσαι ἐπὶ τὴν ἀκρότητα τοῦ ἱερατικοῦ ὕψους, ἵνα τοῖς αὐτοῦ προστάγμασι προσκολλώμενοι, ὡς ἀπὸ σκοπιᾶς τινὸς τῶν ἱερέων τὰ ἀθέμιτα μὲν ἀπαγορεύωμεν, διδάσκωμεν δὲ τὰ πρακτέα. Παρακαλοῦμεν οὖν ὑμᾶς ἀδελφοὶ, ἵνα μηδὲν ἄλλο διδάσκητε, ἢ φρονῆτε παρ' ὃ ἐλάβετε παρὰ τοῦ μακαρίου ἀποστόλου Πέτρου, καὶ τῶν λοιπῶν ἀποστόλων. ὑπ' ἐκείνου γὰρ πρῶτον ἐμαθητεύθητε. οὐ δεῖ λοιπὸν ὑμᾶς τὸν ἴδιον ἀφέντας ποιμένα, ἑτέροις ἀκολουθεῖν. αὐτὸς γάρ ἐστιν ἡ κεφαλὴ πάσης τῆς ἐκκλησίας, ᾧ λέγει ὁ Κύριος, σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλη-

σίαν

talis Ecclesia primam prouincialem Antiochiæ celebrauit Synodum. Ornabat verò hanc Synodum Gregorius ille Thaumaturgus, qui vnà cum alijs Episcopis eò se conferens anathematizauit Samosatenum. Cęterum nolens Paulus obedire decreto Synodico, parabat per vim occupandam esse illam Sedem præsertim cum & alter Episcopus esset ordinatus. Vnde S. Synodus confugit ad Aurelianum tunc temporis Imperatorem Romanum. Is verò quamuis esset idololatra sanciuit nihilominus eum esse Episcopum Antiochenum, quem iudicauerit Romanus Pontifex, & receptus fuerit ab Episcopis Italię. Testatur hæc Eusebius Pamphili in 7. libro suę Historiæ cap. 30. qui etiam laudat Imperatorem quod rectissimè iudicarit. Sic deinceps Antiochena Ecclesia recepit Episcopum Orthodoxum, qui vna cum alijs orientalis Ecclesię seruabat vnitatē. Deinde cum Episcopus Marcellus regeret Episcopatum Romanū post trecentesimum quintum annum Natiuitatis Christi in vita ipsius papę ante concilium Nicęnū, fertur epistola quædam ad Antiochenos quę ita se habet: Dilectissimis fratribus vniuersis Episcopis per Antiochenam prouinciā constitutis Marcellus.

Sollicitudinem omnium Ecclesiarū iuxta Apostolū circūferentes, Diuinę circa nos gratię memores esse debemus, qui nos per dignationis suę misericordiam, ob hoc ad fastigiū Sacerdotale prouexit, vt mandatis ipsius inhęrentes, in quadam Sacerdotū eius specula cōstituti, prohibeamus illicita & sequenda doceamus. Rogamus ergo vos, fratres, vt nō aliud doceatis neq; sentiatis, quam quod à B. Petro Apostolo, & reliquis Apostolis & Patribus, accepistis. Ab illo enim primo instructi estis. ideo non oportet vos proprium derelinquere Patrem, & alios sequi. Ipse enim caput est totius Ecclesię, cui ait

Do-

σίαν καὶ τὰ ἑξῆς. Ὁ γὰρ ἐκείνου θρόνος παρ' ὑμῖν πρώτοις
ὑπῆρξεν, ὁ μετὰ ταῦτα, τοῦ Κυρίου προστάξαντος, εἰς Ῥώ-
μην μετενεχθεὶς, ἐν ᾧ τὴν σήμερον ἡμεῖς, ὑποσημειούσης
τῆς θείας χάριτος, προϊστάμεθα. οὐδὲ ὑμᾶς χρὴ τῶν ὑπ' ἐκεί-
νου θεσπιζομένων ἀφίστασθαι, πρὸς ὃν τὰ μεγάλα τῶν ἐκ-
κλησιαστικῶν πραγμάτων, τῆς θείας χάριτος νομοθετούσης,
κεκέλευσαι ἀναφέρεσθαι, ἵνα παρ' οὗ τὴν ἀρχὴν εἰλήφασι κα-
νονικῶς, παρ' ἐκείνου διοικῶνται, εἴπερ ὁ ὑμέτερος τῆς
Ἀντιοχείας θρόνος ὃς πρῶτός ποτε τὴν τῷ Ῥώμης παρεχώ-
ρησεν, οὐδείς ἐστι τῶν ἁπάντων, ὃς οὐχ ὑπόκειται τῇ ἐκεί-
νου αὐθεντίᾳ. πρὸς ὃν οἷα κεφαλὴν οἱ ἐπίσκοποι πάντες
κατὰ τὰ θεσπίσματα τῶν ἀποστόλων, καὶ τῶν διαδόχων αὐτῶν,
ὅσοι ἢ οὕτω βουλητὸν, ἢ ἀνάγκη ἐπίκειται, προσφεύγειν καὶ
ἐκκαλεῖσθαι ὀφείλουσιν. ἵν' ἐκεῖθεν προστασίας τύχωσι καὶ
ἐλευθερώσεως, ὅθεν ἔλαβον τὴν διαδοχὴν καὶ τὴν ἀφιέ-
ρωσιν. τούτου δὲ οὐδένα δεῖ στερίσκεσθαι τῶν ἐπισκόπων,
ἀλλὰ χωρίς τινος φυλακῆς, ἢ ἀφορισμοῦ, ἢ κατακρίσεως,
ἢ ἀπεκδύσεως, ἐλεύθερος προσέρχεσθαι συγχωρείσθω.
ἅμα δὲ οἱ αὐτοὶ, κατ' ἐπίνοιαν τοῦ Κυρίου, ἐθέσπισαν,
μηδεμίαν συνέρχεσθαι σύνοδον χωρὶς τῆς τοῦ αὐτοῦ θρόνου
αὐθεντίας. Καὶ μηδένα ἐπίσκοπον ἐπὶ οἱστισινοῦν ἐγκλήμα-
σιν ἐναγόμενον ἀκούεσθαι, ἢ κρίνεσθαι, εἰμὴ ἐν συνόδῳ νο-
μίμῳ τοῖς ἰδίοις καιροῖς ἀποστολικῇ ἐξουσίᾳ συνηθροισμένῃ.
ὅτι, καθὼς ὑμῖν ἀνωτέρω εἴρηται, αἱ τῶν ἐπισκόπων κρίσεις
καὶ τῶν μεγίστων ὑποθέσεων τὰ πράγματα, καὶ τὰ ἀπο-
ρούμενα πάντα πρακτέα καὶ ὁριστέα ἐστὶ διὰ τῆς τοῦ ἀποστο-
λικοῦ θρόνου ἐξουσίας. καὶ πάντα τὰ τῆς αὐτῆς ἐπαρχίας
πράγματα τῇ κρίσει τῆς ἁγίας ταύτης καθολικῆς καὶ ἀποστο-
λικῆς ἐκκλησίας ὀφείλουσι πάλιν ἀνακρίνεσθαι, εἴπερ οὕτω
δόξει ταύτης τῆς ἐκκλησίας τῷ ἀρχιερεῖ, μηδ' ἐξέστω τινὶ
χωρὶς προκρίματος τῆς Ῥωμαϊκῆς ἐκκλησίας, (ἧς φυλακ-
τέον ἐστὶν ἐν πάσαις ταῖς ὑποθέσεσι τὴν εὐλάβειαν) αὐθε-
ντῶν τῶν ἱερέων τούτων, οἵ τινες ἐν τῇ αὐτῇ ἐπαρχίᾳ θείῳ
νεύματι

Dominus, tu es Petrus, & super hanc petram ædificabo Ecclesiam meam, & reliqua. Eius enim Sedes apud vos fuit, quę posteà, iubente Domino, Romam translata est. Cui, adminiculante gratia diuina, hodierna præsidemus die. Nec ab eius dispositione vos deuiare oportet; ad quam cuncta maiora Ecclesiastica negotia (diuina disponente gratia) iussa sunt referri, vt ab ea regulariter disponantur, à qua sumpsere principia. Si vestra verò Antiochena, quę olim prima erat Romanę cessit Sedi, nulla est, quę eius non subiecta sit ditioni, ad quam omnes, quasi ad caput iuxta Apostolorum, eorumq; successorum sanctiones, Episcopi qui voluerint, vel quibus necesse fuerit, refugere eamque appellare debent: vt inde accipiant tuitionem, & liberationem, vnde acceperunt informationem, atque consecrationem. Quod omnibus minimè conuenit denegare Episcopis, sed absque vlla custodia, aut excommunicatione, vel damnatione, vel expoliatione, liberè ire concedatur. Simulque ijdem inspirante Domino, constituerunt, vt nulla Synodus fieret pręter eiusdem Sedis auctoritatem nec vllus Episcopus, nisi in legitima Synodo, suo tempore, Apostolica auctoritate conuocata, super quibuslibet criminibus pulsatis, audiatur, vel iudicetur. Quia vt paulò superius pręlibatum est, Episcoporum iudicia, & summarum causarum negotia, siue cuncta dubia, Apostolicę Sedis auctoritate sunt agenda, & finienda. Et omnia comprouincialia negotia huius sanctę vniuersalis, & apostolicę Ecclesię, sunt retractanda iudicia, si huius Ecclesię Pontifex pręceperit. Nec cui liceat sine pręiudicio Romanę Ecclesię (cui in omnibus causis debet reuerentia custodiri) relictis his Sacerdotibus, qui in eadem prouincia Dei Ecclesias nutu diuino gu-

image
not
available

gubernant, ad alias conuolare prouincias, vel aliarum prouinciarum Episcoporum iudicium experiri; vel pati, sed omnibus eiusdem prouinciç Episcopis congregatis, iudicium auctoritate huius Sedis terminetur. Quod tamen, vt præfatum est, per eius Vicarios, si libuerit, erit tractandum, & quidquid iniustè actum est, reformandum. Pastoralis ergo curam officij nos admonet, & destitutis succurrere, & cuncta neglecta, vel malè acta reformare; vt ignis ille, quem Dominus veniens misit in terram, motu crebro emendationis, vel crebrç meditationis agitatus, sic seruè calescat, vt ferueat, & sic inflammetur, vt luceat, & quç sequuntur.

Hæc ante primam Synodum, quæ celebrata est iuxta Græcos anno 318. & ipsa edidit Canonem appellationis, & maximarum rerum ad Romanum Pontificem in beneficium Episcoporum, & rectæ fidei, cum præuidisset, diuina prouidentia, quod Ariani erãt expulsuri multos Orthodoxos Episcopos à proprijs Eclesijs.

Eàdem statuunt alij quoque Pontifices, partim quidem ante Synodum, qui sunt martyres, partim verò & post Nicænam Synodum. Qui quamuis non sint martyres, sunt tamen Sancti, & Deo grati viri. Sunt autem isti ante Synodum: Anacletus, Victor, Zepherinus, Calixtus, Fabianus, Xistus; Post Synodum, Syluester, Iulius, Liberius, Gelasius, Symmachus, Gregorius, Nicolaus. Hi omnes ad omnes Episcopos, & ad omnes Ecclesias totius Orbis literas mittunt, sicut & cæteri, & appellationes ad se spectare commemorant, & omnem excellentiam potestatis iuxta Euangelium sibi ipsis meritò vendicant.

Ἀλλὰ φαίη τις ἂν, αὐτοὶ περὶ ἑαυτῶν μαρτυροῦσιν, ἀλλ' οὐ περὶ πάντων τοῦτο λεχθῆναι εἰκός ἐστι· γράφουσι γὰρ πρὸς τοὺς ἀνατολικοὺς ἐπισκόπους, τὰ ἴδια προνόμια κηρύττοντες, καὶ μετὰ πάσης πληροφορίας ἄνω καὶ κάτω προσμαρτυροῦντες, καὶ βοῶντες, ὅτι ὁ Ῥώμης ἀρχιερεὺς ἔχει πληρεστάτην ἐξουσίαν ἀπὸ τοῦ Χριστοῦ τοῦ κρίνειν τοὺς ἐπισκόπους, καὶ μόνος ἔχει τὰς ἐκκλήτους κανονικῶς, καὶ ὅτι τοῦτο ἐβεβαίωσαν οἱ ἀπόστολοι, καὶ ἡ ἐν Νικαίᾳ σύνοδος διὰ τὰς τῶν πονηρῶν ἀνθρώπων ἐπιβουλάς. οὕς τινας οἱ τῆς ἑῴας μὴ ἀληθεύοντας ἤλεγξαν ἂν καὶ ψεύδεσθαι ἔφασαν.

Ἐξαιρέτως δὲ Ἰούλιος ὁ Πάπας μετὰ παρρησίας τὰ αὐτὰ μαρτυρεῖ, καὶ ἐπιστέλλει ἐν τῇ ἐπιστολῇ ἣν Ἀθανάσιος μετεφράσατο εἰς τὸ ἑλληνικὸν ἐν τῇ β. ἀπολογίᾳ ἣν κατωτέρω παρενθήσομεν ὁλόκληρον, ἐν ᾗ ὁ Ἰούλιος ὁ Πάπας μνημονεύει κανόνος τοῦ ἐκκλήτου.

Τοιαῦτα γράψαντος Ἰουλίου τοῦ Πάπα, καὶ τῶν γραμμάτων αὐτοῦ ὄντων οὐκ ἀποκρύφων, ἀλλὰ πᾶσι τοῖς ἀνατολικοῖς ἐγνωσμένων, πῶς λέγει ὁ Ζωναρᾶς, ὅτι οἱ Ῥώμης ἀρχιερεῖς ἔχουσι τὴν ἔκκλητον ἀπὸ τοῦ κανόνος τῆς ἐν Σαρδικῇ συνόδου, ἢ ὅτι ψεύδονται λέγοντες τοῦτον εἶναι κανόνα τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου; εἰ γὰρ ἐκεῖνοι ψεύδονται, ψεύδονται ἄρα καὶ πάντες οἱ ἀνατολικοὶ παλαιότατοι ἱστορικοί, ψεύδεται καὶ αὐτὸς ὁ μέγας Ἀθανάσιος, ἀναφέρων παρ' ἑαυτοῦ τὴν ἐπιστολὴν τοῦ Πάπα, ὡς ἀνωτέρω εἴρηται, ἐν ᾗ μνημονεύει ὁ Πάπας κανόνος ἐκκλητιασικοῦ. ἔδει γάρ, φησι, κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, καὶ μὴ οὕτως γεγενῆσθαι τὴν κρίσιν. ἔδει γραφῆναι πᾶσιν ἡμῖν. ἢ ἀγνοεῖτε ὅτι τοῦτο ἔθος ἦν πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ὁρίζεσθαι τὰ δίκαια;

Ποῦ εὑρίσκεται οὗτος ὁ κανὼν ἐν τοῖς εἴκοσι τῆς πρώτης συνόδου, ἢ ἐν τοῖς ἀποστολικοῖς; καὶ εἰ ψευδῆ λέγει ὁ Πάπας, πῶς τὰ ψευδῶς ἔχοντα φέρει παρ' ἑαυτοῦ Ἀθανάσιος, ἐπειδὴ αὐτὸς διηγεῖται ἐν τῷ β. ἀπολογητικῷ, ὅτι τὴν,

Sed dicet aliquis,ipſi de ſe ipſis teſtimoniũ perhibẽt. At de omnibus hoc dici, par non eſt. Scribunt enim ad oriẽtales Epiſcopos,& propria priuilegia prædicãt,atq; cum omni plenitudine ſurſum, deorſum teſtãtur, & clamãt, quod Romanus Põtifex habet plenariam poteſtatẽ à Chriſto, iudicandi Epiſcopos; & ſolus habet appellationes canonicè, & quod iſtud confirmarunt Apoſtoli, & Nicęna Synodus propter improborum hominum inſidias. Quos quidem orientales Epiſcopi, ſi vera non dixiſſent, reprehendiſſent, & mentitos eſſe dixiſſent.

Præcipuè verò Iulius Pontifex cum maxima libertate dicendi eadem teſtatur, & ad eos mittit in epiſtola quã S. Athanaſius ex latino reddidit in græcam in 2. apologia quam ponemus infra, vbi Iulius mentionem facit canonis appellationis.

Cum talia Iulius Papa ſcripſiſſet, & eius literæ non ſint apocryphæ, ſed omnibus orientalibus notæ, quomodo dicit Zonaras,Romanos Pontifices habere appellationem à canone Sardicenſis Synodi? vel quod mentiãtur dicentes,hunc eſſe canonẽ Nicænæ primæ œcumenicæ Synodi? Si enim illi falluntur, falluntur igitur & omnes oriẽtales vetuſtiſſimi Hiſtorici. Fallitur etiam ipſe magnus Athanaſius, referens pro ſe epiſtolã Papæ, vt ſuperius dictum eſt, in qua mentionem facit Papa Canonis eccleſiaſtici, oportuit enim, inquit, ſecundum Canonem eccleſiaſticum, & non iſto modo iudicium fieri. Oportuit ſcribere omnibus nobis. An ignari eſtis, hanc conſuetudinem eſſe, vt primùm nobis ſcribatur, & hinc quod iuſtum eſt definiatur?

Vbi reperitur iſte Canon inter illos viginti primę Synodi, vel in apoſtolicis? Et ſi falſa dicit Papa,quomodo quę falſa ſũt adducit pro ſe Athanaſius?Quoniã ipſe narrat in 2. apologia epiſtolã,in qua hęc aſſerit Papa Iulius,

ἐπιστολὴν, ἐν ᾗ ταῦτα λέγει ὁ Πάπας Ἰούλιος καὶ ἡ ἐν Ῥώμῃ σύνοδος ἔγραψεν, ἥτις ἀπεδέξατο τὸν Ἀθανάσιον, καὶ ἐκύρωσεν εἰς αὐτὸν τήν τε κοινωνίαν, καὶ τὴν ἀγάπην. καὶ διὰ τοῦτο γέγονε καὶ αὐτὸς ἐκείνης μέρος. καὶ τοῦτο περὶ τοῦ συγκροτηθῆναι τὴν ἐν Σαρδικῇ σύνοδον, ἥτις ὀλίγον ὕστερον τρεῖς κανόνας τὸν τρίτον, τὸν τέταρτον, καὶ τὸν πέμπτον ἐξέδωκε τῆς ἐκκλήτου, δέον αὐτὴν ἀναφέρεσθαι πρὸς τὸν ἐπίσκοπον Ῥώμης κατὰ τὴν διάταξιν τοῦ Ζωναρᾶ. ἄλλως γὰρ ἡ ἐν Σαρδικῇ σύνοδος τὸν δ. καὶ ζ. κανόνα ἐκύρωσε τῆς ἐκκλήτου τῶν ἐπισκόπων πρὸς τὸν Πάπαν. τὸν ιζ. τῶν πρεσβυτέρων καὶ διακόνων πρὸς τοὺς ἰδίους ἐπισκόπους.

Οὐδὲν οὖν θαυμαστὸν, εἰ ἀφανισθέντων ἐν τῇ ἀνατολῇ τῶν πρακτικῶν τῆς ἁγίας πρώτης συνόδου, ἀναφέρει ὁ Πάπας κανόνα μὴ εὑρισκόμενον ἐν τοῖς εἴκοσιν, ὑπ' οὐδενὸς γὰρ ἄλλου ἠδύνατο γεγενημένος εἶναι, κανὼν ἁπάσῃ τῇ ἐκκλησίᾳ, ἢ παρὰ τῶν ἀποστόλων αὐτῶν, καὶ τῆς πρώτης συνόδου. οὐδὲ ἀφρικανοὺς ἔδει μετὰ ταῦτα τοὺς κανόνας ζητεῖν τῆς ἐν Νικαίᾳ παρὰ τῶν ἀνατολικῶν πατριαρχῶν, ἀλλὰ παρὰ τοῦ Ῥωμαίων ἀρχιερέως. ὁ δὲ Πάπας γράφων τοῖς Ἀρειανοῖς λέγει, καὶ παλιλλογεῖ, ὅτι καὶ παρὰ τοῦ Χριστοῦ, καὶ τῶν ἀποστόλων, καὶ τῆς ἐν Νικαίᾳ συνόδου, γέγονεν ὁ κανών. ὅπερ εἰ ψευδὲς ἦν, οὐκ ἂν ἐβάστασαν οἱ Ἀρειανοὶ, καὶ μάλιστα Εὐσέβιος καί τινες ἄλλοι τῶν Ἀρειανιζόντων ἐπισκόπων, οἵτινες ἦσαν αὐτόπται, καὶ αὐτήκοοι ὅτε ἐγίνετο ἡ ἐν Νικαίᾳ σύνοδος, καὶ ἐγίνωσκον, ὁποίους καὶ ὁπόσους κανόνας ἐκύρωσαν οἱ ἅγιοι ἐκεῖνοι πατέρες. καὶ ὅμως τοῦ Πάπα βοῶντος καὶ ἐλέγχοντος αὐτοὺς ἐκ τῶν κανόνων τῆς συνόδου, οὐδεὶς ἀντεῖπεν, οὐδεὶς ἠρνήσατο οὐδ' ἀπελογήσατο, ὅτι ψεύδεται ὁ Πάπας, ἀναφέρων τοὺς μὴ γεγενημένους κανόνας. καὶ τοῦτο ἐδύνατο κατιδεῖν ὁ Ζωναρᾶς, καὶ μὴ προσφθέγγειν τῇ ἐν Καρθαγένῃ συνόδῳ, ἥτις γέγονεν ἑκατὸν ἐνιαυτοῖς ὕστερον μετὰ τὴν ἐν Νικαίᾳ. μᾶλλον γὰρ ἠπίσταντο τὰ τῆς ἐν Νικαίᾳ συνόδου Εὐσέβιος, καὶ οἱ λοιποὶ Ἀρειανοὶ, ἤπερ ἡ

etiam Romanam Synodum scripsisse, quę excepit Athanasium, & sanciuit in eum cõmunionem, & charitatem. Propterea & ipse illius pars factus est; idque antequam celebraretur Concilium Sardicense factum est. Quod paulo post tres Canones tertium, quartum, & quintum edidit appellationis, quæ debeat referri ad Episcopum Romanum secundum dispositionem Zonaræ. Alias enim Sardicense Concilium quartum, & septimum Canonem sanciuit appellationis Episcoporum ad Papam; Presbyterorum verò, & Diaconorum decimum septimum canonem ad proprios Episcopos.

Nihil igitur mirum, si amissis in Oriente actibus primæ Synodi, recenset Papa Canonem, qui non reperitur inter illos viginti. Quippe à nemine alio poterat esse factus Canon toti Ecclesiæ, quam ab Apostolis ipsis, & à prima Synodo. Neque debebant Aphricani posteà Canones Nicænos quærere ab orientalibus Patriarchis, sed à Romano Põtifice. Ipse verò Pontifex scribẽs, ad Arianos, dicit, & sæpius repetit, quod à Christo Domino, & ab Apostolis, atq; à Nicæna Synodo factus est Canõ. Quod si falsum esset, non sustinuissent Ariani, & præcipuè Eusebius, & quidam alij EPiscopi Arianizantes, qui fuerant oculati & auriti testes, quando celebrata est Nicæna Synodus, & nouerãt quales, & quot canones sanxerant illi Sancti Patres. Et tamen vociferante Papa, & eos redarguente ex vi Canonum Synodi, nemo contradixit, nemo inficiatus est, neque respondit, quod mentitur Papa, réferens Canones non factos. Atq; id poterat aduertere Zonaras, & non recurrere negando appellationes ad Chartaginensem Synodum, quæ facta est, centum annis post Nicænum Concilium. Magis enim quæ erant Nicænæ Synodi nouerant Eusebius, & reliqui Ariani, quam deinde Chartaginẽsis Synodus.

Cum

ἐν Καθαργένῃ σύνοδος. δυνάμενοι οὖν οἱ Αρειανοὶ ἀπολογήσασθαι κάλλιστα ὑπὲρ ἑαυτῶν, καὶ ἀπελέγξαι τὸν Πάπαν, ὅτι ψεύδεται, καὶ οὕτως ἀποδεῖξαι τὰς ἑαυτῶν συνόδους ὀρθῶς καὶ νομίμως γεγενημένους, οὐδὲν τοιοῦτον ἀντέγραψαν. ὅθεν ἀνάγκη, τὸν Πάπαν πρὸς ἄνδρας γράφοντα πάντα καλῶς εἰδότας μὴ ψεύδεσθαι.

Ὁ δὲ Ζωναρᾶς διεστραμμένως προφέρει τὰ πράγματα· εἰ μὲν γὰρ οὐκ ἦν σχισματικὸς ἀλλότριος, καὶ ἀπεξενωμένος τῆς ἀποστολικῆς καθολικῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἔδει αὐτὸν μὴ εἰδότα τὰς τῶν ἀρχαίων ἁγίων ἱερομαρτύρων ἄκρων τῆς Ῥώμης ἀρχιερέων ἐπιστολὰς, τέως ἀπολογηθῆναι, καὶ εἰπεῖν Νικαίαν σύνοδον τοὺς Ῥωμαίους νοεῖν τὴν ἐν Σαρδικῇ. ἡ γὰρ Σαρδικὴ ἐστὶ μέρος τῆς ἐν Νικαίᾳ καὶ παραφυὰς ἐκείνης ὀλίγον ὕστερον ὑπὸ τῶν αὐτῶν πατέρων σχεδὸν μετὰ τριακοστὸν ἕκτον ἔτος συγκροτηθεῖσα, καὶ μὴ ἀναισχύντως ψεύδεσθαι λέγοντα μὴ εἶναι κανόνα τῆς ἐν Νικαίᾳ. οὐ γὰρ μόνον τῆς ἐν Νικαίᾳ, ἀλλὰ τοῦ Χριστοῦ, ἀλλὰ τῶν ἀποστόλων περὶ τῆς ἐν Νικαίᾳ, καὶ αὐτῆς τῆς ἐν Νικαίᾳ καὶ τῆς ἐν Σαρδικῇ ἐστὶν ὁ κανὼν τῆς ἐκκλήτου, μάτην ἄρα ὁ Ζωναρᾶς ἐπισημειοῦται περὶ τὸ τέλος τοῦ πέμπτου κανόνος τῆς ἐν Σαρδικῇ, ἐκ τούτου τοῦ κανόνος οἱ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεῖς αὐχοῦσιν ἐνδεδόσθαι αὐτοῖς τὰς ἐκκλήτους πάσας τῶν ἐπισκόπων πρὸς αὐτοὺς ἀναφέρεσθαι, τῆς πρώτης οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ τοῦτον εἶναι τὸν κανόνα ψευδῶς λέγοντες, ὅπερ ἐν Καθαργένῃ ἀθροισθείσῃ συνόδῳ προτεθὲν ἠλέγχθη, μὴ ἀληθεύειν, ὡς ἡ περὶ τῶν κανόνων τῆς αὐτῆς συνόδου γραφὴ παρίστα. οὔτε οὖν τῆς ἐν Νικαίᾳ συνόδου ἐστὶν ὁ κανὼν; οὔτε πάσας τὰς ἐκκλήτους τῶν ἐπισκόπων ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ. ὑπέκειντο δὲ τῇ Ῥωμαίων ἐκκλησίᾳ αἱ δυτικαὶ πᾶσαι σχεδὸν ἐκκλησίαι, αἱ Μακεδονικαὶ δηλαδὴ, αἱ Θετταλικαὶ, αἱ τοῦ Ιλλυρικοῦ, αἱ τῆς Ελλάδος, καὶ τῆς Πέλοπος, αἱ τῆς λεγο-

μέ-

Cum igitur possent Ariani respondere pro se, & redarguere Papam, quod mentiatur, & ita probare ipsorum Synodos rectè, & legitimè celebratas esse, nihil tale rescripserunt. Vnde necesse est, Papam ad homines scribentem, qui omnia benè nouerant, non mentiri.

Zonaras autem res peruersè profert: Si enim non esset schismaticus ab alienatus ab Apostolica, catholica Romana Ecclesia, oportuit eum nescientem antiquorum Sanctorum martyrum summorum Pontificum epistolas, interim respondere ac dicere, Nicænam Synodum, Romanos intelligere Sardicensem. Quippè Sardicensis est pars Nicænæ, germen, & appendix illius, paulo post ab ijsdem Patribus fermè post vigesimum septimum, vel nonum annum celebrata, & non impudenter mentiri dicendo, non esse Canonem Nicænum. Non enim solum est Nicænus, sed Christi, sed Apostolorum ante Synodum Nicænam, & ipsius Nicenæ, & Sardicensis est Canon appellationis. Frustrà igitur Zonaras adnotat circa finem quinti Canonis Sardicensis: Huius Canonis decreto summi Sacerdotes antiquæ Romę in quacunque causa ab Episcopis prouocationem ad ipsos dari iactant; ac eundem in prima Nicęna Oecumenica Synodo conditum fuisse falsò affirmant. Quod quidem cum in Synodo Chartaginensi propositum fuisset, minimè cum veritate consentire probatum est. Vt satis quę ante Canonũ expositionem ab ipsa Synodo scripta testantur. Neque igitur hic Canon à Nicęna Synodo editus fuit, neq; ad ipsũ (Romanum Pontificem) prouocationes ab omnibus Episcopis, sed ab ijs tantũmodo qui eidem subiecti erant, dari oportere, decernit. Romanę autẽ Ecclesię ditioni eo tempore omnes ferè occidẽtis Ecclesię subijciebantur. Macedonię nimirum, Thessalię, Illyrici. Pelo-

μένης Ἠπείρου, αἵ τινες ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπε-
τέθησαν, ὡς ἐκείνῳ λοιπὸν τὰς ἐκκλήτους ἀνήκειν.

Ἐν ταύτῃ τῇ ἐπισημειώσει ὁ Ζωναρᾶς πολλὰ ψεύδεται·
Τὸ μὲν οὖν πρῶτον μακρὰν ἀπέχειν δοκεῖ τοῦ σκοποῦ τοῦ
κανόνος. οὐ γὰρ λέγει ἤρεσεν, ἵνα ὁ Ῥώμης ἔχῃ τὴν ἔκ-
κλητον, ἀλλὰ ἤρεσεν ἵνα εἴ τις ἐπίσκοπος καθαιρεθεὶς ἐκ-
καλέσηται, καὶ καταφύγῃ ἐπὶ τὸν μακαριώτατον Ῥώμης ἐπί-
σκοπον, εἰ φανῇ τῷ Πάπᾳ δοθῇ ἡ ἐξέτασις τοῦ πράγματος
τοῖς ἐπισκόποις τῆς ἐπαρχίας. καὶ πάλιν εἰ θέλει ὁ κατα-
φυγὼν πρὸς τὸν Πάπαν ἐξετασθῆναι ἐκ δευτέρου τὸ πρᾶγ-
μα καὶ παρακαλῇ ἵνα ὁ Πάπας στείλῃ, εἰ οὕτως αὐτῷ φανῇ
πρεσβυτέρους ἀπὸ τῶν ἰδίων, οἵ τινες ἐξουσίαν τοῦ ἐπισκόπου
Ῥώμης ἔχοντες κρίνωσι μετὰ τῶν ἐπισκόπων τῆς ἐπαρχίας.

Εἰ δὲ κρίνοι ὁ Πάπας μὴ εἶναι ἀναγκαῖον τὸ πρᾶγμα ἐκ
δευτέρου κριθῆναι, λέγει, ἵνα γένηται ὅπερ ἂν τῇ ἐκείνου
φρονήσει δόξῃ, ὁ ταῦτα λέγων οὐκ ἐξουσίαν δίδωσι τῷ Πά-
πᾳ ἔχειν τὴν ἔκκλητον, ἀλλὰ ἐχομένην καὶ εἰθισμένην
γίνεσθαι κανονίζει, πῶς διὰ τὰς πολλὰς καὶ ἀτάκτους παρα-
νομίας τῶν Ἀρειανῶν, οἵ τινες ἐδίωκον, καὶ ἐξώριζον, ἐχει-
ροτόνουν ἐπισκόπους κατὰ τὴν ἰδίαν αὐτῶν βούλησιν, ὡς μαρ-
τυροῦσιν αἱ ἱστορίαι, καὶ παρήκουον τοῦ Πάπα δεχομένου τοὺς
προσφεύγοντας αὐτῷ ἐπισκόπους, βούλεται γοῦν ὁ κανὼν,
ὡς καὶ ἐξ αὐτῶν αὐτοῦ τῶν ῥημάτων ἐστὶ φανερὸν, ἵνα μὴ ἐκ-
πίπτωσιν οἱ ἐπίσκοποι τῶν ἰδίων θρόνων δυναστικῶς, ἀλλ᾽ ἔ-
χωσι καὶ δεύτερον ἐξειπεῖν τὰ ἑαυτῶν δίκαια διὰ τῆς παρὰ
τοῦ Πάπα συνήθους βοηθείας. ὥστε οὐ νομοθετεῖ τὴν ἔκκλητον
ὁ κανὼν, ἀλλὰ πῶς ἂν ἔχοιεν ἱκανὴν βοήθειαν οἱ ἐπίσκο-
ποι διορίζει. ὅθεν οὐ λέγει ὁ ἐπίσκοπος ἐκβληθεὶς ἐκ-
καλείσθω τὴν κρίσιν ἐπὶ τὸν Πάπαν ἀλλ᾽ ἐκκαλεσαμένου τοῦ
ἐπισκόπου, τὸ πᾶν ἔσω τῆς ἐξουσίας καὶ θελήσεως τοῦ Πάπα,
καὶ αἱ κρίσεις καὶ αἱ ἀνακρίσεις, εἰ δὲ παρὰ τοῦ κανόνος ἔλα-
βε τὴν ἐξουσίαν τῆς ἐκκλήτου ὁ Πάπας, πῶς ἄρα πρὸ τοῦ
γενέσθαι τοῦτον τὸν κανόνα Ἀθανάσιος αὐτὸς καὶ οἱ ἄλλοι τῆς

ἀνα-

loponesi,& eius quæ Epirus dicitur, quę posteà in Constantinopolitani iura transiere; vt proinde ad illum prouocationes ex his locis referri sit consentaneum. ita Ioannes Zonaras.

In hac notatione Zonaras multa mẽtitur. Primum igitur à scopo Canonis lõgè abesse videtur. non enim asserit, placuit, vt Romanus Pontifex appellationem habeat; sed si quis Episcopus depositus ad beatissimũ Episcopũ Romanũ appellauerit, & ad eũ cõfugerit, & visum fuerit Papę Episcopis Prouincię negotiũ committẽdum esse: & rursus, si qui cõfugerit voluerit secũdo, vt inquiratur negotiũ, & supplicauerit Papę, vt mittat suos presbyteros, qui accepta potestate à Romano Põtifice vnà cum Episcopis Prouincię iudicẽt. Quod si Romanus Põtifex iudicauerit, non esse necessariũ vt negotiũ secũdo iudicetur, fiat quod suę prudẽtię visum fuerit. Qui hęc profert, non prębet Põtifici facultatẽ habẽdi appellationem, sed eã cũ habeat consuetã decernit, qua rãtione ob improbam nequitiã Arianorũ, qui persequebãtur Episcopos, & eos in exiliũ mittebãt, & alios cõsecrabant, iuxta volũtatem propriã vt testantur Historię, & nõ obediebant Papæ qui Episcopos ad eũ confugiẽtes suscipiebat &c. vult igitur Canõ vt ex ipsiusmet verbis cõstat, ne expellãtur Episcopi per vim à suis sedibus, sed habeãt semel & iterũ promouẽdi sua iura ob cõsuetũ à Papa pręstitum auxiliũ. Quare non decernit Canõ appellationẽ, sed qua ratione Episcopi habeãt sufficiẽs auxilium determinat. Quare nõ dicit Episcopus depositus appellet ad iudiciũ Põtificis, sed Episcopo appellãte totũ sit in potestate & volũtate Papę, & ipsa iudicia exercẽdi & etiam eadem iudicia ad inuestigãdum verum renouãdi. Quod si Papa accepisset facultatẽ appellationis à Canone, qua igitur ratione, antequã fieret ipse Canõ Athanasius ipse & alij

ἀνατολικῆς ἐκκλησίας ὀρθόδοξοι ἐπίσκοποι· ὡς μαρτυροῦσιν αἱ προειρημέναι ἱστορίαι, κατέφυγον πρὸς τὸν Πάπαν, ἅτε δὴ ὡς λέγει Σωκράτης προνόμια ἐχούσης τῆς ἐν Ῥώμῃ ἐκκλησίας. πάντως δὲ οἱ ταῦτα λέγοντες εἰσὶν ἀνατολικοὶ καὶ Γραικοὶ πολλοί, καὶ τινὲς αὐτῶν ἅγιοι καὶ οἰκουμενικοὶ διδάσκαλοι, καὶ ἀρχαιότεροι τοῦ Ζωναρᾶ ὃς ἔγραψεν ἐν καιρῷ τοῦ σχίσματος.

Δεύτερον ἁμαρτάνει, εἰ γὰρ ἐστι κανὼν τῆς ἐν Σαρδικῇ, διατὶ ἐξηγούμενος τοὺς ἐν Καρθαγένῃ ὕστερον γεγενημένους κανόνας οὐ παράγει, καὶ οὐ σαφηνίζει, ἐκείνους τοὺς πατέρας ὀφείλειν φυλάττειν τοὺς παλαιοὺς κανόνας τῶν συνόδων; ὥστε ἐκεῖνοι ἁμαρτάνουσι μὲν ὑπ' ἀμαθείας μὴ εἰδότες τὴν ἐν Σαρδικῇ σύνοδον λαμβανομένην παρὰ τῆς ἐν Νικαίᾳ, εἴτε δὲ ὑπὸ φθόνου καὶ πονηρίας. Καὶ ταῦτα ἐν τῇ ὀγδόῃ οἰκουμενικῇ συνόδῳ ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου συγκροτηθείσῃ περὶ τῆς ἐκκλήτου τοῦ Πάπα φασκούσῃ πράξει ἕκτῃ. εὕρηται τοίνυν ἡ ἐν Σαρδικῇ σύνοδος προαρχήσασα μᾶλλον τῇ κρίσει Ζωσίμου. Ὁ δὲ Ζωναρᾶς καὶ οἱ κατ' αὐτὸν μεταγενέστεροι, οὐδ' ὅλως εἴδασιν εἰ εὑρίσκεται σύνοδος κατὰ Φωτίου, καὶ ταῦτα οἰκουμενική. εἰ καὶ ὕστερον μετὰ τὴν κοίμησιν τοῦ ἁγίου Ἰγνατίου ὁ Πάπας Ἰωάννης ὁ ὄγδοος ταῖς πρεσβείαις τοῦ βασιλέως ἀπατηθεὶς, τὸν Φώτιον ἀποκατέστησεν εἰς τὸν θρόνον. Ὁ δὲ τοὺς λεγάτους τοῦ Πάπα Παῦλον καὶ Εὐγένιον, καὶ αὐτὸν τὸν βασιλέα φενακίσας, τὴν ἐπιστολὴν Ἰωάννου διαφθείρει πλεῖστα ἐναλλάξας, καὶ τὰς προγεγενημένας συνόδους Νικολάου καὶ Ἀδριανοῦ καταργεῖ, καὶ ἀφανίζει πάντας· αὐτὸς λῃστρικὴν καὶ ψευδοσύνοδον, ἐν ᾗ τὸ ἴδιον ὄνομα προστίθησι, καὶ κανόνας ψευδεπιπλάστους ἐπιφαίνεται ὡς οἰκουμενικούς, καὶ τὴν οἰκουμενικὴν δῆθεν ἑβδόμην σύνοδον ἐπιβεβαιοῦντας κατὰ τῶν εἰκονομάχων. τὴν γὰρ ὀγδόην κατ' αὐτοῦ συστᾶσαν, οὐδ' ὅλως ὀνομάσαι βούλεται, καὶ τὴν ἴσην τῷ Πάπᾳ, εἰ μὴ καὶ μείζονα ἐξουσίαν αὐτῷ οἰκειοῦται. ταύτην ὀγδόην οἱ Γραικοὶ ὀνομάζουσι, καὶ ὁ Ζωναρᾶς καὶ ὁ Βαλσα-

μῶν

non pauci Orientalis Ecclesiæ Episcopi orthodoxi, vt testantur prædictæ Historiæ, confugium habuerunt ad pontificem qui eis Ecclesias proprias restituit. Quippe Ecclesia Romana teste Socrate, habuerit priuilegia hęc faciendi. Qui verò hęc asserunt sunt omninò Orientales Gręci & nonnulli eorum Sancti Oecumenici doctores, atque antiquiores ipso Zonara qui tempore Schismatis scripsit.

Secundò peccat, si enim Canon est Sardicensis; cur exponẽs Canones Chartaginẽses posteà factos, non producit, neque declarat, illos Patres debere seruare antiquos Canones Conciliorum? Quare illi peccãt quidem ex ignorantia, cum nesciant Synodum Sardicensem accipi pro Nicęna; iste verò ex liuore & malignitate. pręsertim cum in octaua œcumenica Synodo Constantinopoli aduersus photium celebrata de appellatione ad Papam; actione 6. hæc habeantur. Synodus ergo Sardicensis Zosimi iudicium voluit sequi. At Zonaras & posteriores sui similes, neque omninò sciunt, si reperitur Synodus contra photium. Quamuis postea post mortem Sancti Ignatij Romanus pontifex Ioannes VIII. pręcibus Imperatoris deceptus, photium restituerit in thronum Constantinopolitanum. Is verò legatos Pontificis Paulum, & Eugenium, & ipsum Imperatorem deludens, epistola Ioannis corrupta, & in multis immutata, antiquas Synodos Nicolai Primi, & Adriani Secundi, abrogat. Ficto conciliabulo, in quo suum nomen proponit, & Canones fictos decernit, tanquam œcumenicos, qui septimam œcumenicam Synodum confirmãt aduersus Iconomachos. Octauam siquidẽ Synodum contra ipsum congregatam, nequidem nominare vult, & ęqualem sibi, nisi etiam maiorem potestatẽ cum Papa appropriat. Hanc

μῶν ἐξηγοῦνται. διὸ καὶ ὁ χιλιαστὴς ἐν τῇ πρώτῃ πράξει δι' ἐρυθρῶν γραμμάτων, ἔγραψε, φησὶ, καὶ ἐνταῦθα τὴν κακουργικὴν σκαιότητα Φωτίου καὶ ὑπόμωρον, μαρτυροῦσαν, ὡς αὐτοῦ ὦσι σοφίσματα, καὶ τεχνάσματα ταῦτα τὰ λεγόμενα πρακτικὰ τῆς ὀγδόης συνόδου. καὶ γὰρ τῇ αἱρέσει δῆθεν εὐφημίᾳ προσετάττε ἑαυτὸν τοῦ Ῥώμης Ἰωάννου οὕτω μετὰ ταῦτα πολὺ χεῖρον ὁ Φώτιος γενόμενος παντελῶς μετὰ τῶν συμμύστων αὐτοῦ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ταὐτὸν δ' εἰπεῖν καὶ τοῦ Χριστοῦ, ἀπηλλοτρίωται· ὅθεν ἐν τῇ ὀρθοδοξίᾳ παρὰ τῷ Τριωδίῳ οἱ Γραικοὶ οὐκ ηὐλαβήθησαν τυπῶσαι, Ἰγνατίου καὶ Φωτίου τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων πατριαρχῶν αἰωνία ἡ μνήμη, τρίς. καίτοι κορυφαῖος τοῦ σχίσματος καὶ τῆς κακοδοξίας ὁ Φώτιος. καὶ ἐν τῷ αὐτῷ χωρίῳ, φασὶν, ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Ἰγνατίου καὶ Φωτίου γραφέντα, ἢ λαληθέντα, ἀνάθεμα, τρίς. οὕτω τὴν ὀγδόην οἰκουμενικὴν σύνοδον, καὶ τὸν Φώτιον πλεῖστα λαλήσαντα καὶ γράψαντα, καὶ ψευδῶς πλάσαντα κατὰ Ἰγνατίου, ἄκοντες καὶ μὴ εἰδότες ἀναθεματίζουσιν οἱ Γραικοί. καὶ τὸν Φώτιον τὸ δεύτερον ὑπὸ τοῦ βασιλέως Λέοντος ἐξορισθέντα διὰ τὴν ἀσυμφωνίαν τῶν δογμάτων καὶ κακῶς τελευτήσαντα, ἅγιον ὀνομάζουσι.

Μετὰ τὴν πικρὰν τοῦ Φωτίου ἀνάλυσιν ἐν τῷ προτεμενίσματι τῆς μεγάλης σοφίας, ἣν τύποις κεχαραγμένη μετὰ τὰς ἑπτὰ συνόδοις αὕτη ἡ ὀγδόη καὶ γνησία σύνοδος τούτοις τοῖς ῥήμασιν. Ογδόη δὲ ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τῆς βασιλείας Βασιλείου καὶ τῶν τριῶν υἱῶν αὐτοῦ Κωνσταντίνου Λέοντος καὶ Ἀλεξάνδρου. ἐπὶ Ἀδριανοῦ Πάπα Ῥώμης καὶ Ἰγνατίου τοῦ νέου Θεοφόρου καὶ ὁμολογητοῦ πατριάρχου Κωνσταντινουπόλεως. καὶ τῶν ἱερωτάτων τοποτηρητῶν τῆς τε πρεσβυτέρας Ῥώμης καὶ τῶν λοιπῶν ἀνατολικῶν πατριαρχικῶν θρόνων, καὶ ἑκατὸν δύο ἐπισκόπων, ἐξάρχοντος τῆς συνόδου Μαρίνου τοῦ θεολήπτου ἀρχιδιακόνου τῆς ἀποστολικῆς Ῥωμαίων ἐκκλησίας τοῦ μετὰ ταῦτα γεγονότος Πάπα. συνηθροίσθη δὲ κατὰ Φωτίου τοῦ παραβάτου,

Græci octauam nominant, Zonaras que & Balſamon inteprętantur. Quocirca & Scholiaſta in prima actione rubris literis notat: vide, inquit, etiam hic malitioſam peruerſitatem Photij, ſubdoloſam, & ſtultam, quæ teſtatur ipſius eſſe ſophiſmata, & machinamenta, quæ dicuntur acta octauæ Synodi. Quippe in acclamatione Ioanni Romano Pontifici ſe ipſum præpoſuit. Sic deinceps Photius longè peior factus cum ſuis ſocijs penitus à Romana Eccleſia, idē verò eſt dicere à Chriſti, defecit, & abalienatus eſt. vnde in Orthodoxia apud Triodium nō reueriti ſunt Græci imprimere, Ignatij,& Photij Sanctiſſimorū & Orthodoxorū Patriarcharum ſempiterna memoria, ter. Atqui coryphæus Schiſmatis, & cacodoxiæ eſt Photius; Et in eodem loco aiunt; Omnia, quæ contra Sanctos Patriarchas Ignatium,& Photium ſcripta ſunt, ſeu dicta,anathema,ter. Sic octauam Synodum œcumenicam, & Photium,qui multa ſcripſit,dixit, & mendaciter finxit contra Sanctum Ignatium, Græci inuiti & neſcientes anathematizant, & ipſum Photium, qui ſecundò ab Imperatore Leone in exilium miſſus eſt, propter ſua ſcelera,& inconuenientiam dogmatum,peſſimè que mortuus eſt, Sanctum nominant.

Poſt acerbam Photij reſolutionem in veſtibulo S. Sophię, in marmore ſculptū erat, poſt ſeptē Synodos, hoc octauū Cōcilum his verbis: Octaua autem S.& œcumenica Synodus Cōſtātinopoli celebrāta, Imperātibus Baſilio,& tribus illius filijs Cōſtātino, Leone,& Alexādro, Adriano. II. Papa Romano, tùm Eccleſiā totā adminiſtrante, & per legatos agēte, & Ignatio, altero illo Deiphero,& cōfeſſore Patriarcha Cōſtantinopolitano,& ſacratiſſimis veteris Romę legatis,reliquarumq; Sediū patriarchaliū Vicarijs, & centū ac duobus Epiſcopis præſentibus, auſpicante Synodū Deo gratiſſimo Archidia-

cono

καὶ σαυροπάτου, καὶ καταφρονητοῦ, τῶν θείων ἐνταλμάτων, καὶ κοσμικοῦ, καὶ μοιχοῦ τῆς ἐκκλησίας, καὶ δυσεπιβήτορος ὡς λῃστρικῶς τὸν Κωνσταντινουπόλεως θρόνον.

Τρίτον ἡμαρτηκὼς φαίνεται ὁ Ζωναρᾶς ὅτι τοῦ κανόνος καθόλου περὶ παντὸς ἐπισκόπου φθεγγομένου, ὁ Ζωναρᾶς συντετμημένως φησὶν, οὔτε πάσας τὰς ἐκκλήτους τῶν ἐπισκόπων ἀνατίθησιν αὐτῷ. καὶ μὴν οἱ τῆς οἰκουμένης ἁπάσης ἐπίσκοποι ὑπόκεινται αὐτῷ.

Τέταρτον ἁμαρτάνει λέγων, ὑπέκειντο δὲ τότε τῇ Ρωμαίων ἐκκλησίᾳ αἱ δυτικαὶ πᾶσαι σχεδὸν ἐκκλησίαι, αἱ Μακεδονικαὶ δηλαδὴ, αἱ Θετταλικαὶ, αἱ τοῦ Ἰλλυρικοῦ, αἱ τῆς Ἑλλάδος καὶ τῆς τοῦ Πέλοπος, αἱ τῆς λεγομένης Ἠπείρου. καὶ τί χρὴ ταύτας ὑπαριθμεῖν, εἰ πᾶσα ἡ οἰκουμένη ὑπέκειτο ἐκ τῶν ἀψευδῶν ῥημάτων τοῦ Σωτῆρος ποίμαινε τὰ πρόβατά μου, ὡς προαπεδείξαμεν, τί χρὴ λοιπὸν περὶ τούτου μικροπρεπῶς στρέφεσθαι;

Πέμπτον ἁμαρτάνει φάσκων, αἵ τινες ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν τὰς ἐκκλήτους αὐτῶν ἀνήκειν. ποία σύνοδος, τίνες ψῆφοι τῶν πατέρων ταῦτα ἐδογμάτισαν, τοῦ Κωνσταντινουπόλεως μηδέποτε τελεωτικὴν ἔκκλητον ἐσχηκότος, εἰ μὴ μόνου τοῦ Πάπα;

Καὶ κατωτέρω ἐν τῇ αὐτῇ πραγματείᾳ ἐξηγούμενος ὁ Ζωναρᾶς τὸν τριακοστὸν πρῶτον κανόνα τῆς ἐν Καρθαγένῃ, ὅπου φασὶν οἱ πατέρες „ μὴ ἐκκαλεῖσθαι εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἄλλως γὰρ, ἵνα παρ' οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν εἰς κοινωνίαν. Ὁ Ζωναρᾶς μίγνυσι τὸν κανόνα περὶ τῆς ἐκκλήτου τῶν ἐπισκόπων μετὰ τοῦ τῶν πρεσβυτέρων, διακόνων, καὶ τῶν καταδεεστέρων κληρικῶν. σφάλλεται δὲ ὑπ' ἀμαθείας καὶ σκαιότητος ἢ καὶ πάθους οὕτω περὶ τῶν δύο τούτων κανόνων διαγνούμενος. οἴεται γὰρ βούλεσθαι τὸν Πάπαν τὴν ἔκκλητον τῶν πρεσβυτέρων καὶ ὑποδεεστέρων κληρικῶν καθάπερ τῶν ἐπισκόπων πρὸς ἑαυτὸν ἀναφέρεσθαι. ὁ δὲ Ζώσιμος κελεύει ἅπαν τοὐναντίον. ἔστειλε γὰρ πρὸς

τοὺς

cono (qui Ioanni VIII. ſucceſſit poſteà) Marino, cõtra Photium periurũ, prævaricatorem, profanum legũq; diuinarum cõtemptorẽ, adulterum Eccleſiæ, quibus, velut latro thronũ cõſtãtinopolitanũ inuaſit, & quę ſequũtur.

Tertiò peccare videtur Zonaras. Quoniã cum Canon vniuersè de omni Epiſcopo loquatur, Zonaras concisè neque omnes appellationes Epiſcoporum ipſi attribuit. Et tamen Epiſcopi totius orbis ſunt ipſi ſubiecti.

Quarto peccat dicẽs, ſubiectę verò Romanę Eccleſię erãt fortè omnes Eccleſię occidẽtales, nimirũ, Macedonię, Theſſalię, Illyrici, Gręcię, Peloponeſi, & quę dicũtur Epiri. Et quid opus eſt, eas ſubnumerare, ſi totus orbis ſubijciebatur ipſi ex veriſſimis verbis Saluatoris, paſce oues meas, quę ſunt vbique, vt anteà oſtendimus? Quid igitur opus eſt circa iſtud exiliter verſari?

Quinto peccat aſſerens; Quæ poſteà Conſtantinopolitano ſubiectæ ſunt, vt ipſi deinceps appellationes ipſarum pertineant. Quæ igitur Synodus, quæ ſuffragia Patrum hęc decreuerunt, cum Conſtantinopolitanus nunquam vltimam appellationem obtinuerit, niſi ſolus Pontifex Romanus?

Et paulo infra in eodẽ tractatu, exponens Zonaras trigeſimum primũ Canonẽ Chartaginenſem, vbi fatẽtur Patres, non eſſe appellandum ad iudicia, quę ſunt vltra mare, aliter enim. vt à nemine in Aphrica ad communionem recipiantur; Zonaras coniũgit Canonem appellationis Epiſcoporum cum iſto presbyterorum, Diaconorum, & inferiorum clericorum. Errat autem propter ignorantiam, & ineptitudinẽ, vel etiam paſſionẽ, & malitiam, ita hos duos Canones intelligẽs. Exiſtimat enim Pontificem velle appellationẽ Presbyterorũ, & inferiorum clericorũ ſimiliter atq; Epiſcoporum ad ipſum inferendas eſſe. At Zoſimus Papa totũ oppoſitũ pręcipit.

Quippè

τοὺς Ἀφρικανοὺς, ἵνα φυλαχθῶσιν οὗτοι οἱ δύο κανόνες. καὶ οἱ μὲν ἐπίσκοποι ἔχωσι τὴν ἔκκλητον πρὸς τὸν Πάπαν, οἱ δὲ πρεσβύτεροι καὶ διάκονοι πρὸς τοὺς ἰδίους ἐπισκόπους· ὡς δῆλον ἐκ τοῦ Κομμωνιτορίου, οὗπερ Ναυάτος ἐπίσκοπος λεγάτος τῆς Μαυριτανίας Σιτιφένσης μνημονεύει, οὑτωσὶ λέγων. μεμνήμεθα τοῦτο τὸ Κομμωνιτόριον περὶ πρεσβυτέρων, ἔτι μὴν διακόνων περιέχειν, πῶς ὀφείλουσιν ἀπὸ τῶν ἰδίων ἐπισκόπων, ἢ ἐκ τῶν ὁμορούντων ἀκούεσθαι, ὅπερ ἐν τῇ Νικαέων συνόδῳ οὐδαμῶς ἀνέγνωμεν. Οὐκ ἄρα ἐκ τούτου τοῦ κανόνος τῶν πρεσβυτέρων αὐχοῦντο οἱ τῆς Ῥώμης ἀρχιερεῖς ἔχειν πάσας τὰς ἐκκλήτους, ἀλλ᾽ ἐκ τῶν ἄλλων κανόνων τῆς ἐν Σαρδικῇ. ἡ γὰρ ἐν Σαρδικῇ σύνοδος ἐν τῷ δ. κανόνι καὶ ζ. διορίζουσα τὴν ἔκκλητον τῶν ἐπισκόπων ἀναφέρεσθαι πρὸς τὸν Ῥώμης, ἡ αὐτὴ σύνοδος ἐν ιζ. κανόνι βούλεται τοὺς πρεσβυτέρους, διακόνους, καὶ κατωτέροις κληρικοὺς ὑπὸ τῶν ἰδίων ἐπισκόπων κρίνεσθαι τῆς ἐπαρχίας. εἰ δὲ μὴ τοῦτο ἀναδέχοιντο οἱ κληρικοὶ ἐκ συναινέσεως τῶν ἰδίων ἐπισκόπων παρὰ τῶν γειτόνων ἐπισκόπων τὴν κρίσιν κωδωνίζεσθαι. Καὶ σημείωσαι ὅτι οἱ κανονισταὶ τῶν Γραικῶν διαφόρων συνόδων τῶν Ἀφρικανῶν τοὺς κανόνας ὡς μιᾶς οὔσης συναθροίσαντες ἔθεσαν. οἵτινες παρὰ τοῖς Λατίνοις ἐν ταῖς συνόδοις εἰ καὶ συγχέονταί πως ἐν πολλοῖς, ὅμως εἰσὶ διῃρημένοι, ὡς ἐπὶ παραδείγματος ὁ λα. παρὰ Γραικοῖς, ἐστὶν κβ. παρὰ Λατίνοις τῆς Μηλεβιτάνης συνόδου.

Εἰ δὲ καὶ περὶ τῆς ἐκκλήτου τῶν ἐπισκόπων ἦν ὁ λόγος τῆς συνόδου, ὤφειλεν ὁ Ζωναρᾶς δηλῶσαι τὴν ἀλήθειαν, καὶ δεῖξαι τοὺς Ἀφρικανοὺς ἐνέχεσθαι τοῖς κανόσι τῆς ἐκκλήτου ἐκ τῆς ἐν Σαρδικῇ καὶ δέον αὐτοὺς τὴν ἔκκλητον φυλάττειν. ὁ δὲ τοὐναντίον διισχυρίζεται λέγων, ἐντεῦθεν ὁ τῦφος τῆς τῶν Ῥωμαίων ἐκκλησίας καταβάλλεται αὐχούντων αὐτοῖς δεδόσθαι πάσας τὰς ἐκκλήτους τηρεῖν. εἰ γὰρ τὰς ἐκκλήτους τῶν ἐν Ἀφρικῇ, οὐ συγχωροῦνται τηρεῖν (καὶ ἡ Ῥώμη γὰρ πέραν θαλάσσης διάκειται πρὸς τὴν Ἀφρικὴν) πολλῷ

μᾶλλον

Quippè misit ad Aphricanos, vt hos duos Canones seruent; & Episcopi quidem appellationem habeant ad pōtificem, Presbyteri verò, & Diaconi ad proprios Episcopos, vt cōstat ex Commonitorio cuius Nauatus Episcopus Legatus Mauritaniæ Sisiphensis memoriam facit, sic dicens: Nunc huius meminimus quod Commonitorium Presbyteros, etiam Diaconos comprehendit, quod debeant à proprijs Episcopis, vel à vicinis audiri, quod sanè in Nicæna Synodo minimè legimus. Sic illle. Non igitur ex hoc Canone presbyterorum iactant se Romani Pontifices habere appellationes, sed ex alijs Canonibus Concilij Sardicensis. Quippè Sardicense Concilium in 4. Canone, & 7. determinat appellationem Episcoporum referendam esse ad Pontificem. Idem Concilium in 17. Canone vult, Presbyteros, Diaconos, & inferiores Clericos à proprijs Episcopis prouinciȩ iudicādos esse; sin autē istud Clerici recipere, & acceptare noluerint, ex consensu suorum Episcoporum à vicinis Episcopis causam illorū esse examinandam. Et nota, quod Canonistæ Græcorum, diuersorum Cōcilorum Aphricanorum Canones, tanquam vnius essent Concilij, in vnum collegerunt. Qui apud Latinos in concilijs, quamuis quodammodo sint inordinatè positi, nihilominus sunt diuisi, vt verbi gratia, trigesimus primus apud Græcos, est vigesimus secūdus àpud Latinos Mileuitani Cōcilij.

Quod si etiā Synodus loqueretur de appellationibus Episcoporū, Zonaras debuisset declarare veritatem & ostēdere Aphricanos teneri obseruare Canones prouocationis Cōcilij Sardicēsis. Is verò contrarium conatur probare dicēs: hinc certè vētosa illa Romanorū Ecclesiȩ superbia ab alijs omnibus Ecclesijs ad illā prouocationes dari iactantiū, subsidat, necesse est. Si enim ab Aphricanis Ecclesijs non datur (& quidem certè Roma trans

μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξουσι τοιοῦτον δίκαιον.

Ἀλλ' οὐχ οὕτως ὁ θαυμάσιος Αὐγουστῖνος ἐν τῇ ἑκατοστῇ ἑξηκοστῇ δευτέρᾳ ἐπιστολῇ καὶ ἀνάγνωθι. Οὐδὲ ὁ μέγας Ἀθανάσιος, ὡς ἔστιν ἰδεῖν ἐν τῇ ἐπιστολῇ πρὸς τοὺς τὸν μονήρη βίον ἀσκοῦντας, κληθεὶς γὰρ παρὰ Ἰουλίου πρὸς κρίσιν, ὅς τις κέκληκε καὶ τοὺς Ἀρειανοὺς πέμψας τοὺς ἑαυτοῦ πρεσβυτέρους Ἐλπίδιον καὶ Φιλόξενον, ὁρίσας καὶ προθεσμίαν, ἵνα ἢ ἔλθωσιν, ἢ γινώσκοιεν ἑαυτοὺς ὑπόπτους εἶναι κατὰ πάντα, καὶ περὶ μὲν ἑαυτοῦ Ἀθανάσιος φησὶ, καὶ μόνον ἀκούσας ἔπλευσεν, εἰς τὴν Ῥώμην, (σημείωσαι τὸ ἔπλευσεν εἰς τὴν Ῥώμην) περὶ δὲ ἐκείνων, ἀλλ' οἱ περὶ Εὐσέβιον, ὡς μόνον ἤκουσαν ἐκκλησιαστικὴν ἔσεσθαι κρίσιν, ἐν ᾗ κόμης οὐ παραγίνεται, οὐ στρατιώτης πρὸ τῶν θυρῶν, οὐ βασιλικῷ προστάγματι τὰ τῆς συνόδου τελευτᾷ, ἐν τούτοις γὰρ ἀεὶ κατὰ τῶν ἐπισκόπων ἴσχυσαν, καὶ ἄνευ τούτων οὐδ' ὅλως λαλῆσαι θαῤῥοῦσιν, οὕτω κατέπληξαν, ὡς τοὺς μὲν πρεσβυτέρους κατασχεῖν, καὶ μετὰ τὴν προθεσμίαν, πλάσασθαι δὲ πρόφασιν ἀπρεπῆ, ὅτι μὴ δυνάμεθα νῦν ἐλθεῖν διὰ τοὺς παρὰ τῶν Περσῶν γινομένους πολέμους. τοῦτο δὲ οὐκ ἦν ἀληθὲς, ἀλλὰ φόβος τοῦ συνειδότος. προστίθησι δὲ Ἀθανάσιος ἅπαν τοὐναντίον, παρ' ὃ λέγει ὁ Ζωναρᾶς. ἔδει γὰρ, φησὶν, αὐτοὺς παρεῖναι, διότι ἡ Ῥώμη ἦν μακρὰν που κειμένη ἀπὸ τῶν Περσῶν, καὶ πέραν θαλάσσης. τί γὰρ, φησὶ, κοινὸν πόλεμος πρὸς ἐπισκόπους, ἢ διατὶ μὴ δυνάμενοι διὰ τοὺς Πέρσας εἰς Ῥώμην ἐλθεῖν, καίτοι μακρὰν ἀπέχουσαν, καὶ πέραν θαλάττης οὖσαν, τοὺς τῆς ἀνατολῆς τόπους καὶ τοὺς ἐγγὺς ἐκείνων περιέρχονται;

Οἱ δὲ τῆς δευτέρας οἰκουμενικῆς συνόδου πατέρες προσκαλούμενοι ὑπὸ Δαμάσου τοῦ Πάπα παραγενέσθαι εἰς τὴν μέλλουσαν ἐν Ῥώμῃ συγκροτηθήσεσθαι σύνοδον, οὐκ εἶπον μὴ δύνασθαι ἐλθεῖν, ὅτι ἡ Ῥώμη πέραν θαλάσσης ἐτύγχανεν, ἀλλ' ᾐτιῶντο τὸ στενὸν τῆς προθεσμίας, καὶ τὸ πρὸς οὕτω μακρὰν ὁδὸν μὴ εἶναι παρεσκευασμένους μήτε μεθ' ἑαυτῶν

ἔχειν

mare, si ad Aphricam comparetur) multo minus in regiones magis adhuc sepositas, ius eiusmodi obtinebit.

At non ita admirandus Augustinus in epistola 162. & lege eam. Neque magnus Athanasius, qui vocatus est ad iudicium vt est videre in epistola ad solitariam vitam agentes, à Iulio; qui etiam per suos presbyteros Elpidium, & Philoxenem literis missis ad Eusebianos vocauit eos certum diem definiens propter causam Athanasij, vt aut præsentes se sisterent, aut cognoscerent se omnibus modis suspectos haberi, de se Athanasius autē quidem dicit, & semel audiēs Romam nauigauit, de illis autem, Eusebiani, inquit, vbi semel audiuissent, iudicium fore Ecclesiasticum, vbi neque Comes affuturus esset, neque Satellites pro foribus excubarēt, nec ex Imperatoris præscripto omnia fierent, quibus rationibus & non alijs Episcopos vicerant, immò qui sine hoc præsidio ne loqui quidem auderent, ità inhorruerunt, & metu contracti sunt, vt Presbyteros detinerent vltra diem condictam, excusationem interim turpem fingentes, se ob bella Persarum venire non posse, sed in ea re nihil veri; metus enim conscientiæ eos impediebat. Addit Athanasius totū oppositum illius quod ait Zonaras, propterea debuisse venire, quod Roma valdè longè distaret à Persis, & transmarina esset, quid enim, inquit, negotij Episcopis cum bello, aut quid obstaculi illis à Persis oriebatur, quo minus Romam quamuis longinquam, & transmarinam Vrbem proficiscerentur?

Patres verò secundi Concilij Oecumenici inuitati à Romano Papa ad Concilium Romanum, uon dixerunt se non posse venire, quod Roma esset vltra mare, sed excusarunt se propter angustias præscripti tēporis, & quod ad tam longum iter non essent parati, neque secum accepissent consensum aliorum Episcoporum,

Ee 2 qui

ἔχειν τὴν συνάγερσιν τῶν ἐναπομεινάντων ἐπισκόπων. καὶ οὐδὲν ἧττον αὐτ᾽ αὐτῶν τρεῖς τῶν ἐπισκόπων διὰ θαλάσσης ἐκ τῆς Κωνσταντινουπόλεως εἰς τὴν Ῥώμην ἔστειλαν. ὥστε λῆρον ληρεῖ ὁ Ζωναρᾶς, καὶ ἀναισχύντως ψεύδεται.

Οὐχ οὕτως ὁ μέγας Βασίλειος ἐν τῇ πεντηκοστῇ δευτέρᾳ ἐπιστολῇ πρὸς τὸν μέγαν Ἀθανάσιον, ἐν ᾗ φησίν, ἐφάνη δὲ ἡμῖν ἀκόλουθον ἐπιστεῖλαι τῷ ἐπισκόπῳ Ῥώμης (δηλονότι ἀπωτέρω τυγχάνοντι, καὶ πέραν θαλάσσης) ἐπισκέψασθαι τὰ ἐνταῦθα καὶ δοῦναι γνώμην, ἵνα ἐπειδὴ ἀπὸ κοινοῦ καὶ συνοδικοῦ δόγματος ἀποσταλῆναί τινας δύσκολον τῶν ἐκεῖθεν, αὐτὸν αὐθεντῆσαι (σημείωσαι) περὶ τὸ πρᾶγμα, ἐκλεξάμενον ἄνδρας ἱκανοὺς μὲν ὁδοιπορίας πόνους διενεγκεῖν, ἱκανοὺς δὲ πρᾳότητι καὶ ἀπονείᾳ (lentitudine μὴ τραχύτητι) ἤθους τοὺς ἐνδιαστρόφους τῶν παρ᾽ ἡμῖν νουθετῆσαι, ἐπιτηδείως καὶ οἰκονομικῶς κεχρημένους τῷ λόγῳ, καὶ πάντα ἔχοντας μεθ᾽ ἑαυτῶν τὰ ἐν Ἀριμίνῳ πεπραγμένα, ἐπὶ λύσει τῶν κατ᾽ ἀνάγκην ἐκεῖ γινομένων. καὶ τοῦτο μηδενὸς εἰδότος ἀψοφητὶ διὰ θαλάσσης ἐπιστῆναι τοῖς ὧδε, ὑπὲρ τοῦ φθάσαι τὴν αἴσθησιν τῶν ἐχθρῶν τῆς εἰρήνης.

Καὶ ἐν τῇ πεντηκοστῇ ἑβδόμῃ ἐπιστολῇ πρὸς τὸν ἅγιον Μελέτιον ἐπίσκοπον Ἀντιοχείας φησὶν ὁ οὐρανοφάντωρ σχεδὸν τὰ αὐτὰ ῥήματα. Γνώμη ἐκράτησεν ἐπὶ τὴν Ῥώμην διαβῆναι τὸν αὐτὸν τοῦτον ἀδελφὸν Δωρόθεον διαναστῆσαι τινὰς τῶν ἀπὸ τῆς Ἰταλίας πρὸς τὴν ἐπίσκεψιν ἡμῶν, θαλάσσῃ χρησαμένους, ἵνα τοὺς ἐμποδίζοντας διαφύγωσι. Ποίων οὖν ὁ σατανικὸς τῦφος καταβάλλεται τῶν Ῥωμαίων ἢ τῶν Κωνσταντινοπολιτῶν ὁ βουλόμενος κρινάτω.

Ἀλλ᾽ ἐπάνειμι ὅθεν ἐξέβην καὶ τὴν τῶν Ἀρειανιζόντων ἐπιστολὴν, τῶν ἐν Ἀντιοχείᾳ συναθροισθέντων εἰς σύστασιν τῆς ἀληθείας παραστήσω, ἐκεῖνοι, ὡς λέγει Σωζόμενος, κεκαλλιεπημένην, καὶ δικανικῶς συντεταγμένην, ἐπέστειλαν. δι᾽ ἧς ἀπεκρίθησαν τῷ Πάπᾳ, καλέσαντι αὐτοὺς εἰς κρίσιν ἐπὶ τὴν Ῥώμην. οὐ καθὼς δὲ αὐτοὶ πρῶτον

ξυνέ-

qui remanſerant; & tamen loco illorum tres Epiſcopos Conſtantinopoli Romam per mare miſerunt. Quare ſunt meræ nugæ Zonaræ, & impudenter mentitur.

Neque magnus Baſilius in epiſtola 52. ad magnum Athanaſiũ hoc idem teſtatur, in qua dicit: Viſũ eſt conſentaneũ ſcribere ad Epiſcopum Romanum, vt loca iſta viſitet, (quæ lõgius à Roma diſtãt, & ſunt vltra mare) & ſentẽtiam pronunciet, vt quia difficile eſt, mittere inde aliquos cõmuni, & Synodica facultate, ipſe ſua auctoritate (nota) rem cõficiat, delectis viris, qui laborẽ quidẽ itineris perferre poſſint, lenitate verò ac facilitate morũ, tum cõmoda, & prudẽti oratione eos, qui à recta via deflexerũt, monere, quiq; acta Ariminẽſis Cõcilij ſecum ferant ad ea reſcindẽda, quæ illic violenter acta ſunt. Et hoc nemine ſciente, abſque ſtrepitu, tacitè per mare ad eos, qui hic ſunt, vadant, ne pacis inimici aduentum ipſorum præſentiſcant.

Et in epiſtola 57. ad S. Meletium Epiſcopum Antiochenum eadem ferè verba Baſilius cœleſtium rerũ peritiſſimus enunciat. Decretum eſt, vt hic ipſe frater noſter Dorotheus Romam vſque proficiſcatur, & permoueat quoſdam ex Italia, vt nos viſitent, idque per mare (nota) quo eos fugiant, à quibus poſſent impediri. Quorum igitur, non dicam ventoſa, ſed Satanica ſuperbia reijcitur, ac deprimitur Romanorum ne, an Conſtantinopolitanorum, qui vult, iudicet.

Sed redeo, vnde exiui, & Arianorum epiſtolam, qui Antiochiæ congregati erant, in confirmationem veritatis adducam, quam ipſi, vt ait Sozomenus, ornatam & more iudiciali compoſitam, miſerunt. Per quam reſponderunt Pontifici, qui eos Romam vocauerat ad iudicium. Non autem ſicut ipſi primùm græcè ſcripſerant, (neque enim reperitur) ſed ex Romano

no

ξυνέγραψαν ἑλληνικῶς, οὐδὲ γὰρ διέστηκεν, ἀλλ' ἐκ τοῦ Ῥωμαϊκοῦ εἰς τὸ ἑλληνικὸν ἡρμηνεύθη. εἰσὶ δὲ οἳ καὶ μὴ γνησίαν αὐτὴν ἀποφαίνονται. οὐ γὰρ περιέχει ἐκεῖνα πάντα πρὸς ἅπερ ἀπολογεῖται Ἰούλιος ὁ Πάπας, ἀλλ' ἴσως ἐπιστειλάντων τῶν Ἀρειανῶν διαφόρους ἀνθρώπους εἰς Ῥώμην κατὰ πολλῶν ἄλλων καὶ μάλιστα τοῦ Ἀθανασίου συνέγραψαν καὶ διαφόρους ἐπιστολάς, ἡ μὲν οὖν ἐπιστολὴ εἴπερ γνησία, οὕτως ἔχει.

Κυρίῳ μακαριωτάτῳ

ΚΑΙ ΤΙΜΙΩΤΑΤΩ ΠΑΤΡΙ ΙΟΥΛΙΩ

Τοῦ ἀποστολικοῦ θρόνου προσκυνητῷ ἐπισκόπῳ Εὐσέβιος, Θεογόνιος, Θεόδωρος καὶ Βηρίνθιος σὺν τοῖς λοιποῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν, τοῖς ἐν Ἀντιοχείᾳ συναθροισθεῖσιν.

Εἰ καὶ περὶ πάντας οἴδαμεν φιλοτιμίᾳ χρωμένην τὴν Ῥωμαϊκὴν ἐκκλησίαν, καὶ ἀποστολικὴν φροντίδα ἐπέχουσαν, καὶ ἐξ ἀρχῆς οὖσαν μητέρα τῆς εὐσεβείας, (εἰ καὶ ἐκ τῆς ἕω ἐνεδήμησαν αὐτῇ οἱ τοῦ δόγματος εἰσηγηταὶ,) ἐποθοῦμεν ὅμως συμφωνεῖν καὶ ὑμᾶς ἡμῖν, καὶ ἀκοινωνήτους εἶναι παρ' ὑμῖν οὓς ἡμεῖς ἀποκηρύκτους ἐποιησάμεθα. καὶ οὓς ἡμεῖς ἀξιοῦμεν ἐπισκοπικῆς τάξεως, καὶ παρ' ὑμῶν ἀξιοῦσθαι, καὶ μὴ παρὰ τοῦτο τὰ δευτερεῖα φέρειν ἡμᾶς. ἐπειδὴ ἐνθένδεν ὡς ὑμᾶς κηρύσσοντες ἀφίκοντο οἱ ἀπόστολοι. οὐ δὲ γὰρ ἡμεῖς τοῖς ὑμετέροις ἀντείπομεν, δυνάμενοι ἀντειπεῖν, ὅτε Ναυατιανὸς τῆς Ῥωμαίων ἐκκλησίας ἠλάθη, ὡς γὰρ ὁ κοινὸς ἔχει λόγος, ἔχθραν ζητεῖ πᾶς ὁ βουλόμενος τὴν φιλίαν ἀπείπασθαι· οὐδ' ἔστιν ἀνέγκλητος ὁ κοινωνῶν τῷ παρ' ἄλλου ἀκοινωνήτῳ παρὰ τὴν ἐκείνου γνώμην, ὑφ' οὗ τῆς κοινωνίας ἐστέρηται, κατὰ τὰ θεσπίσματα δηλαδὴ τῶν κανόνων, τὸν παρ' ἄλλων ἀκοινώνητον ὄντα, μὴ δεῖν ἑτέρους ἀποδέχεσθαι, διακελευομένων, ἐκείνων ζώντων ὑφ' ὧν ἐξεβλήθη τῆς κοινωνίας. καὶ οὐκ ἐν τούτοις μόνον ὑβρείσμεθα, ἀλλ' ἐν οἷς ἔτι τὰς ἡμετέρας συνόδους

δια-

no sermone in græcum translata est. Sunt autem qui eam non esse legitimam censent, non enim continet ea omnia ad quæ respondet Iulius Pontifex, sed fortassis cum Ariani diuersos homines miserint Romam contra multos alios & potissimum aduersus Athanasium, composuerunt etiam diuersas epistolas. igitur epistola si est legitima, sic se habet.

Domino Beatissimo
ET HONORABILI PATRI IVLIO
Apostolicæ Sedis venerabili Episcopo, Eusebius, Theogonius, Theodorus, & Berinthius vnà cum reliquis fratribus, & coepiscopis nostris in Antiochia congregatis.

LIcet, circa omnes Romanam Ecclesiam sciamus esse munificam, & apostolicam habere curam, & semper matrem existere pietatis, (quãquam ab Oriente ad eam prædicatores pietatis aduenissent) tamen optaremus vos, nobiscum concordare; & quos à cõmunione suspendimus, à vobis esse suspensos, & quos in ordine confirmamus Episcoporum à vobis esse confirmandos, cum ex his partibus ad vos vsque dogmatizantes Apostoli peruenerint. Nec enim nos vestris resultauimus, quamuis hoc agere potuissemus, quando Nouatianus à Romana expulsus est Ecclesia. Quoniã (vt iuxta vulgarẽ cõsuetudinem loquamur) inimicitias quærit omnis qui vult recedere ab amico. Nec crimine carere potest, qui alterius excommunicatũ absque eius licẽtia, à quo cõmunione est priuatus, in communionem susceperit. Canonibus scilicet iubentibus, vt excommunicatus ab alijs, ab alijs nõ suscipiatur, viuẽtibus illis, à quibus cõmunione priuatus esse dignoscitur. Nec solũ in his nobis

διαλύετε, καὶ τὰς ἀποφάσεις αἰαιρεῖτε· γεγόνασι γὰρ ἡμῖν, μάλιστα δὲ ἐν πᾶσι τοῖς ἀνὰ ἕω ἐπισκόποις ἀποκήρυκτοι Ἀθανάσιος Ἀλεξανδρείας, Παῦλος Κωνσταντινουπόλεως, Μάρκελλος Ἀγκύρας, Ἀσκληπᾶς Γάζης, καὶ Λουκιανὸς Ἀδριανουπόλεως ἐπ' αἰτίαις τισὶν ἐγκληθέντες, ὧν παρ' ἡμῖν ἐγράφησαν οἱ ἀντίδικοι. ταύτας δὲ ἁπάσας διηγήσει ἀψευδεῖ γεγραμμένας τῶν διακομιστῶν τοῦ παρόντος γράμματος τῇ ὑμετέρᾳ ἁγιότητι γνωρίσαι οὐκατωκνήσαμεν. ἃ δὴ μετὰ τὸ ἐλθεῖν εἰς ὑμετέραν ἐπίγνωσιν, εἰ τοῖς ἡμῖν δόξασι μᾶλλον, ἢ τοῖς ἐκείνων μηχανήμασι σύμψηφος εἴη, καὶ τοὺς χειροτονηθέντας ἐπισκόπους αἰτὶ τῶν ἐληλαμένων ἐπιστηρίξαι θελήσεις, εἰρήνην μεθ' ὑμῶν καὶ κοινωνίαν ἔχειν βουλόμεθα. ποιοῦντι δέ σοι ἑτέρως, κἀκείνους μᾶλλον ἢ ἡμᾶς ἀποδεχομένῳ τἀναντία προσαγορεύομεν, καὶ τοῦ λοιποῦ μεθ' ὑμῶν οὔτε συνέρχεσθαι, οὔτε ὑπακούειν ὑμῖν οὔτε ὑμᾶς οὔτε τὰ ὑμέτερα σπουδάζειν βουλόμεθα, ἀλλ' ὅπερ αὖ ὡς κρεῖττον προελώμεθα, δι' ἡμῶν πειρασόμεθα πράττειν. Οὐδεὶς γὰρ ἐπὶ τῶν ἐν ταῖς καθ' ἡμᾶς χώραις διαγόντων ἡλικίαν ἔχων ὃς οὐκ οἶδε τῶν λαοπλάνων τουτωνὶ τὰ μηχανουργήματα. δι' αὐτοὺς γὰρ πολλὰ γέγονε κακὰ, πολλαὶ μὲν διαφόρους καὶ δυσκόλους καιροὺς συγκεκρότηνται σύνοδοι, πολλαὶ στάσεις, ἔνεδραι πολλαὶ, πολλὰ ἡμῶν ὀνείδη κατακέχυται, ἄλλα τε πολλὰ, ἅπερ ἀπαριθμῆσαι μακρὸν ἂν εἴη. εἰ δὲ τούτοις συναινεῖν ἐθέλετε, πρόδηλον, ὅτι εἰς ἀπώλειαν ἡμᾶς ἐλαύνετε, καὶ οὐχὶ ὡς πατὴρ τέκνα θεραπεύετε. φασὶ γὰρ καὶ διαβεβαιοῦνται οἵ τε πολῖται καὶ ἱερεῖς αὐτῶν τοῖς αἰθρωποκτόνοις τουτοισὶ σπουδάζειν ὑμᾶς ἐθέλειν, τοῖς τὰ ἱερὰ καταστρεψαμένοις, τοῖς τῶν παρθένων διαφθορεῦσι, τοῖς ἐμπρήσασι τὰς θείας βίβλους, καὶ τὰ ἱερὰ σκεύη, καὶ τὴν λοιπὴν ἱερὰν διακονίαν καπηλευσαμένοις, τοῖς καταφρονηταῖς τοῦ καθήκοντος, τοῖς περὶ τοὺς βασιλέας ἀπίστοις, τοῖς τοῦ γένους καὶ τῆς πατρίδος προδόταις, τοῖς μεγίστην ἀλληλομαχίαν ἐν τοῖς ἱερεῦσιν ἀνάπτουσι, διὰ τὸ προσθεῖναι τῷ συμ-

συμβώ-

bis contumeliam irrogatis,ſed etiam in his,quod cõcilia noſtra diſſoluitis, neq; ea rata ſinitis eſſe. Sunt namque à nobis,& maximè à totius Orientis Epiſcopis damnati Athanaſius Alexandrinus,Paulus Cõſtantinopolitanus, Marcellus Ancyræ, Aſclepius Gazæ, Lucianus Adrianopolites pro certis criminibus, quibus aduerſarij ſunt apud nos inſcripti, quæ per præſentes huius epiſtolæ latores, omnia ſub certa relatione veſtræ innoteſcere non omittimus Sanctitati. Quibus agnitis, ſi noſtris placitis magis, quam eorum machinationibus aſſentire, & ordinatos Epiſcopos in damnatorum loco firmare eligitis, pacem vobiſcum, & communionem habere volumus. Si verò aliter egeritis, & eis amplius quam nobis aſſentire iudicaueritis, contraria celebrabimus, & vobiſcum deinceps nec congregari, nec vobis obedire, nec vobis, veſtriſque fauere volumus; ſed per nos quicquid melius elegerimus, agere conabimur. Nam nullus eſt in hac parte terrarum ętatẽ habens, qui ignoret pręd ictorũ molimina ſeductorũ; propter eos enim multa sũt mala peracta,multa Cõcilia diuerſis & aſperis temporibus celebrata, multæ ſeditiones, multæ machinationes, multa nobis opprobria allata, & alia multa, quæ enumerare perlongum eſt. Nam ſi his conſentire eligitis, tunc liquet, quod nos perdere vultis, & non vt Pater filios fouere. Dicunt enim & affirmant, tam Ciues iſtorum, quam etiam Sacerdotes eorum hos fouere vos velle homicidas, ſacrorũ templorum euerſores, Virginum ſtupratores, ſacrorum librorum incenſores, ſacrorumque vaſorum, ac cæterorum ſanctorum miniſteriorũ fraudatores, officiorum neglectores, Imperatorũ infidos, gentis & patriæ proditores, & inter Sacerdotes maximã generantes diſcordiã, eo quod conſubſtantialitatis vocem, quæ ſcripta non inuenitur,

βόλῳ τὴν ἄγραφον φωνὴν τοῦ ὁμοουσίου. τί πλείω ἀπαριθμεῖν, ὅτε διὰ τούτους, εἰδότων ἡμῶν, καὶ τῶν ἐν ταῖς χώραις ταύταις οἰκούντων, τοσοῦτος γέγονε φόνος ἀνδρῶν, ὥστε πεσεῖν ὑπὲρ τοὺς χιλίους. τὸ δὲ τοὺς τοιούτους ἀποδέχεσθαι, τί ἄλλο ἂν εἴη, ἢ τοῖς ἐκείνων συναινεῖν ἀνοσιουργήμασιν, ἀπαγορευούσης ταῦτα τῆς θείας γραφῆς, ἐν οἷς λέγει, οὐ μόνον οἱ ποιοῦντες ὑπαίτιοι. ἀλλὰ καὶ οἱ συνδοκοῦντες τοῖς πράττουσι, χρὴ γὰρ τοῖς τοιούτοις ὑμᾶς, ὅση δύναμις ἀντιτείνειν, ἵνα μὴ τῶν ἐκείνοις ἡμαρτημένων μετάσχητε, καὶ τῆς αὐτῆς ἐκείνοις ἀκοινωνησίας κοινωνοὶ γένησθε. τοὺς τοιούτους γὰρ πόῤῥω ἀφ᾽ ὑμῶν ἀποῤῥίψατε, ὅπως μὴ διὰ τὸ θράσος τοιούτων ἀνθρώπων, αἱ ἀσθενεῖς ψυχαὶ, καὶ ἀμαθεῖς δῆμοι ἱεροσύλῳ διαφωνίᾳ παραπόλωνται. προσήκει τοιγαροῦν ὑμᾶς σπουδαίως τοῖς φαύλοις ἀνθίστασθαι. ὅθεν εἰ διακόπτειν ἀμελήσετε τὴν πονηρίαν, δῆλον ὅτι, τῆς ἐκείνων προΐστασθε ἀνομίας, οὐ γὰρ ἂν ἐκφύγοι τὴν τοῦ λάθρα εἶναι τῆς αὐτῆς συμμορίας ὑποψίαν, ὁ τοῖς προφανῶς ἁμαρτανομένοις μὴ ἀντιβαίνων. πρέπει γὰρ ὑμᾶς πρὸς τὸ καθάψασθαι τῆς ἐκείνων ἀναισχυντίας, τὴν ὑμετέραν παραθῆξαι γλῶτταν, καὶ ἀφ᾽ ὑμῶν οἷα φαρμακώδεις ἀποδιῶξαι, ἵνα μὴ τύχητε τῷ ἐκείνων ἰῷ ὑμεῖς, καὶ οἱ ὑμέτεροι κατά τι πληγέντες.

Αὐτάρκεις λοιπὸν ἡμῖν αἱ κατ᾽ αὐτῶν κατηγορίαι. ἐπιλείψει γὰρ ἡμᾶς ὁ χρόνος κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο, εἰ παράγειν βουλοίμεθα πάντων τῶν ἐκείνοις αἰτιωμένων τὰς κατ᾽ αὐτῶν ἐπενεχθείσας κατηγορίας, Ἀρχόντων δὴ μάλιστα τούτων, ὧν εἰπόντες ἔφθημεν ἀνωτέρω. οὐδὲ ἀνάγκη ἡμᾶς τὰ ἐκείνων αὖθις δημοσιεύειν κακὰ, αὐτόθεν δῆλα τυγχάνοντα, καὶ μάρτυρας ἔχοντα πάντας τοὺς κατὰ τὴν ἑῴαν. ἐπὶ στόματος γὰρ, καθὰ γέγραπται, δύο μαρτύρων, ἢ τριῶν σταθήσεται πᾶν ῥῆμα. πόσῳ δὴ μᾶλλον ἐπὶ πλήθους τοσούτων ἱερέων, καὶ δήμων, Ἀββάδων, καὶ μοναχῶν ἐγγράφως καὶ ἀγράφως κατὰ τῆς ἐκείνων πονηρίας ὁσημέραι βοώντων; ἀλλ᾽ ἡμεῖς αὐτοὺς διὰ πολλῆς ὑπομονῆς συχνὸν προσεδο-

in fidei doctrina posuisset. Quid plura enumerare necesse est, cũ propter eos nobis, & cunctis huius regionis habitatoribus scientibus, tanta cædes hominum sit perpetrata vt amplius quam mille homines sint prostrati? Talibus autem fauere quid aliud est, quam sceleribus eorum consentire? cum sacra Scriptura hoc prohibeat dicens, non solum qui faciunt, culpabiles existunt, sed etiam qui consentiunt facientibus. Talibus enim vos obsistere totis viribus oportet, ne inuoluamini in peccatis eorum & excommunicationem eorum ne suscipiatis. Tales enim procul à vobis abijcite, ne propter animositatem talium hominum, infirmæ animæ, & ignari populi, sacrilega distensione dispereant. Itaque oportet vos, improbis probè resistere. Quapropter si neglexeritis deturbare peruersos, liquet, quod eorũ protegatis errorem. Nec verò caret scrupulo societatis occultæ, qui manifestis facinoribus desinit obuiare. Decet enim vos ad arguendam proteruiam eorum, linguã vestrã exacuere, & veluti venenosos à vobis repellere, ne eorum veneno vos, vestrique in aliquo sauciemini. Igitur sufficiunt nobis quærimoniæ contra eos delatæ. Quoniam derelinquet nos tempus, secundum quod ait Apostolus, si voluerimus omnium obloquentium oblatas contra eos producere querelas, maximè cum hæc nobis sufficiant, quæ superius dicta sunt. Nec nobis necesse est, iterum eorũ diuulgare mala, cum ipsa per sese prodeãt, & maximè omnes Orientales testes super eorum malis existant. In ore enim (iuxta quod scriptũ est) duorũ, vel trium testium, stabit omne verbum. quanto magis in multitudine tantorũ Sacerdotum, & populorũ, Abbatum, vel monachorũ in scripto, & sine scripto cõtra horũ prauitatem nos quotidie vox acclamantium? Nos verò diù expectauimus eos per multã patientiam,

κῶμεν χρόνον, ἵνα ποιήσωσι σταφυλὰς, οἱ δὲ ἐποίησαν ἀ-
κάνθας. οὐ χρὴ λοιπὸν ὑμᾶς ἀμελεῖν τοῦ λοιποῦ, καὶ φέρειν
τοὺς τοιούτους, ἵνα μὴ καὶ αὐτοὶ, ὅπερ ἀπείη, τῶν αὐτῶν
ἐκείνοις ἐγκλημάτων ἔνοχοι γένησθε, οὐκ εὐλόγως αὐτοῖς τοὺς
θρόνους ἀποδιδόντες. οἵτινες ἢν μὴ τὴν ταχίστην ἐπανορ-
θώσεως τύχωσιν, ὡς ὁ μακάριος ἐπιμαρτύρεται ἀπόστολος,
κατὰ τὴν σκληρότητα αὐτῶν καὶ ἀμετανόητον καρδίαν θησαυ-
ρίζουσιν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ δικαιοκρισίας
τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. οὗτοι μὲν
οὖν ἐπανορθώσεως δέονται, ἵνα μὴ διὰ τῆς προσκαίρου ἡδο-
νῆς, καὶ τῶν ψευδῶς αὐτοῖς πεπλασμένων, συγκαταινούν-
των ὑμῶν, ἀποτύχωσι τῆς ἀϊδίου μισθαποδοσίας, ἧς ἂν εἶ-
χον διὰ τῆς ἀληθοῦς μετανοίας ἀντιλαβέσθαι. καὶ οὐ ταῦτα μό-
νον, ἅπερ ἡμῖν εἴρηται, προστείνομεν Ἀθανασίῳ καὶ τοῖς
ὀπαδοῖς αὐτοῦ, ἀλλ᾽ ὅτι καὶ παρὰ κανόνα ἔναγχος ἡμῖν
τεθεσπισμένον, εἰς τὴν ἐκκλησίαν εἰσεπήδησε, μὴ προηγη-
σαμένης συνοδικῆς ἐπισκόπων ψήφου, ἀλλ᾽ ἑαυτῷ τὴν ἱε-
ρωσύνην ἐπέτρεψε, καὶ τῆς ἐκκλησίας ἀντελάβετο καὶ τοῦ
θρόνου, πρώην ἡμῖν ἐκφωνηθέντος θεσμοῦ, μηδένα παρ᾽ ἐ-
λάττονος ἀριθμοῦ ἐπισκόπων ἀποκαθίστασθαι, ἢ τυγχάνει
καθαιρεθείς. ἐπὶ τούτοις ἔτι ἐν τῇ εἰσόδῳ αὐτοῦ ταραχὴ
ἐγένετο, καὶ πολλοὶ ἐν τῇ στάσει ἀπέθανον. καὶ οὐ ταῦτα μό-
νον δι᾽ αὐτοῦ καὶ δι᾽ αὐτὸν ἐγένοντο, ἀλλὰ καί τινες ὑπ᾽ αὐ-
τοῦ αἰκισθέντες τοῦ Ἀθανασίου, τοῖς κριταῖς, ὡς λέγουσι, πα-
ρεδόθησαν. ταῦτα καὶ ἕτερα ἀναρίθμητα παρά τε ἐκείνου
καὶ τῶν αὐτῷ συμπαρομαρτούντων ἀναιδῶς παρατετόλμηται.
οὓς γε ἀποκοινωνήτους ὄντας, εἰς κοινωνίαν ὡς ἤκουσται ἡμῖν,
ἐφ᾽ ὕβρει τῶν ἀνὰ τὴν ἕω πάντων ἐδέξασθε. Ἡμεῖς τῆς ὀφει-
λομένης τῇ τοῦ μακαρίου Πέτρου τιμῇ προσρήσεως ἀφοσιωσά-
μενοι τὸ χρέος, αἰτούμεθα, ἵνα εἰς τοὐπιὸν μὴ εὐκόλως οὔ-
τωσὶ παραδέχησθε τοὺς ἀφ᾽ ἡμῶν εἰς τὰς ὑμετέρας ἀκοὰς ἐρ-
χομένους, μήτε τοὺς ἀφ᾽ ἡμῶν ἀφορισμῷ ὑποπεσόντας αὐ-
τοὶ προσλαμβάνησθε. ὅπως μὴ παραβάται τῶν κανόνων φο-

vt crearent vuas, ſed illi è contrario fecerũt labruſcas. Vos ergò non oportet de cætero negligere & differre, tales; ne (quod abſit) memoratis criminibus eorum ſubmittamini, irrationabiliter eos Epiſcopos ponentes. Ipſi enim niſi citò corrigantur (iuxta quod beatus Apoſtolus proteſtatur) ſecundum duritiam eorum, & reuelationis iuſti iudicij Dei, qui reddet vnicuique ſecundum opera eius. Qui corrigendi ſunt, ne per temporalem delectationem, & per mendacia, atque figmenta ſua, vobis aſſenſſum præbentibus, æterna perdant præmia, quæ pet veram pænitentiam conſequi potuerũt. Nec hæc, quæ prædicta ſunt, ſolummodo Athanaſio, & ſequacibus eius irrogamus, ſed etiam quod contra regulam egerit, quam nos decreueramus. Quia, non decreto communis concilij Epiſcoporum recepit Sacerdotium, ſed ſibimet arrogando Eccleſiam fuiſſet ingreſſus, & in Sede ſediſſet, cum dudum decretum fuiſſet, nullum à pauciore numero reſtitui debere, quam depoſitum fuiſſe, conſtaret. Deinde quoniam eius aduentu ſit turba generata, plurimique ſeditione ſint mortui; & non ſolum hæc per eum, & propter eum ſunt peracta, ſed etiam quidam iam à dicto Athanaſio cæſi, Iudicibus dicuntur eſſe traditi: hæc & alia innumerabilia ſunt ab eo, ſuiſque ſequacibus impudenter perpetrata. Quos excommunicatos communioni, vt audiuimus, contra regulam in contumeliam omnium Orientalium ſociaſtis. Præfato itaque debitæ ſalutationis officio, propter beati Petri honorem impenſo, poſtulauimus, vt deinceps ad veſtras hinc venientes aures, non tam facile admittatis, neque à nobis excommunicatos, vltra velitis excipere; ne Canonum tranſgreſſores inueniamini, ſed magis, ſalua fraterna charitate, erratum hoc impoſterum minimè patiamini. Et ſubſcriptio

ραθῆτε. μᾶλλον δὲ τῆς ἀδελφικῆς φυλαττομένης ἀγάπης,
μηκέτι πάλιν εἰς τὸ αὐτὸ ἐξαμάρτητε. καὶ ἡ ὑπογραφή.
Εὐχομένην ὑπὲρ ἡμῶν τὴν ἀποστολικήν σου ἀξίαν εἰς ἔτη πολ-
λὰ διαφυλάττοι κύριος, πάτερ μακαριώτατε.

Ταῦτα ἀντέγραψαν οἱ Ἀρειανοὶ τῷ Πάπᾳ. μνημονεύουσι δὲ
ταύτης τῆς ἐπιστολῆς, ὡς ἄνω εἴρηται, οἱ ἀρχαῖοι. πρὸς ταύ-
την γὰρ καί τινας ἄλλας ἐπιστολὰς μὴ εὑρισκομένας, ἔτι δὲ
τὰς ἐνστάσεις, καὶ ψευδεῖς ἀπολογίας κατὰ Ἀθανασίου τῶν ἀποστα-
λέντων παρὰ τῶν Ἀρειανῶν, ἀντιλεγόντων, καὶ νικόντων τῶν ἐκ
τοῦ μέρους Ἀθανασίου, ἀποκρινόμενος ὁ Ῥώμης Ἰούλιος ἔγρα-
ψε τὴν ὑπὸ τοῦ Ἀθανασίου φερομένην ἐπιστολήν. ἀλλ' οὐδαμῶς
ἀντιλέγουσιν, ὅτι ψεύδεται προφέρων οὐκ ἀληθὲς τοὺς κα-
νόνας ὁ Πάπας. Καίτοι μετὰ τοσαύτης ἀναισχυντίας γεγράφου-
σιν. ὡς εἶναι φανερόν, ὅτι εἰ ἐψεύσατο κἂν ἐν μιᾷ συλλαβῇ,
οὐκ ἂν ἐνετράπησαν οἱ βλασφημοῦντες τὸν υἱὸν τοῦ Θεοῦ, καὶ
ὑπέρμαχον ἔχοντες τὸν βασιλέα Κωνστάντιον, εἰπεῖν τῷ Πά-
πᾳ κατὰ πρόσωπον, ὅτι ψεύδεται. Ὥστε κατὰ πᾶσαν ἀνάγ-
κην ἀληθές ἐστι, τὸν κανόνα τῆς ἐκκλήτου τοῦ Πάπα, πρῶ-
τον ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου γεγράφθαι, μετὰ ταῦτα δὲ
ἀνανεωθῆναι, καὶ βεβαιωθῆναι ὑπὸ τῆς ἐν Σαρδικῇ συνό-
δου, καθὼς τῶν εἴκοσι ἐκείνων οὓς ἔχομεν τῆς πρώτης συνό-
δου, τὸν πεντεκαιδέκατον ἐβεβαίωσεν ὁ πρῶτος τῆς ἐν Σαρ-
δικῇ, καὶ τὸν δεύτερον ὁ ἐνδέκατος, καὶ τὸν πέμπτον ὁ
ἑπτακαιδέκατος, καὶ τὸν ἑκκαιδέκατον ὁ πεντεκαιδέκατος.
Ταῦτα μὲν οὖν οἱ ἀνατολικοὶ Ἀρειανοὶ πρὸς τὸν Πάπαν. τί
δὲ ὁ Πάπας ἀντέγραψε πρὸς αὐτούς, μετεφράσατο εἰς τὸ
ἑλληνικὸν ὁ μέγας Ἀθανάσιος ἐν τῷ β. ἀπολογητικῷ.

Επι-

ptio Orantem pro nobis Apostolatum vestrum, Dominus æuo custodiat longiore, beatissime Pater, Amen.

Hæc rescripserunt Ariani Papæ, huius verò epistolæ mentionem faciunt, vt supra dictum est, antiqui Historici ad hanc enim, & ad quasdam alias, quæ non reperiuntur, præterea instantias & falsas apologias contra Athanasium eorum, qui erant missi ab Arianis, contradicentibns, & vicentibus ijs, qui erant ex parte Athanasij, respondens Romanus Iulius scripsit epistolam ab Athanasio relatam. Sed minimè contradicunt, quod mentiatur proferens Papa Canones non veros. Et tamen tanta cum impudentia scribunt, vt manifestum sit, quod si vel in vna syllaba mentitus esset, non verecundati essent, qui blasphemabant filium Dei, & propugnatorem habebant Imperatorem Constatium, dicere Papæ in faciem, quod mentiatur. Itaque omnino necessarium est, vt verum sit, Canonem appellationis ad Papam, primùm à Nicęna Synodo scriptum esse, ac deinde renouatum, & confirmatum fuisse à Sardicensi; vt etiam ex illis viginti Canonibus, quos habemus, primę Synodi, decimum quintum confirmauit primus Synodi Sardicensis, & secundum vndecimus, & quintum decimustertius, & decimumsextum, decimus quintus. Hęc igitur Orientales Ariani ad Papam. Quid autem Pontifex responderit refert magnus Athanasius in secunda apologia.

ΕΠΙΣΤΟΛΗ ΙΟΥΛΙΟΥ

Ἰούλιος, Δανίῳ, καὶ Φλακίλλῳ, Ναρκίσσῳ, Εὐσεβίῳ, Μάρει, Μακεδονίῳ, Θεοδώρῳ, καὶ τοῖς σὺν αὐτοῖς, τοῖς ἀπὸ Ἀντιοχείας γράψασιν ἡμῖν ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

ΑΝέγνων τὰ γράμματα, τὰ διὰ τῶν πρεσβυτέρων μου Ἐλπιδίου καὶ Φιλοξένου ἀποκομισθέντα καὶ ἐθαύμασα. πῶς ἡμεῖς μὲν ἀγάπῃ καὶ συνειδήσει ἀληθείας ἐγράψαμεν, ὑμεῖς δὲ μετὰ φιλονεικίας καὶ οὐχ ὡς ἔπρεπεν, ἐπεστείλατε. ὑπεροψία γὰρ καὶ ἀλαζονεία τῶν γραψάντων διὰ τῆς ἐπιστολῆς ἐδείκνυτο. ταῦτα δὲ ἀλλότρια τῆς ἐν Χριστῷ πίστεώς ἐστιν. ἔδει γὰρ τὰ μετὰ ἀγάπης γραφέντα, ἀμοιβῆς τῆς ἴσης μετὰ ἀγάπης τυχεῖν. καὶ μὴ μετὰ φιλονεικίας. ἢ οὐχὶ ἀγάπης ἐστὶ γνώρισμα πρεσβυτέρους ἀποστεῖλαι συμπαθεῖν τοῖς πάσχουσι, προτρέψασθαι τοὺς γράψαντας ἐλθεῖν, ἵνα πάντα θᾶττον λύσιν λαβόντα διορθωθῆναι δυνηθῇ, καὶ μηκέτι μήτε οἱ ἀδελφοὶ ἡμῶν πάσχωσι, μήτε ὑμᾶς τινες διαβάλλωσιν; ἀλλ' οὐκ οἶδα τί τὸ δόξαν οὕτως ὑμᾶς διατεθῆναι, ὥστε καὶ ἡμᾶς ποιῆσαι λογίζεσθαι, ὅτι καὶ ἐν οἷς ἐδόξατε ῥήμασιν ἡμᾶς τιμᾶν, ταῦτα μετασχηματιζόμενοι μετ' εἰρωνείας τινὸς εἰρήκατε. καὶ γὰρ καὶ οἱ πρεσβύτεροι οἱ ἀποσταλέντες, οὓς ἔδει μετὰ χαρᾶς ἐπανελθεῖν, τοὐναντίον λυπούμενοι ἐπανῆλθον, ἐφ' οἷς ἑωράκασιν ἐκεῖ γινομένοις, καὶ ἔγωγε τοῖς γράμμασιν ἐντυχών, πολλὰ λογισάμενος, κατέσχον παρ' ἐμαυτῷ τὴν ἐπιστολήν. νομίζων ὅμως ἥξειν τινάς, καὶ μὴ χρείαν εἶναι τῆς ἐπιστολῆς, ἵνα μὴ καὶ ἐς φανερὸν ἐλθοῦσα, πολλοὺς τῶν ἐν ταῦθα λυπήσῃ. ἐπειδὴ δὲ μηδενὸς ἐλθόντος, ἀνάγκη γέγονεν αὐτὴν προκομισθῆναι, ὁμολογῶ ὑμῖν, πάντες ἐθαύμασαν, καὶ ἐγγὺς ἀπιστίας γεγόνασιν, εἰ ὅλως παρ' ὑμῶν τοιαῦτα ἐγράφη. φιλονεικίας γὰρ μᾶλλον καὶ οὐκ ἀγάπης ἦν ἡ ἐπιστολή. εἰ μὲν οὖν φιλοτιμίας λόγων ἕνεκεν ὁ ὑπαγορεύσας ἔγραψεν,

ἄλλων

EPISTOLA IVLII

Iulius Danio, Flacillo, Narciso, Eusebio, Mari, Macedonio, Theodoro, cęterisque eorum, qui nobis dilectissimis in Christo fratribus ex Antiochia scripserunt, salutem.

LEgi epistolã vestrã, quam mihi mei Presbyteri Elpidius, & Philoxenus attulerũt: miratusq; sũ cum à nobis ex vera dilectione & bona conscientia scriptum esset, cõtentiosè à vobis, & non vt decuit, rescriptũ esse: fastus enim, & arrogãtia scribẽtiũ in epistola apparebat. Atqui aliena sũt ista à fide in Christũ, decuit enim eum, qui cum dilectione ad vos scriberet, eãdẽ vicissim dilectionem, non autẽ cõtentionẽ referre. Quid? an non dilectionis indiciũ erat, nos Presbyteros misisse, qui cõpaterẽtur patiẽtibus, & incitarẽt eos qui iudicium scriptis postulauerãt? Vt presto esse vellent, quo primum omnia componerentur & emendationẽ acciperent, ne diutius aut fratres nostri iniurias, aut vos calumnias pateremini? Nec scio, cur vobis ita rem agere placuit, vt nos in hãc opinionem redigatis, & arbitremur nos sub specie reuerẽtiæ pro ludibrio esse habitos, dictaq; vestra irridẽtium fuisse, cum & Presbyteros nostros ad vos missos, quos cum gaudio remissos oportuit, cum luctu remiseritis ob ea, quę istic geri cõspiciebãt. Egò certè cum literas vestras euoluerẽ, post varias vltrò citroq; cogitationes, eas supprimẽdas putaui, ea spe quod crederem saltẽ aliquos ex vestris aduenturos, nec opus fore istiusmodi epistolis, ne si illæ in publicũ promerẽtur, multos hic dolore afficerent. Cæterũ vbi nullus vestrũ superuenerat, necessum fuit vt eas proferrem. Credite mihi, omnes admiratione pleni vix induci poterãt, vt crederẽt istiusmodi literas à

ἄλλων τὸ τοιοῦτον ἐπιτήδευμα. ἐν γὰρ τοῖς ἐκκλησιαστικοῖς, οὐ λόγων ἐπίδειξίς ἐστιν ἀλλὰ κανόνες ἀποστολικοὶ καὶ σπουδὴ τοῦ μὴ σκανδαλίζειν ἕνα τῶν μικρῶν τῶν ἐν τῇ ἐκκλησίᾳ. συμφέρει γὰρ κατὰ τὸν ἐκκλησιαστικὸν λόγον, μύλον ὀνικὸν κρεμασθῆναι εἰς τὸν τράχηλον καὶ καταποντισθῆναι, ἢ σκανδαλίσαι κἂν ἕνα τῶν μικρῶν. εἰ δὲ ὡς τινῶν λελυπημένων διὰ τὴν πρὸς ἀλλήλους μικροψυχίαν, οὐ γὰρ ἂν εἴποιμι πάντων εἶναι ταύτην τὴν γνώμην, τοιαύτη γέγονεν ἡ ἐπιστολή, ἔπρεπε μὲν μηδὲ ὅλως λυπηθῆναι, μηδὲ ἐπιδῦναι τὸν ἥλιον ἐπὶ τῇ λύπῃ. ἔδει δὲ ὅμως μὴ εἰς τοσοῦτον προαχθῆναι, ὥστε καὶ ἔγγραφον αὐτὴν ἐπιδείξασθαι. τί γὰρ καὶ γέγονεν ἄξιον λύπης; ἢ ἐν τίνι ἦν ἄξιον λυπηθῆναι ὑμᾶς, οἷς καὶ ἐγράψαμεν; ἢ ὅτι προετρεψάμεθα εἰς σύνοδον ἀπαντῆσαι; ἀλλὰ τοῦτο ἔδει μᾶλλον μετὰ χαρᾶς δέξασθαι. οἱ γὰρ παρρησίαν ἔχοντες ἐφ' οἷς πεποιήκασι, καὶ ὡς αὐτοὶ λέγουσι κεκρίκασιν, οὐκ ἀγανακτοῦσιν, εἰ παρ' ἑτέρων ἐξετάζοιτο ἡ κρίσις, ἀλλὰ θαρροῦσιν, ὅτι ἃ δικαίως ἔκριναν, ταῦτα ἄδικα οὐκ ἄν ποτε γένοιτο. διὰ τοῦτο οἱ ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ συνελθόντες ἐπίσκοποι, οὐκ ἄνευ Θεοῦ βουλήσεως συνεχώρησαν ἐν ἑτέρᾳ συνόδῳ τὰ τῆς προτέρας ἐξετάζεσθαι, ἵνα καὶ οἱ κρίνοντες πρὸ ὀφθαλμῶν ἔχοντες τὴν ἐσομένην δευτέραν κρίσιν, μετὰ πάσης ἀσφαλείας ἐξετάζωσι, καὶ οἱ κρινόμενοι πιστεύωσι, μὴ κατ' ἔχθραν τῶν προτέρων, ἀλλὰ κατὰ τὸ δίκαιον ἑαυτοὺς κρίνεσθαι. εἰ δὲ τὸ τοιοῦτον ἔθος παλαιὸν τυγχάνον, μνημονευθὲν δὲ καὶ γραφὲν ἐν τῇ μεγάλῃ συνόδῳ, ὑμεῖς τοῦτο παρ' ὑμῖν ἰσχύειν οὐ θέλετε, ἀπρεπὴς μὲν ἡ τοιαύτη παραίτησις. τὸ γὰρ ἅπαξ συνήθειαν ἐσχηκὸς ἐν τῇ ἐκκλησίᾳ, καὶ ὑπὸ συνόδων βεβαιωθὲν, οὐκ εὔλογον ὑπὸ ὀλίγων παραλύεσθαι, ἄλλως τε οὐδὲ ἐν τούτῳ δικαίως ἂν φανεῖεν λυπηθέντες. οἱ γὰρ παρ' ὑμῶν τῶν περὶ Εὐσέβιον ἐπιστάντες μετὰ γραμμάτων, λέγω δὴ Μακάριος ὁ πρεσβύτερος, καὶ Μαρτύριος καὶ Ἡσύχιος οἱ διάκονοι ἀπαντήσαντες ἐνταῦθα, ὡς οὐκ ἠδυνήθησαν

πρὸς

vobis profectas esse,in quibus rixādi potius,quā charitatis affectus eminebat.Quod si ambitione eloquētię ostētādæ ita exceptæ sūt à dictatore,id certè studiū ad alios spectat. In rebus enim ecclesiasticis, non specimen eloquētię,sed Canones apostolici requirūtur, operaq; dari solet,nequis ex paruis in Ecclesia scādalizetur. Expedit enim, secundum ecclesiasticū verbum molam asinariam suspendi à collo, atq; ita demergi, quam vnū ex pusillis scādalizare. Quod si aliquibus in alios ob pusillanimitatē offensis(non enim omnium talē mētem fuisse arbitror) istiusmodi epistolā scribi placuit,primùm decuit,neminē offendi,neq;solē occidere super huiusmodi offensis, certè eò res deduci nō oportuit, vt offensiones suas scriptis proderent.Quid enim actum est dignum offensa,aut qua in re vobis quibus scripsi, causā succēsionis præbui? An quia adhortati vos sumus, vt ad Synodū occurreretis? atqui illud potius cū gaudio excipi oportuit. Qui enim benè sentiūt de ijs, quę egerūt, & in quibus ipsi(vt aiūt) iudices fuere,non indignāter ferre solēt,si quod ab ipsis iudicatū est, ab alijs excutiatur, quippe qui securi sunt, eā quę ipsi iusti iudicauerūt,iniusta nunquam fieri posse. Quocirca Episcopi in magna Synodo Nicęæ cōgregati, non sine Dei cōsilio permiserunt prioris Synodi acta, in alia Synodo examinari, vt & illi, qui iudices erant, præ oculis habētes secundū de ea ipsa re iudicium futurum, cnm omni diligētia causā expenderent, & illi qui sentētiā acceperant recto agnoscerēt, se non per simultatem priorum iudicum sed iure & merito condemnatos esse. Quod si istiusmodi cōsuetudo olim fuit, eiusq;memoria renouata est,& scripto prodita in magna Synodo,eamq; apud vos valere non sinitis, rem profecto indecoram facitis.morē enim, qui semel in Ecclesia obtinuit, & à Synodo confirmatus est iniquū est à paucis abrogari, quin

πρὸς τοὺς ἐλθόντας Ἀθανασίου πρεσβυτέρους ἀντιστῆναι, ἀλλ' ἐν πᾶσι διετρέποντο, καὶ διηλέγχοντο, τὸ τηνικαῦτα ἠξίωσαν ἡμᾶς ὥστε σύνοδον συγκροτῆσαι, καὶ γράψαι καὶ Ἀθανασίῳ τῷ ἐπισκόπῳ εἰς Ἀλεξάνδρειαν, γράψαι δὲ καὶ τοῖς περὶ Εὐσέβιον, ἵνα ἐπὶ παρουσίᾳ πάντων, ἡ δικαία κρίσις ἐξενεχθῆναι δυνηθῇ, τότε γὰρ καὶ ἀποδεικνύναι πάντα τὰ κατὰ Ἀθανασίου ἐπηγγείλαντο, κοινῇ γὰρ ὑφ' ἡμῶν διηλέγχθησαν οἱ περὶ Μαρτύριον καὶ Ἡσύχιον, καὶ οἱ Ἀθανασίου τοῦ ἐπισκόπου πρεσβύτεροι, μετὰ πεποιθήσεως ἀνθίσταντο, οἱ δὲ περὶ Μαρτύριον, εἰ δεῖ τ' ἀληθὲς εἰπεῖν, ἐν πᾶσι διετρέποντο, ὅθεν καὶ ἠξίωσαν σύνοδον γενέσθαι. εἰ τοίνυν μηδὲ τῶν περὶ Μαρτύριον καὶ Ἡσύχιον ἀξιωσάντων γενέσθαι σύνοδον, προτρεψάμενος ἤμην ἐγὼ σκύλαι τοὺς γράψαντας, ἕνεκεν τῶν ἀδελφῶν ἡμῶν τῶν αἰτιωμένων ἀδικίαν πεπονθέναι, καὶ οὕτως εὔλογος ἦν καὶ δικαία ἡ προτροπή, ἔστι γὰρ ἐκκλησιαστικὴ καὶ Θεῷ ἀρέσκουσα, ὅτε δὲ οὓς ὑμεῖς αὐτοὶ οἱ περὶ Εὐσέβιον ἀξιοπίστους ἡγήσασθε, καὶ οὗτοι ἠξίωσαν ἡμᾶς συγκαλέσαι, ἀκόλουθον ἦν τοὺς κληθέντας μὴ λυπηθῆναι, ἀλλὰ μᾶλλον προθύμως ἀπαντῆσαι. οὐκοῦν ἡ μὲν δόξασα ἀγανάκτησις τῶν λυπηθέντων, ἀπρεπής, ἡ δὲ παραίτησις τῶν μὴ θελησάντων ἀπαντῆσαι, ἀπρεπὴς καὶ ὕποπτος ἐκ τούτων δείκνυται, αἰτιᾶταί τις ἃ πράττων αὐτὸς ἀποδέχεται εἰ παρ' ἑτέρου γινόμενα βλέποι; εἰ γὰρ ὡς γράφετε ἀσάλευτον ἔχει τὴν ἰσχὺν ἑκάστη συνόδος, καὶ ἀτιμάζεται ὁ κρίνας, ἐὰν παρ' ἑτέρων ἡ κρίσις ἐργάζηται, σκοπεῖτε ἀγαπητοί, τίνες εἰσὶν οἱ σύνοδον ἀτιμάζοντες, καὶ τίνες τὰ τῶν φθασάντων κρῖναι, διαλύουσι, καὶ ἵνα μὴ τὰ καθ' ἕκαστον νῦν ἐξετάζων ἐπιβαρεῖν τινὰς δοκῶ, ἀλλὰ τὸ τελευταῖον γενόμενον ἐφ' ᾧ καὶ φρίξειεν ἄν τις ἀκούων, ἀρκεῖ πρὸς ἀπόδειξιν πάντων τῶν παραλειφθέντων. Οἱ Ἀρειανοὶ οἱ ὑπὸ τοῦ τῆς μακαρίας μνήμης Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου Ἀλεξανδρείας, ἐπὶ ἀσεβείᾳ ἐκβληθέντες, οὐ μόνον ὑπὸ τῶν καθ' ἑκάστην πόλιν ἀπεκηρύχθησαν, ἀλλὰ

καὶ

ne hoc quidem concesso, quidquam æqui habet vestra offensio. Siquidem vestri legati, Macarius Presbyter, & Martyrius atq; Hesichius Diaconi, nullo modo cũ huc venissẽt, pares Presbyteris ab Athanasio missis, ac sẽper ab illis cõuicti, refutatique, Cõcilium indici postularunt, literasque, & ad Eusebianos, & Athanasiũ Alexandriam, quibus inuocarẽtur, mitti, vt corã omnibus iusto iudicio de causa cognosci posset: tùm enim se de Athanasio probaturos esse, quod iam nequirẽt. Publicè enim corã nobis Martyrius, & Hesichius refellebãtur, Athanasij Presbyteris bona cũ fiducia alacriter resistẽtibus. Martyrius verò cũ suis, si vera dicenda sunt, vbiq; profligabatur, ac proinde Cõciliũ generale postulauit. Si igitur Martyrio & Hesichio nullam Synodum postulantibus adhortatus fuissem, vt ad Synodũ, qui ad me scripsissent, conuocarẽtur, idq; in gratiã fratrũ, qui se iniuriã pati cõquerebantur, etiã vel ita ęqua, & iusta fuisset nostra cohortatio, cũ ea sit & ecclesiastica, & Deo grata: iam vbi ijdẽ qui à vobis pro grauibus viris, & fide digni habiti fuere, auctores mihi fuerint, vt vos cõuocarẽ, certè id à vobis ęgrè ferri non debuit, sed potius alacriter ad citationẽ occurrere. Quapropter indignatio eorũ, qui hac citatione offendũtur, temeraria, & tergiuersatio sistẽdi se in iudicio inhonesta, & suspitiosa videtur. An quispiã stomachari debet, si quæ ipse fecit, ab alijs fieri videat? Si enim, vt scribitis, incõcussam habet auctoritatẽ quęlibet Synodus, & cõtumeliosè, agitur cum iudice, cuius iudicium ab alijs examinatur, cõsiderate quæso dilectissimi, quinã sũt, qui Synodũ improbant, & qui aliorũ iudicata rescindũt, ne singula excutiendo certos homines grauem. Certè id, quod postremè gestũ, cum sit horrẽdum auditu, sufficit ad cætera, quæ à me omittuntur, conprobanda. Ariani à beatæ memoriæ Alexãdro, quõdam Alexandriæ Episcopo.

καὶ ὑπὸ πάντων τῶν κοινῇ συνεληλυθότων ἐν τῇ κατὰ Νίκαιαν με-
γάλῃ συνόδῳ, ἀναθεματισθῆναι, οὐ γὰρ ἦν αὐτῶν τὸ τυ-
χὸν πλημμέλημα, οὐδὲ εἰς ἄνθρωπον ἦσαν ἁμαρτήσαντες,
ἀλλ' εἰς αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ
Θεοῦ τοῦ ζῶντος. καὶ ὅμως οἱ ὑπὸ πάσης τῆς οἰκουμένης ἀποκη-
ρυχθέντες, καὶ κατὰ πᾶσαν ἐκκλησίαν στηλιτευθέντες, νῦν λέ-
γονται δεδέχθαι. ἐφ' ᾧ καὶ ὑμᾶς ἀκούσαντας, χαλεπαίνειν
δίκαιον ἡγοῦμαι. τίνες οὖν εἰσὶν οἱ σύνοδον ἀτιμάζοντες; οὐχὶ
οἱ τῶν τριακοσίων τὰς ψήφους παρ' οὐδὲν θέμενοι, καὶ ἀσέ-
βειαν εὐσεβείας προκρίναντες; ἡ μὲν γὰρ τῶν Ἀρειομανιτῶν
αἵρεσις, ὑπὸ πάντων τῶν πανταχοῦ ἐπισκόπων κατεγνώσθη καὶ
ἀπεκηρύχθη. Ἀθανάσιος δὲ καὶ Μάρκελλος οἱ ἐπίσκοποι,
πλείονας ἔχουσι τοὺς ὑπὲρ ἑαυτῶν λέγοντας καὶ γράφοντας.
Μάρκελλος μὲν γὰρ ἐμαρτυρήθη ἡμῖν, καὶ ἐν τῇ κατὰ Νί-
καιαν συνόδῳ, τοῖς τὰ Ἀρείου φρονοῦσιν ἀντειρηκώς. Ἀθα-
νάσιος δὲ ἐμαρτυρήθη, μηδὲ ἐν Τύρῳ καταγνωσθεὶς, ἐν δὲ
Μαρεώτῃ μὴ παρεῖναι ἔνθα τὰ ὑπομνήματα κατ' αὐτοῦ γεγε-
νῆσθαι λέγεται. οἴδατε δὲ ἀγαπητοὶ, ὅτι τὰ κατὰ μονομέ-
ρειαν ἰσχὺν οὐκ ἔχει, ἀλλ' ὕποπτα τυγχάνει, καὶ ὅμως τού-
των ὄντων, ἡμεῖς ὑπὲρ ἀκριβείας, οὔτε ὑμῖν, οὔτε τοῖς ὑπὲρ
αὐτῶν γράψασι πρόκριμα ποιοῦντες προετρεψάμεθα τοὺς
γράψαντας ἐλθεῖν, ἵν' ἐπειδὴ πλείους εἰσὶν οἱ ὑπὲρ αὐτῶν
γράψαντες, ἐπὶ συνόδου πάντα ἐξετασθῇ πρὸς τὸ μηδὲ τὸν
ἀναίτιον κατακριθῆναι, μήτε τὸν ὑπεύθυνον ὡς καθαρὸν
λογισθῆναι. οὐκοῦν οὐ παρ' ἡμῶν ἀτιμάζεται σύνοδος, ἀλ-
λὰ παρ' ἐκείνων τῶν ἁπλῶς καὶ ὡς ἔτυχε τοὺς παρὰ πάντων
κατακριθέντας Ἀρειανοὺς καὶ παρὰ γνώμην τῶν κρινάντων,
δεξαμένων. οἱ γὰρ πλείονες ἤδη ἀναλύσαντές εἰσι σὺν
Χριστῷ. οἱ δὲ ἔτι καὶ νῦν ἐν τῷ βίῳ τούτῳ ἐξετάζονται,
ἀγανακτοῦντες, ὅτι τὴν αὐτῶν κρίσιν, ἔλυσάν τινες. τοῦτο
δὲ καὶ ἀπὸ τῶν γενομένων ἐν τῇ Ἀλεξανδρείᾳ ἔγνωμεν, καὶ
γὰρ καὶ Καρπώνης τὶς ἐκβληθεὶς ὑπὸ Ἀλεξάνδρου διὰ τὴν Ἀρείου
αἵρεσιν μετά τινων, καὶ αὐτῶν ἐκβληθέντων διὰ τὴν αὐτὴν
αἵρεσιν

po,ob impietatẽ ad cauſam dicendam citati, non ſolum in eo iudicio à ſingulis ciuitatibus reijciebantur, ſed ab omnibus ſimul,qui ad Nicænũ Concilium coierant,anathemate feriebãtur. Nihil enim erat in eorũ delicto vulgare,neque in hominem peccauerant, ſed in ipsũ Ieſum Chriſtum Dominum noſtrum filium Dei viuẽtis: ijdẽ tamen ita ab vniuerſo orbe reiecti & per omnẽ Eccleſiam famoſiſſimè notati, nunc denuò in Eccleſia(quod quidẽ triſte veſtris animis arbitramur)recipi perhibẽtur. Quinam igitur ſunt, qui Synodũ vituperant, & trecentorum Epiſcoporum calculos pro nihilo habẽt, & impietatem pietati anteponũt? niſi Ariomanitæ ab omnibus vbique Epiſcopis cõdemnati,& abdicati? Athanaſius contra, & Marcellus Epiſcopi plurimos habẽt, qui verbis ſcriptiſque ſuis eorũ innocentiam tuẽtur. Marcelli enim fides, cõfeſſioq; Nicææ ſpectata eſt,cum Arianis cõtradiceret. Ibidẽ quoque Athanaſij ſynceritas in tuẽda fide ſpectata fuit. Qui nec Tyri cõdemnatus eſt,nec Mareotæ præſens fuit,vbi contra eum abſentẽ in lite proceſsũ eſt. Scitis autẽ dilectiſſimi, monumenta actorũ,vbi vna dumtaxat pars adfuerit, nullarũ virium eſſe,& ſuſpecto haberi. Nos tamẽ,quãquam ita actũ eſſet, pro re certius cognoſcẽda,neq; vobis, qui contra eũ,neq; illis,qui pro eo literas miſere, præiudicium facientes, cohortati ſumus omnes quotquot ſcripſerãt,vt pręsẽtes ſe iudicio ſiſterent,quo omnia ad amuſſim quia quãplurimi pro vtroq; ſcribunt, in Synodo examinari poſſent, ne vel innocens cõdemnetur,aut qui rei sũt,puri habeantur. Non igitur à nobis vilipẽditur Synodus, ſed ab illis,qui quouis modo, & temerè Arianos ab omnibus condemnatos, cõtra ſententiam eorũ,qui causã iudicauerũt,recipiunt,quorũ pleriq; ſoluti iam à corpore cũ Chriſto viuũt, alij adhuc in vita manẽtes, indignè ferũt, ſua iudicia ita à quibuſdã

re-

αἵρεσιν, ἐληλύθασιν ἐν ταῦθα ἀποσταλέντες παρὰ Γρηγορίου
τινὸς, ὅμως δὲ ἐμάθομεν καὶ παρὰ Μακαρίου τοῦ πρεσβυ-
τέρου, καὶ Μαρτυρίου, καὶ Ἡσυχίου τῶν διακόνων, περὶ τοῦ γὰρ
ἀπαντῆσαι τοὺς Ἀθανασίου πρεσβυτέρους, προετρέποντο ὑμᾶς
γράφειν ἐν Ἀλεξανδρείᾳ Πιστῷ τινι, ἡνίκα καὶ Ἀθανάσιος
ὁ ἐπίσκοπος ἐν Ἀλεξανδρείᾳ ἦν. τοῦτον δὲ τὸν Πιστὸν, οἱ
Ἀθανασίου τοῦ ἐπισκόπου πρεσβύτεροι παραγενόμενοι, ἀπέ-
δειξαν εἶναι Ἀρειανὸν, ἐκβληθέντα μὲν ὑπὸ Ἀλεξάνδρου τοῦ
ἐπισκόπου, καὶ τῆς κατὰ Νίκαιαν συνόδου, κατασταθέντα δὲ
ὑπὸ Σεκούνδου τινὸς, ὃν ἡ μεγάλη σύνοδος Ἀρειανὸν ὄντα,
ἐξέβαλε. τοῦτο δὲ οὐδὲ αὐτοὶ οἱ περὶ Μαρτύριον ἀντέλεγον,
οὐδὲ ἠρνοῦντο τὸν Πιστὸν ὑπὸ Σεκούνδου ἐσχηκέναι τὴν κατάστα-
σιν. σκοπεῖτε τοίνυν καὶ ἐκ τούτων, τίνες ἂν ὑπὸ μέμψιν
δικαίως γένοιντο, οἱ μὴ πεισθέντες ἡμεῖς ὥστε τῷ Ἀρειανῷ
γράψαι, ἢ οἱ συμβουλεύοντες ἀτιμάσαι τὴν μεγάλην σύνοδον,
καὶ τοῖς ἀσεβέσιν ὡς εὐσεβέσι γράψαι; καὶ γὰρ καὶ Μακά-
ριος ὁ πρεσβύτερος, ὁ παρὰ Εὐσεβίου μετὰ τῶν περὶ Μαρτύ-
ριον ἀποσταλεὶς, ὡς ἤκουσεν ἐπιστάντας τοὺς πρεσβυτέρους
Ἀθανασίου ἐκδεχομένων ἡμῶν τὴν παρουσίαν αὐτοῦ, μετὰ τῶν
περὶ Μαρτύριον καὶ Ἡσύχιον, ἀπεδήμησε νυκτὸς, καίτοι
νοσῶν τῷ σώματι, ὡς ἐκ τούτου λοιπὸν ἡμᾶς ἀκολούθως ἀπο-
στοχάζεσθαι, ὅτι αἰσχυνόμενος τὸν κατὰ Πιστοῦ ἔλεγχον, ἀνε-
χώρησεν. ἀδύνατον γὰρ τὴν κατάστασιν Σεκούνδου τοῦ Ἀρειανοῦ,
ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἰσχῦσαι. ἀτιμία γὰρ ἀληθῶς αὕτη
κατὰ τῆς συνόδου, καὶ τῶν ἐν αὐτῇ συναχθέντων ἐπισκόπων, ἐὰν
τὰ μετὰ τοσαύτης σπουδῆς καὶ εὐλαβείας ὡς Θεοῦ παρόντος γε-
νόμενα, ἀντὶ μηδενὸς λυθῇ. εἴπερ οὖν ὡς γράφετε ἐκ τοῦ
κατὰ Νοβάτον καὶ τὸν Σαμοσατέα Παῦλον παραδείγματος τὰ
τῶν συνόδων ἰσχύειν δόγματα χρὴ, ἔδει μᾶλλον μὴ λυθῆναι
τῶν τριακοσίων τὴν ψῆφον, ἔδει τὴν καθολικὴν σύνοδον,
ὑπὸ τῶν ὀλίγων μὴ ἀτιμασθῆναι. αἱρετικοὶ γὰρ οἱ Ἀρειανοὶ,
ὥσπερ κἀκεῖνοι, καὶ ὅμοιαι αἱ κατὰ τούτων ψῆφοι, ταῖς κατ'
ἐκείνων. τούτων δὲ τολμηθέντων, τίνες εἰσὶν οἱ φλόγα δι-

χονίας

rescindi.Hęc ita esse ex ijs,quę Alexādrię acta sūt deprę-hēdimus.Nam Carpones quidā ab Alexandro ob Arianā hæresim cū quibusdā alijs eiusdē criminis reis olim citatus huc ad nos venit,missus à Gregorio.Id ipsū quoq ex Macario Presbytero, & Martyrio, & Hesychio Diaconis dicimus, qui antequam iudicio se sisterent Athanasij Presbyteri,auctores nobis fuere,vt scriberemus Alexandriā cuidā Pisto quo tempore etiā tum Athanasius Episcopus Alexādrię versabatur. Hunc autē Pistū Athanasij Presbyteri superuenientes do cuerūt Arianum esse,& eo nomine,& ab Alexandro, & Synodo Nicæna Reū factū, gradusq; ordinis sui,à quodā secundo,quē magna Synodus, vt Arianū reiecerat, accepisse. Videtis igitur,vel ex hac causa, qui potius in culpa habendi sunt, Nos ne,qui persuaderi nō potuimus, vt Ariano Pisto literas scriberemus, an illi, qui mihi cōsiliū dedere,vt cōtempto magno cōcilio,ad impios hęreticos,veluti ad pios homines literas darem. Certè Macarius Presbyter, cum legatus ab Eusebio venerat,vbi audiuit Athanasij Presbyteros istos obsistere, hosq; eius præsētiam non admittere, vnà cum Martyrio,& Hesychio, quāuis graui valetudine de nocte profectus est,vt nō incōcinnè diuinaremus,eū impatientia refutati Pisti fugā arripuisse.Impossibile .n. est,Secūdi ordinationē,vtpote Ariani,vim vllā in catholica Ecclesia habere: id enim verè ad Synodi & ad Episcoporū,qui in Syodo fuere,cōtumeliā vergeret,si quę illi tāto studio,& cura,veluti Deo pręsēte egissēt,à nobis vt vana,futiliaq; abrogarētur. Quod si igitur(quemadmodū scribitis)pro exemplis in Nouatū,& Paulū Samosatensē editis,decreta Synodorū obseruari oportet, certè minimè oportuit calculos trecentorū Episcoporum irritos haberi, aut catholicam Synodū à paucis contemni. Aequè enim,vt illi Ariani hæretici sūt, & calculi cōtra istos dati paris sunt

 mo-

χονοίας ἀνάψαντες; ἡμᾶς γὰρ τοῦτο πεποιηκέναι γράψαντες, ἐμέμψασθε. ἆρ' οὖν ἡμεῖς διχονοίας εἰργασάμεθα οἱ συναλγοῦντες τοῖς πάσχουσιν ἀδελφοῖς, καὶ κατὰ κανόνα πάντα πεποιηκότες, ἢ οἱ φιλονείκως, καὶ παρὰ κανόνα τὴν τῶν τριακοσίων ψῆφον λύσαντες καὶ κατὰ πάντα τὴν σύνοδον ἀτιμάσαντες; οὐ γὰρ μόνον οἱ Ἀρειανοὶ ἐδέχθησαν, ἀλλὰ καὶ ἀπὸ τόπου εἰς τόπον μεμελετήκασιν ἐπίσκοποι διαβαίνειν. εἰ οὖν ἀληθῶς ἴσην καὶ τὴν αὐτὴν ἡγεῖσθε τιμὴν, τῶν ἐπισκόπων, καὶ μὴ ἐκ τοῦ μεγέθους τῶν πόλεων ὡς γράφετε, κρίνετε τοὺς ἐπισκόπους, ἔδει τὸν πεπιστευμένον μικρὰν, μένειν ἐν τῇ πιστευθείσῃ, καὶ μὴ ἐξουθενεῖν μὲν τὸν πεπιστευμένον, μεταβαίνειν δὲ εἰς τὴν μὴ ἐγχειρισθεῖσαν, ἵνα τῆς μὲν παρὰ Θεοῦ δοθείσης καταφρονῇ, τὴν δὲ τῶν ἀνθρώπων κενοδοξίαν ἀγαπήσῃ. οὐκοῦν ἀγαπητοὶ ἔδει ἀπαντῆσαι καὶ μὴ παραιτήσασθαι, ἵνα καὶ τέλος λάβῃ τὸ πρᾶγμα, τοῦτο γὰρ ὁ λόγος ἀπαιτεῖ. ἀλλ' ἴσως ἡ προθεσμία ἐνεπόδισε, γράψαντες γὰρ ἐμέμψασθε ὅτι στενὴν τὴν προθεσμίαν τῆς συνόδου ὡρίσαμεν. ἀλλὰ καὶ τοῦτο ἀγαπητοὶ, πρόφασίς ἐστιν. εἰ μὲν γὰρ ἐρχομένους τινὰς συνέκλεισεν ἡ ἡμέρα, στενὸν ἂν τὸ διάστημα τῆς προθεσμίας ἠλέγχθη, εἰ δὲ οἱ ἐλθεῖν μὴ βουλόμενοι, κατεσχήκασι καὶ τοὺς πρεσβυτέρους ἕως αὐτοῦ τοῦ Ἰανουαρίου μηνὸς, μὴ θαρρούντων ἐστὶν ἡ πρόφασις, ἦλθον γὰρ ἂν ὡς πρέπον, εἰ ἐθάρρουν, οὐ πρὸς τὸ διάστημα τῆς ὁδοῦ σκοποῦντες, οὐ δὲ πρὸς τὴν προθεσμίαν ὁρῶντες, ἀλλ' ἐπὶ τοῖς δικαίοις καὶ τοῖς εὐλόγοις παρρησιαζόμενοι. ἀλλ' ἴσως διὰ τὸν καιρὸν οὐκ ἀπήντησαν, τοῦτο γὰρ γράφοντες πάλιν ἐδηλώσατε, ὡς ἄρα ἔδει ἡμᾶς σκοπήσαντας τὸν ἐπὶ τῆς ἑῴας καιρὸν, μὴ προτρέψασθαι ὑμᾶς ἀπαντῆσαι. εἰ μὲν οὖν διὰ τὸ τοιοῦτον εἶναι τὸν καιρὸν, οὐκ ἀπηντήσατε, ὥς φατε, ἔδει πρότερον ὑμᾶς τὸν καιρὸν τοῦτον σκοπήσαντας, μὴ αἰτίους σχίσματος μηδὲ ὀλολυγῆς καὶ θρήνων ἐν ταῖς ἐκκλησίαις γενέσθαι. νῦν δὲ οἱ ταῦτα πεποιη-

ποιη-

momenti cũ calculis,quibus illi damnati ſunt. Tali igitur cõmiſſa audacia, quinam dicẽdi sũt, flammam diſcordiæ accẽdiſſe? ſiquidem id nobis in veſtris literis obijcitis. Nos ſcilicet diſcordiã induximus, qui cõpatimur cũ patiẽtibus fratribus, & omnia ſecundum Canonẽ facimus? An qui cõtentiosè violato Canone trecentorũ decreta prę̨uaricãtur & per omnia Synodũ cõtemptui habẽt? Cũ nõ ſolũ Arianos recipiãt, ſed iã in vſu habeant de loco in locũ ad Epiſcopatus capiẽdos trãſilire. Si igitur verè parem, eundẽq; honorẽ in omnibus Epiſcopis cẽſetis eſſe, neq; ex magnitudine ciuitatũ (vt vos ſcribitis) honorem eius rei creſcere arbitramini, oportuit eũ cui cõcredita eſt parua ciuitas, in ea quæ credita eſt, permanere, & nequaquam reiecta cõcredita, ad eam quæ cõcredita non eſt, trãſuolare: ne eã quę à Deo data eſt, aſpernari, illã verò quę hominũ ambitu cõceſſa eſt, magnificare videatur. Oportuit igitur vos dilectiſſimi huc accedere, & nequaquam tergiuerſari, vt res ad finem deducatur: id enim ratio requirit. Sed fortaſſe dies cõſtituti temporis breuior, quã par erat, impedimẽto fuit, (nam huiuſmodi in literis veſtris quærimoniam facitis) atqui illud, dilectiſſimi, pro mera cauillatione putandũ eſt: ſi enim aliquos in itinere dies oppreſſiſſet, arctitudo breuitasq; temporis accuſari potuiſſet. Iam cũ illi qui nec ipſi venire voluerũt, & presbyteros ſuos vſq; ad mẽſem Iannuarij, ne venirent detinuerint, liquidè apparet, iſtam cauſificationẽ eorũ hominum eſſe, qui ſibi nõ ſatis cõfidũt: veniſſent enim, vt dixi, ſi de ſua cauſa benè ſperaſſent, nõ reſpectantes ad interuallum itineris, aut temporis conſtituti ſpatiũ, ſed ex iure ſuo, & rationibus fiduciã collegiſſent. Eſto vt tempus in cauſa fuerit, cur nõ venerint? id enim quoq; in ſcriptis veſtris ſignificatis, cũ dicitis, æquum ſcilicet fuiſſe vt reſpectu tantorũ temporũ, quæ veniẽtibus ex Oriente ne-

πεποιηκότες, ἔδειξαν μὴ τὸν καιρὸν αἴτιον, ἀλλὰ τὴν προαίρεσιν τῶν μὴ θελησάντων ἀπαντῆσαι. θαυμάζω δὲ κἀκεῖνο τὸ μέρος τῆς ἐπιστολῆς πῶς ὅλως καὶ ἐγράφη παρ' ὑμῶν, ὅτι δὴ τοῖς περὶ Εὐσέβιον μόνοις, καὶ οὐ πᾶσιν ὑμῖν μόνος ἔγραψα. δυσχέρειαν γὰρ τῶν μεμψαμένων μᾶλλον ἄν τις εὕροι ἤπερ ἀλήθειαν. ἐγὼ γὰρ οὐκ ἄλλοθεν λαβὼν κατὰ Ἀθανασίου γράμματα, ἢ διὰ τῶν περὶ Μαρτύριον καὶ Ἡσύχιον, ἐκείνοις ἀνάγκῃ ἔγραψα τοῖς καὶ γράψασι κατ' αὐτοῦ. ἔδει τοίνυν ἢ τοὺς περὶ Εὐσέβιον μὴ μόνους χωρὶς πάντων ὑμῶν γράψαι, ἢ ὑμᾶς οἷς μὴ ἔγραψα, μὴ λυπεῖσθαι, εἰ ἐκείνοις ἐγράφη τοῖς καὶ γράψασιν. εἰ γὰρ ἐχρῆν καὶ πᾶσιν ὑμῖν ἐπιστεῖλαι, ἔδει καὶ ὑμᾶς σὺν ἐκείνοις γράψαι, νῦν δὲ τὸ ἀκόλουθον σκοποῦντες, ἐκείνοις ἐγράψαμεν τοῖς καὶ δηλώσασιν ἡμῖν, καὶ τοῖς ἀποστείλασι πρὸς ἡμᾶς. εἰ δὲ καὶ τὸ μόνον ἐμὲ γεγραφέναι ἐκείνοις ἐκίνησεν ὑμᾶς, ἀκόλουθόν ἐστιν ὑμᾶς ἀγανακτεῖν, ὅτι καὶ μόνῳ ἐμοὶ ἔγραψαν. ἀλλὰ καὶ ἐν τούτῳ πιθανὴ μὲν καὶ οὐκ εὔλογος ἡ πρόφασις ἀγαπητοί, ὅμως δὲ γνωρίσαι ὑμῖν ἀναγκαῖον, ὅτι εἰ καὶ μόνος ἔγραψα, ἀλλ' οὐκ ἐμοῦ μόνου ἐστὶν αὕτη ἡ γνώμη, ἀλλὰ πάντων τῶν κατὰ τὴν Ἰταλίαν, καὶ τῶν ἐν τούτοις τοῖς μέρεσιν ἐπισκόπων. καὶ ἔγωγε τοὺς πάντας οὐκ ἠθέλησα ποιῆσαι γράψαι, ἵνα μὴ παρὰ πολλῶν τὸ βάρος ἔχωσιν. ἀμέλει καὶ τῇ ὁρισθείσῃ προθεσμίᾳ συνῆλθον ἐπίσκοποι, καὶ ταύτης τῆς γνώμης γεγόνασιν ἣν πάλιν γράφων ὑμῖν σημαίνω. ὥστε ἀγαπητοὶ εἰ καὶ μόνος ἐπιστέλλω, ἀλλὰ πάντων εἶναι γνώμην ταύτην γινώσκετε. ταῦτα μὲν οὖν περὶ τοῦ μὴ εὐλόγως τινὰς ἐξ ὑμῶν προφάσεις, ἀλλὰ ἀδίκους καὶ ὑπόπτους προείσασθαι. περὶ δὲ τοῦ μὴ εὐχερῶς μηδὲ ἀδίκως ἡμᾶς ὑποδεδέχθαι εἰς κοινωνίαν τοὺς συνεπισκόπους ἡμῶν Ἀθανάσιον καὶ Μάρκελλον, εἰ καὶ τὰ πραχθέντα ἱκανά, ὅμως διὰ βραχέων εὔλογον ὑμῖν δεῖξαι. ἔγραψαν οἱ περὶ Εὐσέβιον πρότερον κατὰ τῶν περὶ Ἀθανάσιον, ἐγράψατε δὲ καὶ νῦν ὑμεῖς, ἔγρα-

cessaria essent, veniēdi citationē omitteremus. Si igitur, quia dies breuior fuit, iter omissum est, nequaquā oportuit ijs ipsis temporibus vos præbere auctores schismatis, luctus, & lacrymarū in Ecclesia. Iam qui talia agunt, ostendunt non tempora ipsorū profectioni, sed cōscientiā obsistere. Admiror quoq; eā partē epistolę, & nescio quomodo hoc scribere potuistis, id vobis ęgrè esse, quod Eusebio cū suis dūtaxat, & non itidē omnibus vobis literas scripserim, in hac expostulatione morositatē promptissimā, quàm veri quid depręhēdas. Ego enim cum non aliūde literas cōtra Athanasiū accepissem, quā à Martyrio, & Hesychio, necessario illis respōdi, qui scripserant cōtra Athanasiū. Oportuit igitur non solum Eusebianos absq; vobis scribere; aut vos, quibus nō scripsi, nō molestè ferre, si rescripserim illis, qui mihi scripserāt: Nam si par erat ad vos omnes literas dari, par quoq; erat, & vos vnà cū illis literas mittere. Nunc autē quod cōsentaneū erat respiciētes, illis scripsimus qui nos certiores reddiderāt, & literas misere. Quod si vos cōmouet, quod illis scripserim, cōsequēs est vt indignemini quoq; quod illi, soli mihi scripserint. Verū in hoc ipsa iusta, & rationabilis causa est, dilectissimi, quā vobis intimandū puto. Nam tametsi solus sim, qui scripsi, nō tamē meam solius sententiā, sed omniū Italorū, & omniū in his regionibus Episcoporum, scripsi. Ego autē omnes nolui scribere, ne à multis onerarentur: certè ad constitutū tempus cōuenere Episcopi & eius sentētiæ fuere quā vobis iterū significo. Quapropter dilectissimi, etiāsi solus scribo, scribere me tamē cōmunē omniū sententiā vos scire volo. Et hęc quidē à nobis aduersus non æquas vestrorū hominū, sed iniustas, & suspectas causidicationes dicta sūto. Quod autē non temere aut iniustè susceperim in cōmunionē Coepiscopos nostros, Athanasiū & Marcellū, etiamsi prius dicta sufficiant

ἔγραψαν δὲ καὶ πλεῖστοι ἐπίσκοποι ἀπὸ τῆς Αἰγύπτου καὶ ἐξ ἄλλων ἐπαρχιῶν ὑπὲρ Ἀθανασίου. πρῶτον μὲν οὖν τὰ κατ' αὐτοῦ γράμματα παρ' ὑμῶν μάχεται πρὸς ἑαυτά, καὶ οὐδεμίαν συμφωνίαν ἔχει τὰ δεύτερα πρὸς τὰ πρῶτα, ἀλλ' ἐν πολλοῖς τὰ πρῶτα ὑπὸ τῶν δευτέρων λύεται, καὶ τὰ δεύτερα ὑπὸ τῶν πρώτων διαβάλλεται, ἀσυμφώνων δὲ ὄντων τῶν γραμμάτων, οὐδεμία πίστις περὶ τῶν λεγομένων ἐστίν. ἔπειτα εἰ τοῖς παρ' ὑμῶν γραφεῖσιν ἀξιοῦτε πιστεύειν, ἀκόλουθόν ἐστι καὶ τοῖς ὑπὲρ αὐτοῦ γράψασι, μὴ ἀπιστῆσαι, καὶ μάλιστα ὅτι ὑμεῖς μὲν πόρρωθεν, ἐκεῖνοι δὲ ἐν τοῖς τόποις ὄντες καὶ εἰδότες τὸν ἄνδρα, καὶ τὰ ἐκεῖ γινόμενα πράγματα γράφουσι, μαρτυροῦντες αὐτοῦ τῷ βίῳ, καὶ διαβεβαιούμενοι ἐν πᾶσιν αὐτὸν συσκευὴν πεπονθέναι, καὶ πάλιν, Ἀρσένιός τις ἐπίσκοπος ἠλέγχθη ποτὲ ὡς ἀναιρεθεὶς παρὰ Ἀθανασίου, ἀλλὰ τοῦτον ἐμάθομεν ζῆν. ἀλλὰ καὶ φιλίαν ἔχειν πρὸς αὐτόν. τὰ ὑπομνήματα τὰ ἐν Μαρεώτῃ γενόμενα διεβεβαιώσατο κατὰ μονομέρειαν γεγενῆσθαι. μήτε γὰρ ἐκεῖ παρεῖναι Μακάριον τὸν πρεσβύτερον τὸν κατηγορούμενον, μήτε αὐτὸν τὸν ἐπίσκοπον αὐτοῦ Ἀθανάσιον. καὶ τοῦτο οὐ μόνον ἐκ τῶν αὐτοῦ λόγων, ἀλλὰ καὶ ἐξ ὑπομνημάτων, ὧν ἐκόμισαν ἡμῖν οἱ περὶ Μαρτύριον καὶ Ἡσύχιον, ἔγνωμεν. ἀναγνόντες γὰρ εὕρομεν, ὅτι ὁ μὲν κατήγορος Ἰσχύρας ἐκεῖ παρῆν, οὔτε δὲ Μακάριος, οὔτε ὁ ἐπίσκοπος Ἀθανάσιος, ἀλλὰ καὶ πρεσβυτέρους Ἀθανασίου ἀξιοῦντας παρεῖναι καὶ μὴ συγχωρηθέντας. ἔδει δὲ ἀγαπητοί, εἴπερ μετ' ἀληθείας ἐγίνετο τὸ κριτήριον, μὴ μόνον τὸν κατήγορον, ἀλλὰ καὶ τὸν κατηγορούμενον παρεῖναι. ὥσπερ γὰρ ἐν τῇ Τύρῳ Μακάριος παρῆν ὁ κατηγορούμενος, καὶ Ἰσχύρας ὁ κατήγορος, καὶ οὐδὲν ἐδείχθη, οὕτως ἔδει καὶ ἐν τῷ Μαρεώτῃ μὴ μόνον ἀπελθεῖν τὸν κατήγορον, ἀλλὰ καὶ τὸν κατηγορούμενον, ἵνα παρὼν ἢ ἐλεγχθῇ, ἢ μὴ ἐλεγχθεὶς, δείξῃ τὴν συκοφαντίαν, νυνὶ δὲ τούτου μὴ γενομένου, ἀλλὰ μόνον ἀπελθόντος τοῦ κατηγόρου, μεθ' ὧν παρῃτήσατο Ἀθανάσιος,

ὑπο-

ciant, breuibus tamē ratio vobis iſtarū rerū demonſtanda eſt. Scripſere prius Euſebius cū ſuis cōtra Athanaſiū, ſcripſiſtis & vos in præſentia, ſcripſere etiā plurimi ex Aegypto, & ex alijs prouincijs Epiſcopi pro Athanaſio: nā quod ante omnia obſeruari oportet, literæ veſtræ aduerſus Athanaſiū inter ſe pugnant, & primæ cum ſecūdis nullū concentū habēt, ſed in pleriſq; primæ à ſecūdis deſtruūtur, & ſecūdæ à primis reddūtur ſuſpectæ, ex diſcrepātibus autē literis, nulla certitudo cōſtitui poteſt. Quod ſi veſtris literis fidē dari poſtulatis, ęquū eſt & literis eorū, qui pro eo ſcribūt, fidē nō abnegare, & maximè quod vobis à patria eius lōgè diſtātibus, illi, qui in ijſdē locis cū Athanaſio degūt, vt de homine noto, rebuſq; ibi geſtis certiores, probū teſtimoniū de vitę eius innocentia perhibēt, affirmantes eū, non niſi cōfictis criminibus opprimi. Quin & Arſenius aliquando dictus ab Athanaſio interfectus, quē iam cognouimus in vita eſſe, & cū Athanaſio amicitiā, fouere, is ipſe affirmat, ea quæ acta ſunt Mareotę, in abſentia alterius partis acta fuiſſe: neq; .n. ibi pręſto fuiſſe Macariū Presbyterū, qui reatum ſuſtinebat, neq; Epiſcopū eius Athanaſiū, & hoc non ſolū ex verbis eius, ſed ex monumētis actorum per Martyriū, & Heſichiū allatis cognouimus: ea enim perlegētes, inuenimus accuſatorē Iſchyram ibi pręſto fuiſſe: Macariū autem & Athanaſiū nequaquā adfuiſſe, neq; Athanaſij Presbyteros, quāquam hoc ipſū magnopere ſolicitātes, admiſſos eſſe. Oportebat autē dilectiſſimi, ſi quidē ſynceriter illud iudiciū agebatur, non ſolū accuſatorem ſed & reum pręſētem ſiſti. Et vt Tyri Macarius aderat reus & Iſchyras accuſator, vbi nihil criminū docere potuit, ita quoq; in Mareoten nō ſolū oportuit accuſatorē, ſed & reū quoq; vnà proficiſci, vt vel præſens cōuinceretur, vel ſi victus non eſſet, appareret eū calumnijs petitū fuiſſe: iam cum

hoc

ὕποπτα τὰ πράγματα φαίνεται. ᾐτιᾶτο δὲ καὶ τοὺς ἀπελθόν-
τας εἰς τὴν Μαρεώτην, παρὰ γνώμην αὐτοῦ ἀπεληλυθέναι,
ἔλεγε γὰρ ὅτι Θεόγνιον, καὶ Μάριν, καὶ Θεόδωρον, Οὐρ-
σάκιον, καὶ Οὐάλεντα, καὶ Μακεδόνιον, ὑπόπτους ὄντας
ἀπέστειλαν, καὶ τοῦτο οὐκ ἐκ τῶν λόγων αὐτοῦ μόνον, ἀλλὰ καὶ
ἐκ τῆς ἐπιστολῆς Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου τῆς Θεσ-
σαλονίκης ἐδείκνυε. προσήνεγκε γὰρ ἐπιστολὴν αὐτοῦ γρα-
φεῖσαν πρὸς Διονύσιον τὸν ἐν τῇ συνόδῳ κόμητα, ἐν ᾗ δη-
λοῖ φανερὰν συσκευὴν γενέσθαι κατὰ Ἀθανασίου. καὶ αὐτοῦ δὲ
τοῦ κατηγόρου Ἰσχύρα, προεκόμισε χεῖρα ὁλόγραφον αὐθεν-
τικὴν, ἐν ᾗ μάρτυρα τὸν Θεὸν τὸν παντοκράτορα ἐπικαλού-
μενος, μήτε ποτηρίου κλάσιν μήτε τραπέζης ἀνατροπὴν γε-
γενῆσθαι ἔλεγεν, ἀλλ᾽ ὑποβεβλῆσθαι ἑαυτὸν ὑπό τινων,
πλάσασθαι ταύτην τὴν κατηγορίαν, ἀπαντήσαντες δὲ καὶ
πρεσβύτεροι τοῦ Μαρεώτου, διεβεβαιώσαντο μήτε τὸν Ἰσχύ-
ραν πρεσβύτερον εἶναι τῆς καθολικῆς ἐκκλησίας, μήτε τι τοιοῦ-
τον πεπλημμεληκέναι Μακάριον, ὁποῖον ἐκεῖνος ἐκατηγόρη-
σεν. Οἱ πρεσβύτεροι δὲ καὶ οἱ διάκονοι ἀπαντήσαντες ἐν-
ταῦθα, οὐκ ὀλίγα, ἀλλὰ καὶ πολλὰ ἐμαρτύρησαν ὑπὲρ τοῦ
ἐπισκόπου Ἀθανασίου, διαβεβαιούμενοι μηδὲν ἀληθὲς εἶναι τῶν
κατ᾽ αὐτοῦ λεγομένων, συσκευὴν δὲ αὐτὸν πεπονθέναι, καὶ
οἱ ἀπὸ τῆς Αἰγύπτου δὲ καὶ Λιβύης πάντες ἐπίσκοποι, γρά-
φοντες διεβεβαιώσαντο καὶ τὴν κατάστασιν αὐτοῦ ἔννομον καὶ
ἐκκλησιαστικὴν γεγονέναι, καὶ πάντα τὰ παρ᾽ ὑμῶν λεγό-
μενα κατ᾽ αὐτοῦ εἶναι ψευδῆ, οὔτε γὰρ φόνον γεγενῆσθαι, οὔ-
τε τινὰς ἀναιρεθῆναι δι᾽ αὐτὸν, οὔτε κλάσιν ποτηρίου γε-
γενῆσθαι, ἀλλὰ πάντα εἶναι ψευδῆ. καὶ ἐκ τῶν ὑπομνημά-
των δὲ τῶν ἐν Μαρεώτῃ κατὰ μονομέρειαν γεγενημένων ἐδεί-
κνυεν ὁ ἐπίσκοπος Ἀθανάσιος ἕνα κατηχούμενον, ἐξετα-
σθέντα, καὶ εἰπόντα ἔνδον εἶναι μετὰ Ἰσχύρα, ὅτε Μακάριος ὁ πρε-
σβύτερος Ἀθανασίου, ὡς λέγουσιν, ἐπέστη τῷ τόπῳ. καὶ ἄλ-
λους δὲ ἐξετασθέντας καὶ εἰπόντας, τὸν μὲν ἐν κελλίῳ μι-
κρῷ, τὸν δὲ ὄπισθεν τῆς θύρας κατακεῖσθαι τὸν Ἰσχύραν τό-

τε;

hoc factũ non sit, sed solũ ibi accusator steterit, cum ijs, quos vt suspectos Athanasius reijciebat, actorũ illorum monumẽta suspicione carere nõ possũt. Addebat prętererea in sua querela eos, qui Mareoten profecti sunt se inuito eò profectos esse: misere enim eò (vt ipse dicebat) Theognium, Marium, Vrsacium, Valentem, & Macedoniũ, homines suspectos, neq; hoc ita esse solũmodo verbis suis, sed literis quoq; Alexandri Thessalonicensium Episcopi demõstrabat: protulit enim epistolã illius scriptã ad Dionysiũ, qui in ea Synodo Comes erat, quibus Episcopis ille liquidò declarat, Athanasiũ calumnijs & ipsius quoq; accusatoris Ischyræ cõiurationibus opprimi, verã manum & authenticã protulit, in qua ille testatur Deũ omnipotentẽ inuocans, neq; calicis confractionẽ neq; mensæ subuersionẽ vllam fuisse, sed se subornatũ esse à certis hominibus, vt crimẽ cõfingeret: Deinde cũ huc excurrissent Mareotæ Presbyteri, affirmarunt, neq; Ischyramesse Catholicæ Ecclesiæ Presbyterũ, neq; tale quid cõmisisse Macariũ, quale illi imputabat. Quinimò Presbyteri, & Diaconi cũ huc venissent, nõ tenuiter, sed prolixè testimonia dixere pro Athanasio, affirmantes nihil eorũ, quę illi obijcerẽtur, verũ esse, eumq; cõiurationibus premi, quin & Episcopi ex Aegypto & Africa in suis scriptis affirmarunt, constitutionẽ Athanasij in suscipiẽdo episcopatu, legitimã, & ecclesiasticam fuisse neq; cędem cõmissam, neq; quemquã per illum sublatum esse, neq; poculum vllum cõfractum, sed omnia esse conficta. Et ex ipsis iudicijs in Mareota per absentiã alterius partis habitis, ostẽdebat Athanasius, vnũ catechumenum in examinatione sui dixisse, se intus cum Ischyra fuisse, quo tempore Macarius Presbyter Athanasij eò, vt aiunt, se in eum locum immisisset, alios itẽ examinatos pro testimonio dixisse Ischyram in cellula parua latuisse, alios, post

τε, νοσοῦντα, ὅτε Μακάριον λέγουσιν ἀπηντηκέναι ἐκεῖ. ἀπὸ δὴ τούτων ὧν ἔλεγε καὶ ἡμεῖς ἀκολούθως στοχαζόμεθα, ὅτι πῶς οἷόν τε τὸν ὄπισθεν τῆς θύρας νόσῳ κατακείμενον, τότε ἑστηκέναι καὶ λειτουργεῖν καὶ προσφέρειν; ἢ πῶς οἷόν τε τὴν προσφορὰν προκεῖσθαι, ἔνδον ὄντων τῶν κατηχουμένων; εἰ γὰρ ἔνδον ἦσαν οἱ κατηχούμενοι, οὔπω ἦν ὁ καιρὸς τῆς προσφορᾶς. ταῦτα, ὥσπερ εἴρηται, ἔλεγεν ὁ ἐπίσκοπος Ἀθανάσιος, καὶ ἐκ τῶν ὑπομνημάτων ἐδείκνυε, διαβεβαιουμένων καὶ τῶν σὺν αὐτῷ, μηδὲ ὅλως αὐτὸν πρεσβύτερον γεγενῆσθαί ποτε ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, μηδὲ συνῆχθαι αὐτόν ποτε ἐν τῇ ἐκκλησίᾳ ὡς πρεσβύτερον. οὐδὲ γὰρ οὐδὲ ὅτι Ἀλέξανδρος ἐδέχετο κατὰ φιλανθρωπίαν τῆς μεγάλης συνόδου τοὺς ἀπὸ σχίσματος Μελιτίου, ὠνομάσθαι αὐτὸν ὑπὸ Μελιτίου μετὰ τῶν αὐτοῦ διεβεβαιοῦντο, ὃ καὶ μέγιστόν ἐστι τεκμήριον, μὴ εἶναι αὐτὸν μήτε Μελιτίου. εἰ γὰρ ἦν, πάντως καὶ αὐτὸς αὐτοῖς συνηριθμεῖτο. ἄλλως τε καὶ ἐν ἄλλοις ὁ Ἰσχύρας ψευσάμενος ἐδείκνυτο ὑπὸ Ἀθανασίου, ἐκ τῶν ὑπομνημάτων. κατηγορήσας γὰρ ὡς βιβλίων κεκαυμένων, ὅτε ὡς λέγουσι Μακάριος ἐπέστη, ἠλέγχθη ὑφ' ὧν αὐτὸς ἤνεγκε μαρτύρων ψευσάμενος. τούτων τοίνυν οὕτως λεγομένων, καὶ τοσούτων μὲν ὄντων τῶν μαρτύρων, τῶν ὑπὲρ αὐτοῦ, τοσούτων δὲ δικαιωμάτων προφερομένων ὑπ' αὐτοῦ, τί ἔδει ποιεῖν ἡμᾶς; ἢ τί ὁ ἐκκλησιαστικὸς κανὼν ἀπαιτεῖ; ἢ μὴ καταγνῶναι τοῦ ἀνδρὸς, ἀλλὰ μᾶλλον ἀποδέξασθαι καὶ ἔχειν αὐτὸν ἐπίσκοπον, ὥσπερ καὶ ἔχομεν; καὶ γὰρ πρὸς τούτοις πᾶσι, παρέμεινεν ἐνταῦθα ἐνιαυτὸν καὶ ἓξ μῆνας ἐκδεχόμενος τὴν παρουσίαν ὑμῶν, ἢ τῶν βουλομένων ἐλθεῖν. τῇ δὲ παρουσίᾳ ἐδυσώπει πάντας, ὅτι οὐκ ἂν παρῆν, εἰ μὴ ἐθάρρει. καὶ γὰρ οὐκ ἀφ' ἑαυτοῦ ἐλήλυθεν, ἀλλὰ κληθεὶς καὶ λαβὼν γράμματα παρ' ἡμῶν, καθάπερ καὶ ὑμῖν ἐγράψαμεν, καὶ ὅμως μετὰ τοσαῦτα, ὑμεῖς ὡς παρὰ κανόνας ποιήσαντας ἡμᾶς ἐμέμψασθε. σκοπεῖτε τοίνυν τίνες εἰσὶν οἱ παρὰ κα-

ostium ægrotum eodẽ tempore decubuisse, quo Macarius superueniebat. Ex istis rationibus Athanasij, facilè colligebamus, fieri non potuisse, vt qui morbo post ostiũ decumbebat, in sacris constiterit, & oblationem cõfecerit, nec oblationẽ proponi potuisse, cum intus catechumeni versarentur, quibus intus adhuc agẽtibns, tempus oblationis nondum esse potuit. Hæc vt iam exposui, pro se dicebat Athanasius, & rem ita esse, ex actis declarabat, idem affirmantibus cæteris, qui cum eo erant, prorsus nunquam Ischyram Ecclesiæ Presbyterum fuisse, aut vt Presbyterum Synaxim cum alijs fecisse. Neque enim quo tempore Alexander ex humanitate magni concilij, eos, qui erant ex schismate Meletij recipiebat, hunc à Meletio tanquam suum nominatum fuisse affirmabant, quod ipsum maximum signum est, non fuisse illum ex numero Meletianorum: nam si Meletianus fuisset, omnibus modis illum in eorum classe recensuissent. Quin & alibi falsa dixisse Ischyram ex ipsis actis comprobatum est ab Athanasio, quippe qui in crimine de combustis libris falsi conuictus sit ab ijs, quos in testes adduxerat. Quum igitur istiusmodi allegarentur, & tot testes pro Athanasio starent, & ipse tam iusta pro se adferret, quid quæso nos oportuit facere? An non quod Ecclesiastici Canonis est? hominemque proinde non condemnaremus, sed potius reciperemus? eumque pro Episcopo, quemadmodnm est, haberemus? Præter hæc omnia annum totum, & integros sex menses apud nos hæsit, vestram præsentiam expectans, aut quotquot comparere auderent, suaque præsentia pudefecit omnes: non enim iudicio stetisset, nisi sui fiduciam habuisset, neque spontè, sed literis nostris ad iudicium vocatus, comparuisset, quemadmodum vos per literas citauimus, & tamen post tanta argumenta nos velut insolitum quiddam agentes

νόνας πράξαντες, ἡμεῖς οἱ μετὰ τοσούτων ἀποδείξεων τὸν ἄνδρα δεξάμενοι, ἢ οἱ ἀπὸ τριάκοντα καὶ ἓξ μονῶν ἐν Ἀντιοχείᾳ ὀνομάσαντές τινα ὡς ἐπίσκοπον ξένον, καὶ ἀποστείλαντες εἰς Ἀλεξάνδρειαν μετὰ στρατιωτικῆς ἐξουσίας; ὅπερ οὐδὲ εἰς Γαλλίας αὐτοῦ ἀποσταλέντος. ἐγεγόνει γὰρ ἂν καὶ τότε, εἰ ὄντως ἦν καταγνωσθείς. ἀμέλει ἐπανελθὼν σχολάζουσαν καὶ ἐκδεχομένην αὐτὸν τὴν ἐκκλησίαν εὗρεν, ἀλλὰ νῦν οὐκ οἶδα ποίῳ τρόπῳ γέγονε τὰ γενόμενα. πρῶτον μὲν γὰρ εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὐκ ἔδει γραψάντων ἡμῶν σύνοδον γενέσθαι, προλαβεῖν τινας τὴν ἐκ τῆς συνόδου κρίσιν, ἔπειτα, οὐκ ἔδει τοιαύτην καινοτομίαν κατὰ τῆς ἐκκλησίας γενέσθαι. ποῖος γὰρ κανὼν ἐκκλησιαστικὸς, ἢ ποία παράδοσις ἀποστολικὴ τοιαύτη; ὥστε εἰρηνευούσης ἐκκλησίας, καὶ ἐπισκόπων τοσούτων ὁμόνοιαν ἐχόντων πρὸς τὸν ἐπίσκοπον τῆς Ἀλεξανδρείας Ἀθανάσιον, ἀποσταλῆναι Γρηγόριον, ξένον μὲν τῆς πόλεως, μήτε ἐκεῖ βαπτισθέντα μήτε γινωσκόμενον, τοῖς πολλοῖς, μὴ αἰτηθέντα παρὰ πρεσβυτέρων. μὴ παρ' ἐπισκόπων, μὴ παρὰ λαῶν, ἀλλὰ κατασταθῆναι μὲν ἐν Ἀντιοχείᾳ ἀποσταλῆναι δὲ εἰς τὴν Ἀλεξάνδρειαν, οὐ μετὰ πρεσβυτέρων, οὐ μετὰ διακόνων, τῆς πόλεως, οὐ μετὰ ἐπισκόπων τῆς Αἰγύπτου, ἀλλὰ μετὰ στρατιωτῶν, τοῦτο γὰρ ἔλεγον καὶ ᾐτιῶντο οἱ ἐνταῦθα ἐλθόντες. εἰ γὰρ καὶ μετὰ τὴν σύνοδον ὑπεύθυνος ἦν εὑρεθεὶς ὁ Ἀθανάσιος, οὐκ ἔδει τὴν κατάστασιν οὕτως παρανόμως καὶ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα γενέσθαι, ἀλλ' ἐπ' αὐτῆς τῆς ἐκκλησίας ἀπ' αὐτοῦ τοῦ ἱερατείου, ἀπ' αὐτοῦ τοῦ κλήρου, τοὺς ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπους ἔδει καταστῆσαι, καὶ μὴ νῦν τοὺς ἀπὸ τῶν ἀποστόλων κανόνας παραλύεσθαι. ἆρα γὰρ εἰ καθ' ἑνὸς ὑμῶν ἐγεγόνει τὸ τοιοῦτον, οὐκ ἂν ἐβοήσατε, οὐκ ἂν ἠξιώσατε ὡς παραλελυμένων τῶν κανόνων, ἐκδικηθῆναι; ἀγαπητοὶ ὡς Θεοῦ παρόντος μετὰ ἀληθείας φθεγγόμεθα καὶ λέγομεν, οὐκ ἔστι τοῦτο εὐσεβὲς, οὐδὲ νόμιμον, οὐδὲ ἐκκλησιαστικόν. καὶ γὰρ καὶ τὰ λεγόμενα

repræhēditis. Qui igitur ſunt qui contra Canones agūt? noſne, qui cum tantis rerum documentis virum recipimus, an qui Antiochiæ fuere qui externum hominem ad triginta ſex manſiones diſtantem Epiſcopum nominarunt, eumque militari manu Alexandriam deduxerunt? quod ne tunc quidem factum eſt, quum Athanaſius in Galliam relegebatur, quod tum haud dubiè factum fuiſſet, ſi pro verè damnato habitus fuiſſet: certè cum inde ab exilio rediret, etiam tum ſuam Eccleſiam, à qua recipiebatur, vacantem inuenit. Prorſus ignoro quanam ratione facta ſunt, quæ facta ſunt. Primum enim (ſi verum dicendum eſt) non decebat, cum nos ad celebrandam Synodum literas mitteremus, aliquos præoccupare iudicium Synodi; deinde non decuit nouos iſtos modos contra Eccleſiam induci: vbi enim eſt iſtiuſmodi Eccleſiaſticus Canon, aut iſtiuſmodi traditio Apoſtolica? vt in pace agente Eccleſia, & Epiſcopis concordibus cum Epiſcopo Alexandriæ Athanaſio immittere Gregorium peregrinum, & externum hominem, neque Alexandriæ baptizatum, neque plebi cognitum, neque poſtulatum à Presbyteris, eumq; Antiochiæ creare Epiſcopum, atq; inde deducere Alexandriam, non cum Presbyteris aut Diaconis Ciuitatis, non cū Epiſcopis Aegypti, ſed cum militibus? Hæc enim dixere & conqueſti ſunt, qui huc venerūt: Si enim poſt Synodum in culpa fuiſſet depræhenſus Athanaſius, non tamē oportuit, creationem noui Epiſcopi ita illegaliter, & præter Canonē Eccleſiaſticū fieri, ſed in ipſa Eccleſia, & ex ipſo ſacerdotali ordine, & ex ipſo clero eius prouinciæ Epiſcopos conſtitui, & nequaquam ex illis, qui nunc Apoſtolorū Canones violāt. Age ſi in quenquā veſtrū id cōmiſſum eſſet, nonne vociferaturi eſſetis? nōne vindictā quaſi violatis Canonibus, poſtulaturi fuiſſetis? Dilecti credite, tanquā Deo pręſēte

cum

μὲνα. γεγενῆσθαι περὶ Γρηγορίου ἐν τῇ εἰσόδῳ αὐτοῦ, δείκνυσι τὴν τῆς καταστάσεως τάξιν. ἐν γὰρ τοιούτοις εἰρηνικοῖς καιροῖς. ὡς αὐτοὶ οἱ ἐλθόντες ἀπὸ τῆς Ἀλεξανδρείας ἀπήγγειλαν, καθὼς καὶ οἱ ἐπίσκοποι ἔγραψαν, ἡ ἐκκλησία ἐμπρησμὸν ὑπέμεινε, παρθένοι ἐγυμνώθησαν, μονάζοντες κατεπατήθησαν, πρεσβύτεροι καὶ πολλοὶ τοῦ λαοῦ ἠκίσθησαν καὶ βίαν πεπόνθασιν, ἐπίσκοποι ἐφυλακίσθησαν, περιεσύρησαν πολλοί, τὰ ἅγια μυστήρια, ἐφ' οἷς ᾐτιῶντο Μακάριον τὸν πρεσβύτερον, ὑπὸ ἐθνικῶν διηρπάζετο, καὶ εἰς γῆν κατεβάλλετο, ἵνα τὴν Γρηγορίου τινὲς κατάστασιν δέξωνται, τὰ δὲ τοιαῦτα δείκνυσι τοὺς παραλύοντας τοὺς κανόνας. εἰ γὰρ νομίμη ἦν ἡ κατάστασις, οὐκ ἂν διὰ παρανομίας ἠνάγκαζε πείθεσθαι τοὺς νομίμως ἀπειθοῦντας αὐτῷ, καὶ ὅμως τοιούτων γενομένων, γράφετε εἰρήνην μεγάλην γεγενῆσθαι ἐν Ἀλεξανδρείᾳ καὶ τῇ Αἰγύπτῳ, ἐκτὸς εἰ μὴ ἀντιμεταβέβληται τὸ ἔργον τῆς εἰρήνης, καὶ τὰ τοιαῦτα εἰρήνην ὀνομάζετε. κἀκεῖνο δὲ ὑμῖν ἀναγκαῖον ἐνόμισα δηλῶσαι, ὅτι Ἀθανάσιος διεβεβαιοῦτο Μακάριον ἐν Τύρῳ ὑπὸ στρατιώτας γεγενῆσθαι, καὶ μόνον τὸν κατήγορον ἀπεληλυθέναι μετὰ τῶν ἀπελθόντων εἰς τὸν Μαρεώτην, καὶ τοὺς μὲν πρεσβυτέρους ἀξιοῦντας παρεῖναι ἐν τῇ ἐξετάσει μὴ συγκεχωρῆσθαι, τὴν δὲ ἐξέτασιν γεγενῆσθαι περὶ ποτηρίου καὶ τραπέζης, ἐπὶ παρουσίᾳ τοῦ ἐπάρχου καὶ τῆς τάξεως αὐτοῦ, παρόντων ἐθνικῶν καὶ Ἰουδαίων. τοῦτο δὲ κατὰ τὰς ἀρχὰς ἄπιστον ἦν, εἰ μὴ καὶ ἐκ τῶν ὑπομνημάτων ἐδείκνυτο, ἐφ' ᾧ καὶ ἐθαυμάσαμεν, νομίζω δὲ καὶ ὑμᾶς ἐπιθαυμάζειν ἀγαπητοί. πρεσβύτεροι μὲν οὐκ ἐπιτρέπονται παρεῖναι οἱ καὶ τῶν μυστηρίων λειτουργοὶ τυγχάνοντες, ἐπὶ δὲ ἐξωτικοῦ δικαστοῦ παρόντων κατηχουμένων, καὶ τὸ χεῖρον ἐπὶ ἐθνικῶν καὶ Ἰουδαίων τῶν διαβεβλημένων περὶ τὸν χριστιανισμόν, ἐξέτασις περὶ αἵματος Χριστοῦ καὶ σώματος Χριστοῦ, γίνεται. εἰ γὰρ καὶ ὅλως ἐγεγόνει τι πλημμέλημα, ἔδει ἐν τῇ ἐκκλησίᾳ ὑπὸ κληρικῶν νομίμως ἐξετάζεσθαι

τὰ

cū veritate loquimur. Non est illud piè factū, nō ex iure non ecclesiasticè. Quinimò quę feruntur acta in introitu Gregorij ostēdūt qualis fuerit ordo in eius ordinatione: temporibus enim ita pacatis prout renunciant qui inde veniunt, & quemadmodū Episcopi scribunt, ipsa Ecclesia incendiū passa est, virgines denudatæ, monachi conculcati, Presbyteri, & multi ex populo indignè habiti, & violati, Episcopi in carcerē detrusi, multi item spoliati. Sacra mysteria, de quibus incusabāt Macariū Presbyterum, ab Ethnicis direpta, & in terram abiecta sunt, vt vi cogerent nōnullos, ad cōstitutionem Gregorij approbādam. Hæc & istiusmodi ostendunt, quinam sint Canonū pręuaricatores. Nam & si legitima fuisset ęius cōstitutio, non tamē cum præuaricatione legum coegisset eos sibi obtemperare, qui ei legitimè obaudiebāt. Et tamē cum talia scelera designata sint, scribitis magnificam pacem Alexādriæ, & per Aegyptum fuisse, quasi res officiūq; pacis in cōtrariam iam significationē abierit. Illud quoque necessariū existimaui, quod vobis indicaretur, Athanasiū affirmasse Macariū sub custodia militū habitum esse, & solū accusatorē vnà cum illis, qui Mareoten proficiscebātur, abijsse, & Presbyteris rogantibus, vt in quæstione adesse liceret, pernegatum, & quæstionē habitā fuisse de calice, & mēsa in præsentia præfecti & eius cohortis, assistentibus tum Ethnicis, tum Iudęis. Id principio nobis incredibile videbatur, nisi ex ipsis actorū monumentis demonstratū fuisset, certè nobis magnæ admirationis fuit, vt etiam vobis esse puto. Atqui ne Presbyteris quidem adesse permittitur in mysterijs, quum tamē ipsi quoq; sacrorū administri sint. Iam quis non execretur sub externo iudice præsentibus Catechumenis, & quod peius est, Ethnicis & Iudæis Christianismū blasphemantibus, quæstionē de sāguine, & corpore Christi haberi? Nam si omninò

τὰ τοιαῦτα. Περὶ δὲ Μαρκέλλου ἐπειδὴ καὶ περὶ αὐτοῦ ὡς ἀσεβοῦντος εἰς τὸν Χριστὸν ἐγράψατε, δηλῶσαι ὑμῖν ἐσπούδασα, ὅτι ἐνταῦθα γενόμενος, διεβεβαιώσατο μὲν μὴ εἶναι ἀληθῆ τὰ περὶ αὐτοῦ γραφέντα παρ' ὑμῶν, ὅμως δὲ ἀπαιτούμενος παρ' ἡμῶν εἰπεῖν περὶ τῆς πίστεως, οὕτως μετὰ παῤῥησίας ἀπεκρίνατο δι' ἑαυτοῦ, ὡς ἐπιγνῶναι μὲν ἡμᾶς ὅτι μηδὲν ἔξωθεν τῆς ἀληθείας ὁμολογεῖ, οὕτως γὰρ εὐσεβῶς περὶ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὡμολόγησε φρονεῖν, ὥσπερ καὶ ἡ καθολικὴ ἐκκλησία φρονεῖ, καὶ οὐ νῦν ταῦτα πεφρονηκέναι διεβεβαιώσατο, ἀλλὰ καὶ ἔκπαλαι, ὥσπερ οὖν καὶ οἱ ἡμέτεροι πρεσβύτεροι τότε ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ γενόμενοι, ἐμαρτύρησαν αὐτοῦ τῇ ὀρθοδοξίᾳ. καὶ γὰρ καὶ τότε καὶ νῦν κατὰ τῆς αἱρέσεως τῶν Ἀρειανῶν πεφρονηκέναι διϊσχυρίσατο, ἐφ' ᾧ καὶ ὑμᾶς ὑπομνῆσαι δίκαιόν ἐστιν, ἵνα μηδεὶς τὴν τοιαύτην αἵρεσιν ἀποδέχηται, ἀλλὰ βδελύττηται ὡς ἀλλοτρίαν τῆς ὑγιαινούσης διδασκαλίας. ὀρθὰ τοίνυν αὐτὸν φρονοῦντα, καὶ ἐπὶ ὀρθοδοξίᾳ μαρτυρούμενον, τί πάλιν καὶ ἐπὶ τούτου ἔδει ποιεῖν ἡμᾶς, ἢ ἔχειν αὐτὸν ὥσπερ καὶ εἴχομεν, ἐπίσκοπον, καὶ μὴ ἀποβάλλειν τῆς κοινωνίας; ταῦτα μὲν οὖν ἐγὼ οὐχ ὡς ὑπεραπολογούμενος αὐτῶν γέγραφα, ἀλλ' ἕνεκα τοῦ πιστεῦσαι ὑμᾶς, ὅτι δικαίως καὶ κανονικῶς ἐδεξάμεθα τοὺς ἄνδρας, καὶ μάτην φιλονεικεῖτε. ὑμᾶς δὲ δίκαιόν ἐστι σπουδάσαι καὶ πάντα τρόπον καμεῖν, ἵνα τὰ μὲν παρὰ κανόνα γενόμενα, διορθώσεως τύχῃ, αἱ δὲ ἐκκλησίαι, εἰρήνην ἔχωσι, πρὸς τὸ τὴν τοῦ Κυρίου εἰρήνην τὴν δοθεῖσαν ἡμῖν παραμεῖναι, ὁμολογῶ γὰρ τὰ γενόμενα, οὐκ εἰρήνης, ἀλλὰ σχίσματος προφάσεις εἰσίν. οὐ γὰρ μόνον οἱ περὶ Ἀθανάσιον καὶ Μάρκελλον οἱ ἐπίσκοποι ἐληλύθασιν ἐνταῦθα, αἰτιώμενοι κατ' αὐτῶν ἀδικίαν γεγονέναι, ἀλλὰ καὶ πλεῖστοι ἄλλοι ἐπίσκοποι ἀπὸ Θρᾴκης, ἀπὸ Κοίλης Συρίας, ἀπὸ Φοινίκης καὶ Παλαιστίνης, καὶ πρεσβύτεροι μὲν οὐκ ὀλίγοι, ἄλλοι δέ τινες ἀπὸ Ἀλεξανδρείας, καὶ ἄλλοι ἐξ ἄλλων με-

nino delictũ aliquod perpetratum fuiſſet, oportebat de eo in Eccleſia inquiri ſub legitimis clericis. De Marcello autem poſtquam de illo quoque, vt impio in Chriſtum perſcripſiſtis, vobis ſtudui ſignificare, eũ cum huc veniſſet, affirmaſſe falſa eſſe, quę de ſe in literis veſtris ſcripta eſſēt, ſed tamen cum à nobis poſtularetur, vt de fide diceret, tanta cum fiducia per ſe reſpondit, vt nemo non perciperet, eum nihil à veritate profiteri alienum, ſed eadem cum pietate, qua Eccleſia de Domino & Saluatore noſtro ſentire, neque iam tantummodo, ſed etiam olim huius ſententiæ ſe fuiſſe confirmabat, vti & noſtri Presbyteri, qui tunc in Nicæno Concilio aderant, de ipſius recta fide conteſtabantur: Nam & eum tunc quoque in ſententijs dicendis dimicaſſe cum Ariana hæreſi teſtes fuere, cuius quoque vos admonitos velim, nequis talem hæreſim appreobet, ſed abominetur, vt alienam à ſana doctrina. D viro igitur, quem rectæ opinionis, & ſyncerę religionis eſſe, teſtimonijs approbatũ eſt, quid quæſo nos facere oportuit? anne, vt eũ pro Epiſcopo haberemus quēadmodum habemus? an potius à cõmunione repelleremus? Hæc quidē ego nõ tanquam eorum cauſam agēs ſcribo, ſed vt & vobis fidē facerem, viros iuſtos iuſtè & canonicè à nobis receptos eſſe, & vos minimè habere cauſã litigandi: par autē eſt vt ſtudiũ adhibeatis, & omnibus modis elaboretis, vt quæ cõtra Canonē acta ſunt, emendationē accipiant, & Eccleſiæ pacē habeāt, vt Chriſti pax nobis data permaneat, & nõ ſcindatur Eccleſia, ne vos eã culpã veluti ſchiſmatis authores ſuſtineatis. Dico enim, & planè proteſtor, ea quæ à vobis acta sũt, non eſſe pacis ſed ſchiſmatis. Non enim ſolũ Athanaſius, & Marcellus Epiſcopi cũ querimonijs de illatis iniurijs, ſed & plurimi Epiſcopi ex Thracia, Cœloſyria, Phœnicia, Palæſtina, huc cõuenere, Presby-

ἔφη, ἀπηντήσαν εἰς τὴν ἐνταῦθα σύνοδον, ἐπὶ πάντων τῶν συνελθόντων ἐπισκόπων, πρὸς τοῖς ἄλλοις οἷς ἔλεγον, ὅτι καὶ ἀποδύρονται, βίαν καὶ ἀδικίαν τὰς ἐκκλησίας πεπονθέναι, καὶ ὅμοια τῶν κατὰ Ἀλεξάνδρειαν καὶ τὰς ἑαυτῶν, καὶ ἐν ἄλλαις ἐκκλησίαις γεγενῆσθαι διεβεβαιοῦντο, οὐ λόγῳ μόνον, ἀλλὰ καὶ πράγμασι, καὶ ἐξ Αἰγύπτου δὲ καὶ τῆς Ἀλεξανδρείας πάλιν ἐλθόντες νῦν πρεσβύτεροι μετὰ γραμμάτων, ἀποδύρονται, ὅτι πολλοὶ ἐπίσκοποι καὶ πρεσβύτεροι θέλοντες ἐλθεῖν εἰς τὴν σύνοδον, ἐκωλύθησαν. μέχρι γὰρ νῦν καὶ μετὰ τὴν τοῦ ἐπισκόπου Ἀθανασίου ἀποδημίαν ἔλεγον, ἐπισκόπους ὁμολογητὰς κατακόπτεσθαι πληγαῖς, καὶ ἄλλους φυλακίζεσθαι, ἤδη δὲ καὶ ἀρχαίους, πλεῖστον ὅσον χρόνον ἔχοντας ἐν τῇ ἐπισκοπῇ, εἰς λειτουργίας δημοσίας παραδίδοσθαι καὶ σχεδὸν πάντας τοὺς τῆς καθολικῆς ἐκκλησίας κληρικοὺς καὶ λαϊκοὺς ἐπιβουλεύεσθαι καὶ διώκεσθαι, καὶ γὰρ καί τινας ἐπισκόπους, καί τινας ἀδελφοὺς, ὑπερορίους ἔλεγον γεγενῆσθαι, δι' οὐδὲν ἕτερον, ἢ ἵνα καὶ ἄκοντες ἀναγκάζωνται κοινωνεῖν Γρηγορίῳ, καὶ τοῖς σὺν αὐτῷ Ἀρειανοῖς. καὶ ἐν Ἀγκύρᾳ δὲ τῆς Γαλατίας, οὐκ ὀλίγα γεγενῆσθαι, ἀλλὰ τὰ αὐτὰ πάλιν τοῖς κατὰ Ἀλεξάνδρειαν γενομένοις. ἠκούσαμεν καὶ παρ' ἑτέρων, καὶ Μάρκελλος δὲ ὁ ἐπίσκοπος διεμαρτύρατο. πρὸς δὲ τούτοις καὶ τοιαύτας κατηγορίας, καὶ οὕτω δεινὰς κατά τινων ἐξ ὑμῶν, ἵνα μὴ λέγω τὰ ὀνόματα οἱ ἀπαντήσαντες εἰρήκασιν, ἃς ἐγὼ μὲν γράψαι παρῃτησάμην. ἴσως καὶ ὑμεῖς παρ' ἑτέρων ἀκηκόατε. διὰ τοῦτο γὰρ μάλιστα καὶ ἔγραψα προτρεπόμενος ὑμᾶς ἐλθεῖν, ἵνα καὶ παρόντες ἀκούσητε, καὶ πάντα διορθωθῆναι καὶ θεραπευθῆναι δυνηθῇ, καὶ διὰ τοῦτο προθυμοτέρως ἔδει τοὺς κληθέντας ἀπαντῆσαι, καὶ μὴ παραιτήσασθαι, ἵνα μὴ τέως ὕποπτοι περὶ τὰ λεχθέντα, ἐὰν μὴ ἀπαντήσωσι, νομισθῶσιν, ὡς μὴ δυνάμενοι ἐλέγξαι ἃ ἔγραψαν. τούτων τοίνυν οὕτως λεγομένων, καὶ οὕτως τῶν ἐκκλησιῶν πασχουσῶν, καὶ ἐπιβουλευομένων, ὡς οἱ ἀπαγγέλλοντες διεβεβαιοῦντο,

teri item non pauci,partim ex Alexandria,partim aliūde ad hoc Concilium occurrerunt, & coram omnibus Episcopis ibi congregatis inter reliqua dicta sua conquesti sūt, vim,& iniuriā Ecclesijs illatas esse,suasq; Ecclesias eadem, quæ Alexandrina passas esse, & in alijs Ecclesijs similia designata.Ex Aegypto autē,& Alexandria cū denuò superuenissent Presbyteri,literas secū attulere, quibus plurimorū Episcoporum, & Presbyterorum querimonia cōtinebantur, se, cum huc ad Cōciliū pergerent, detentos fuisse, atq; etiam nūc detineri. Et quemadmodum post Athanasij exiliū cōtingit, Episcopos homines Cōfessores flagris cōscindi, alios in carceribus haberi, Præsulesq; lōgissimi in suo Episcopatu temporis publicis ministerijs mancipari, & fere omnes Clericos, & populos Ecclesię Catholicę insidijs appeti,& persecutionem pati: quosdā item Episcopos, & fratres finibus suis eiectos esse,nulla alia de causa, nisi vt inuiti cogerētur cōmunicare cum Gregorio, & Arianis: & Ancyræ quæ in Galatia est,non pauca aut parua designata esse,sed prorsus eadem cum factis Alexandrinis. Audiuimus etiam ista ab alijs, & Marcellus quoq; Episcopus, rem ita esse suo testimonio confirmabat. Hæc,& huiusmodi crimina contra quosdam ex vestris(vt nomina eorum omittam) hi,qui huc venerunt, detulere, quæ ego adscribere subterfugi, & fortasse ea ab alijs, quænam sint,resciueritis. Et hęc potissima mihi scribēdi causa fuit, vt huc veniretis,quo vobis pręsētibus,omnia corrigi & sanari possēt, ac propterea alacrius à vobis & sine recusatione occurrendum fuit, ne qui hactenus infamia istorum scelerum laborant, cōtumacia non comparēdi in iudicio, libellos cōtra se datos,videantur refellere nō potuisse. Cum igitur talia rumoribus, famaq; circumferantur, tantasque iniurias Ecclesię patiātur, & istiusmodi insidijs vexētur,

τίνες εἰσὶν οἱ φλόγα διχονοίας ἀνάψαντες, ἡμεῖς οἱ λυπούμενοι ἐπὶ τοῖς τοιούτοις, καὶ συμπάσχοντες τοῖς πάσχουσιν ἀδελφοῖς, ἢ οἱ τὰ τοιαῦτα ἐργασάμενοι; θαυμάζω γὰρ πῶς τοιαύτης καὶ τοσαύτης ἐκεῖ ἀκαταστασίας καθ' ἑκάστην ἐκκλησίαν οὔσης δι' ἣν καὶ οἱ ἀπαντήσαντες ἦλθον ἐνταῦθα, γράφετε ἡμεῖς ὁμόνοιαν γεγενῆσθαι ἐν ταῖς ἐκκλησίαις, τὰ δὲ τοιαῦτα οὐκ ἐπὶ οἰκοδομῇ τῆς ἐκκλησίας, ἀλλ' ἐπὶ καθαιρέσει ταύτης γίνεται· καὶ οἱ ἐν τούτοις δὲ χαίροντες, οὐκ εἰσὶν εἰρήνης υἱοὶ, ἀλλὰ ἀκαταστασίας. ὁ δὲ Θεὸς ἡμῶν, οὐκ ἔστιν ἀκαταστασίας, ἀλλ' εἰρήνης. διόπερ ὡς οἶδεν ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κηδόμενος μὲν καὶ τῆς ὑμῶν ὑπολήψεως, εὐχόμενος δὲ καὶ τὰς ἐκκλησίας μὴ ἐν ἀκαταστασίᾳ εἶναι, ἀλλὰ διαμένειν ὥσπερ ὑπὸ τῶν ἀποστόλων ἐκανονίσθη, γράψαι ὑμῖν ταῦτα ἀναγκαῖον ἡγησάμην, ἵνα ἤδη ποτὲ δυσωπήσητε τοὺς διὰ τὴν πρὸς ἀλλήλους ἀπέχθειαν, οὕτως διαθεμένους τὰς ἐκκλησίας. Ἤκουσα γὰρ ὅτι τινές εἰσιν ὀλίγοι, οἱ τούτων πάντων αἴτιοι τυγχάνοντες, καὶ σπουδάσατε ὡς σπλάγχνα ἔχοντες οἰκτιρμῶν διορθώσασθαι ὡς προεῖπον, τὰ παρὰ κανόνα γενόμενα, ἵνα εἰ καί τι προελήφθη, τοῦτο τῇ ὑμετέρᾳ σπουδῇ θεραπευθῇ· καὶ μὴ γράφητε ὅτι τὴν Μαρκέλλου καὶ Ἀθανασίου, ἢ τὴν ἡμῶν εἵλου κοινωνίαν, οὐ γὰρ εἰρήνης, ἀλλὰ φιλονεικίας καὶ μισαδελφίας τὰ τοιαῦτα γνωρίσματα. διὰ τοῦτο οὖν κἀγὼ τὰ προειρημένα ἔγραψα, ἵνα μαθόντες ὅτι οὐκ ἀδίκως ἐδεξάμεθα αὐτοὺς, παύσησθε τῆς τοιαύτης ἔριδος. εἰ μὲν γὰρ ἐλθόντων ὑμῶν ἦσαν καταγνωσθέντες, εἰ μὴ εὐλόγους ἀποδείξεις ἔχειν ἐφαίνοντο ὑπὲρ ἑαυτῶν, καλῶς ἂν τὰ τοιαῦτα γεγραφήκειτε. ἐπειδὴ δὲ, ὡς προεῖπον κανονικῶς καὶ οὐκ ἀδίκως τὴν πρὸς αὐτοὺς ἔχομεν κοινωνίαν, παρακαλῶ ὑπὲρ Χριστοῦ μὴ ἐπιτρέψητε διασχισθῆναι τὰ μέρη τοῦ Χριστοῦ. μὴ δὲ τοῖς προλήμμασι πιστεύσητε, ἀλλὰ τὴν τοῦ Κυρίου εἰρήνην προτιμήσατε, οὐ γὰρ ὅσιον, οὐδὲ δίκαιον δι' ὀλίγων μικροψυχίαν, τοὺς μὴ καταγνω-

σθέντας

vt affirmauere qui huc veniebant, quinam quæso sunt, qui flammam discordiæ accendũt? nos ne qui ista dolemus, & patientibus fratribus cõpatimur, an illi qui hæc scelera designant? Miror autem cum tantæ, ac tales turbationes sint in singulis Ecclesijs, vt non alia de causa itere susceperint, qui ad Cõciliũ venere, vos interim scribere cõcordiam in Ecclesijs voluisse, cum istiusmodi facta, non ad ędificationẽ Ecclesiæ, sed ad subuersionẽ fieri solẽt & qui istiusmodi rebus oblectãtur, non sunt pacis filij sed perturbationis. Deus autẽ noster non est perturbationis, sed pacis Deus. Quapropter quẽadmodum cõscius est Deus Pater Domini nostri Iesu Christi, hæc putaui necessaria esse, quæ vobis scriberentur, tum vt parcerem vestræ existimationi, tum quia optarẽ Ecclesias non in perturbatione esse, sed secundum Canones Apostolorum regi, & vt nunc tandem pudefaceretis illos, qui ob mutuum inter ipsos odium ita Ecclesias vexant. Audio paucos esse istorum malorum authores, quapropter operam date, vt habentes viscera misericordiæ, corrigatis ea, quę, vt dixi, contra Canonem facta sunt, vt si quid vitij anteuertit, id vestro studio emendetur, & ne mihi scribatis, quod Marcelli, & Athanasij communionem potius, quam vestram pręoptauerim: nam hęc non pacis, sed contentionis, & odij fraterni argumenta sunt. Atque superiora scripsi, quo certiores facti, eos non iniustè receptos esse, desisteretis ab huiusmodi iurgio, qui si à vobis hic cum cęteris cõgregatis in iudicio conuicti fuisset, neq; probàs rationes pro sui defensione habuissẽt, rectè nobiscũ in scriptis vestris expostularetis. Postquam autẽ, vt dixi canonicè, & non iniustè cũ ijs fouemus cõmunionẽ, obsecro vos per Iesum Christũ, ne sinatis discindi membra Christi, neq; pręoccupationibus fidem habere, sed Domini pacẽ anteponatis: nõ enim ius

σθέντας ἀποῤῥίπτειν καὶ λυπεῖν ἐν τούτῳ τὸ πνεῦμα. εἰ δὲ νομίζετε δύνασθαί τινα κατ᾽ αὐτῶν ἀποδεῖξαι, καὶ εἰς πρόσωπον αὐτοὺς ἐλέγξαι, ἐλθέτωσαν οἱ βουλόμενοι ἑτοίμους γὰρ ἑαυτοὺς καὶ αὐτοὶ εἶναι ἐπηγγείλαντο, ὥστε καὶ ἀποδεῖξαι, καὶ διελέγξαι περὶ ὧν ἡμῖν ἀπήγγειλαν. σημάνατε οὖν ἡμῖν ἀγαπητοὶ περὶ τούτου, ἵνα κἀκείνοις γράψωμεν, καὶ τοῖς ὀφείλουσι πάλιν συνελθεῖν ἐπισκόποις, πρὸς τὸ πάντων παρόντων, τοὺς ὑπευθύνους καταγνωσθῆναι, καὶ μηκέτι ἀκαταστασίαν ἐν ταῖς ἐκκλησίαις γίνεσθαι. ἀρκεῖ γὰρ τὰ γενόμενα, ἀρκεῖ ὅτι παρόντων ἐπισκόπων, ἐπίσκοποι ἐξορίζονται, περὶ οὗ οὐδὲ μακρηγορεῖν δεῖ, ἵνα μὴ βαρεῖσθαι οἱ παρόντες τότε δοκῶσιν. εἰ γὰρ δεῖ τ᾽ ἀληθὲς εἰπεῖν, οὐκ ἔδει μέχρι τούτων φθάσαι, οὐδὲ εἰς τοσοῦτον ἐλθεῖν τὰς μικροψυχίας. ἔστω Ἀθανάσιος καὶ Μάρκελλος ὡς γράφετε, μετετέθησαν ἀπὸ τῶν ἰδίων τόπων, τί καὶ περὶ τῶν ἄλλων ἄν τις εἴποι; τῶν ἐκ διαφόρων τόπων ὡς προεῖπον ἐλθόντων ἐνταῦθα ἐπισκόπων καὶ πρεσβυτέρων. καὶ αὐτοὶ γὰρ πάλιν ἡρπάσθαι ἑαυτοὺς καὶ τοιαῦτα πεπονθέναι ἔλεγον, ὦ ἀγαπητοὶ, οὐκέτι κατὰ τὸ εὐαγγέλιον, ἀλλὰ λοιπὸν ἐπὶ ἐξορισμῷ καὶ θανάτῳ αἱ κρίσεις τῆς ἐκκλησίας εἰσίν· εἰ γὰρ καὶ ὅλως, ὡς φατὲ, γέγονέ τι εἰς αὐτοὺς ἁμάρτημα, ἔδει κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, καὶ μὴ οὕτως γεγενῆσθαι τὴν κρίσιν, ἔδει γραφῆναι πᾶσιν ἡμῖν, ἵνα οὕτως παρὰ πάντων ὁρισθῇ τὸ δίκαιον. ἐπίσκοποι γὰρ ἦσαν οἱ πάσχοντες, καὶ οὐχ αἱ τυχοῦσαι ἐκκλησίαι αἱ πάσχουσαι, ἀλλ᾽ ὧν αὐτοὶ οἱ ἀπόστολοι δι᾽ ἑαυτῶν καθηγήσαντο. διατί δὲ περὶ τῆς Ἀλεξανδρέων πόλεως μάλιστα οὐκ ἐγράφετο ἡμῖν; ἢ ἀγνοεῖτε ὅτι τοῦτο ἔθος ἦν, πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ὁρίζεσθαι τὰ δίκαια; εἰ μὲν οὖν τι τοιοῦτον ἦν ὑποπτευθὲν εἰς τὸν ἐπίσκοπον, τὸν ἐκεῖ, ἔδει πρὸς τὴν ἐνταῦθα ἐκκλησίαν γραφῆναι. νῦν δὲ οἱ ἡμᾶς μὴ πληροφορήσαντες, πράξαντες δὲ αὐτοὶ ὡς ἠθέλησαν, λοιπὸν καὶ ἡμᾶς οὐ καταγνόντας βούλονται συμψήφους εἶναι. οὐχ οὕτως αἱ

Παύ-

aut fas eſt, ob paucorũ degeneres animos eos abijci, qui condemnati non ſunt aut Spiritum Domini contriſtari. Quod ſi creditis poſſe, quędam illis obiecta oſtēdi, & coram in facie redargui, veniant qui volunt: nam & ſe paratos eſſe, & probaturos dicũt, quę denunciauerũt. Certiores igitur nos, dilectiſſimi, de ea re facite, quo & illis ſcribamus, & cęteris item Epiſcopis, qui huc debent cõuenire, vt coram omnibus, qui culpę obnoxij ſunt, condemnentur, & ne vlterius conturbatio in Eccleſia fiat: ſufficiunt enim quę facta ſunt, ſufficit quoq; in pręſentia Epiſcoporum, Epiſcopos in exilium actos eſſe: de qua re non eſt prolixior ſermo habēdus, ne grauari videātur, qui tum adfuere. Nam ſi verum eſt dicendum, minimè decuit, eo vſque procedere, aut eo vſque euadere iſtas animorũ degeneres puſillanimitates. Eſto vt ſint Athanaſius, & Marcellus, vt ſcribitis, tranſlati è ſuis ſedibus, ſed quid de alijs dicas qui ex diuerſis locis tum Epiſcopi, tum Presbyteri, quemadmodũ dixi, huc venere? Nam & iſti ſe denuo abreptos, & iſtiuſmodi paſſos eſſe dixerunt. O dilecti nõ iam vlterius Eccleſię iudicia ſecundũ Euangeliũ, ſed vel ad exiliũ, vel ad mortem inſtituũtur. Nam ſi, vt dicitis, omnino in culpa fuerunt, oportuit ſecundũ Canonem, & non iſto modo iudicium fieri, oportuit ſcribere omnibus nobis, vt ita ab omnibus quod iuſtũ eſſet, decerneretur. Epiſcopi enim erant non vulgaris Eccleſię qui iſta patiebātur, ſed quā ipſi Apoſtoli ſuamet opera ad fidem inſtruxerāt. Cur igitur, & in primis de Alexandrina Ciuitate nihil nobis ſcribere voluiſtis? an ignari eſtis, hanc cõſuetudinem eſse vt primùm nobis ſcribatur, & hinc, quod iuſtũ eſt, definiri poſset? Quapropter ſi iſthic huiuſmodi ſuſpicio in Epiſcopum cõcepta fuerat, id huc ad noſtrā Eccleſiā referri oportuit. Nunc autem nos, quos certiores minimè fecerũt, poſtquam

iam

Παύλε διατάξεις. ἐχ ἔτως οἱ πατέρες παραδεδώκασιν, ἀλλὰ τύφος ἐστὶν ἐστὲ καὶ καινὸν τὸ ἐπιτήδευμα. παρακαλῶ μετὰ προθυμίας ἐνέγκατε, ὑπὲρ τῆ κοινῆ συμφέροντός ἐστιν ἃ γράφω. ἃ γὰρ παρειλήφαμεν παρὰ τῆ μακαρίε Πέτρε τῆ ἀποςόλε, ταῦτα καὶ ὑμῖν δηλῶ, καὶ ἐκ ἂν ἔγραψα φανερὰ ἡγέμενος εἶναι ταῦτα παρὰ πᾶσιν εἰ μὴ τὰ γενόμενα ἡμᾶς ἐτάραξεν. ἐπίσκοποι ἁρπάζονται καὶ ἐκτοπίζονται, ἄλλοι δὲ ἀλλαχόθεν αἰτιτίθενται, καὶ ἄλλοι ἐπιβελεύονται ὥςε ἐπὶ μὲν τοῖς ἁρπαχθεῖσι, αὐτοὺς πενθεῖν, ἐπὶ δὲ τοῖς πεμπομένοις, ἀναγκάζεσθαι, ἵνα ὓς μὲν θέλεσι, μὴ ἐπιζητῶσιν ὓς δὲ μὴ βέλονται, δέχωνται. ἀξιῶ ὑμᾶς μηκέτι τοιαῦτα γίνεσθαι, γράψατε δὲ μᾶλλον κατὰ τῶν τὰ τοιαῦτα ἐπιχειρούντων, ἵνα μηκέτι τοιαῦτα πάχωσιν αἱ ἐκκλησίαι, μηδέ τις ἐπίσκοπος ἢ πρεσβύτερος, ὕβριν πάχῃ, ἢ παρὰ γνώμην, ὥσπερ ἐδήλωσα ὑμῖν, ἀναγκάζηταί τις ποιεῖν, ἵνα μὴ καὶ παρὰ τοῖς ἔθνεσι γέλωτα ὀφλήσωμεν, καὶ πρό γε πάντων. τὸν Θεὸν παροξυνῶμεν. ἕκαςος γὰρ ἡμῶν ἀποδώσει λόγον ἐν ἡμέρᾳ κρίσεως περὶ ὧν ἐνταῦθα ἔπραξε. γένοιτο δὲ πάντας κατὰ Θεὸν φρονῆσαι, ἵνα καὶ αἱ ἐκκλησίαι τὺς ἐπισκόπυς αὐτῶν ἀπολαβῦσαι, χαίρωσι διὰ παντὸς ἐν Χριςῷ Ἰησῦ τῷ Κυρίῳ ἡμῶν. δι' ὗ τῷ πατρὶ ἡ δόξα εἰς τὺς αἰῶνας τῶν αἰώνων ἀμήν. ἐῤῥῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

Καὶ μὴ θαυμαζέτω τὶς εἰ ὁλόκληρον τὴν ἐπιςολὴν ἀντιγράψαμεν. ἐ γὰρ πάντες οἱ τοῖς ποιήμασι τύτοις ἐντυγχάνοντες διὰ χειρὸς ῥαδίως ἕξυσι τὰ συγγράμματα τῦ μεγάλυ Ἀθανασίυ, ἐξ ὧν ἐςὶ γνῶναι ἀριδήλως τὴν ἀλήθειαν.

Λείπεται δὲ καὶ ὀνομάσαι τὺς ἀνατολικὺς πατριάρχας, ὧν τὰς μαρτυρίας περὶ τῶν προειρημένων ἔργων καὶ προνομίων τῦ Ῥώμης ἀρχιερέως, μέρος μὲν ἐγράψαμεν. μέρος δὲ καὶ γράψομεν.

Ακάκιος αρχιεπίσκοπος Κωνςαντινυπόλεως πρὸς Συμπλίκιον

iam egerint, quod libuit, suffragatores suę damnationis, cui non interfuimus, esse volũt. Non ita se habẽt Pauli ordinationes, non ita Patres docuerũt, sed fastus iste, & nouũ studiũ est. Obsecro vos cum charitate audite, pro publico bono ista scribo. Quę enim accepimus à B. Petro Apostolo, ea vobis significo, non scripturus alioqui, quę nota apud vos esse arbitror, nisi facta ipsa nos conturbassẽt. Episcopi abripiũtur, & suis sedibus propellũtur: alij verò aliũde in eorũ loca reponũtur, alij verò insidijs appetũtur, vt subditi, & de abreptis doleãt & à sũmissis vim patiãtur vt quos optãt frustra requirãt: quos nolũt, inuiti recipiãt. Obsecro ne ista vlterius fiãt vel potius contra illos scribite, qui talia moliũtur, ne deinceps has iniurias Ecclesię patiantur, aut Episcopus, aut Presbyter istiusmodi cõtumelias sentiant, aut pręter animi sententiam ea, quæ nolint, vt nobis indicarũt, cogantur facere, ne apud Ethnicos ridiculi efficiamur, aut, quod prę omnibus grauissimũ est, Deum exacerbemus. Vnusquisque enim nostrum, eorũ quæ hic turbauit, rationem reddet in die iudicij, optoq; vt omnes secundum Deum sentiant, quo Ecclesiæ suis Episcopis receptis perpetuò gaudeant in Christo Iesu Domino nostro, perquem gloria Patri in sęcula sęculorum, Amen. Valere vos in Christo opto desideratissimi fratres.

Et ne miretur aliquis, si integram epistolam transcribendam curauimus: non enim omnes, qui in hæc scripta inciderint, facile præ manibus habebunt opera magni Athanasij, ex quibus clarissimè licet verum agnoscere.

Restat verò, vt in medium adducamus, & nominemus Orientales Patriarchas, quorum testimonia de prædictis operibus & priuilegijs Romani Pontificis partim quidem scripsimus, partim verò scribemu.

Acacius Archiepiscopus Constantinopolitanus ad

πλίκιον. Τῷ μακαριωτάτῳ ἁγίῳ πατρὶ ἀρχιεπισκόπῳ Συμπλικίῳ Ἀκάκιος.

Τὴν μέριμναν πασῶν τῶν ἐκκλησιῶν κατὰ τὸν ἀπόστολον περιφέροντες, ἡμᾶς ἀδιαλείπτως προτρέπετε, καίπερ ἑκόντας ἀγρυπνοῦντας καὶ προτρέχοντας, ἀλλ' ὑμεῖς κατὰ τὸ εἰωθὸς τὸν θεῖον ζῆλον ἐπιδείκνυσθε τὰ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἀκριβέστερον εἰδέναι ζητοῦντες, καὶ ὑπὲρ τῶν πατρικῶν κανόνων ἀναδέχεσθαι τὸν πόνον, ὑπὲρ τούτων δυσεβέστατον ἀποστάζοντες ἱδρῶτα, καθὼς πάντοτε ἀποδέδεικται.

Εὐάγριος ἐν τῷ γ. βιβ. τῆς ἑαυτοῦ ἱστορίας. ἐν κεφ. ιη. Ὁ Ἰωάννης ἐν Ῥώμῃ πεφευγὼς, Φήλικα τὸν μετὰ Συμπλίκιον Ῥώμης ἐπίσκοπον παρενώχλει περὶ τῶν παρὰ Πέτρου γενομένων, καὶ πείθει, ὡς Ζαχαρίας λέγει, καθαιρετικὸν Ἀκακίῳ διαπεμφθῆναι παρὰ τοῦ αὐτοῦ Φήλικος τοῦ πρὸς Πέτρον ἕνεκα κοινωνίας. ὁ ἱστορικὸς οὐ δέχεται τοῦτο. ἀλλ' ἀκριβέστερον διηγεῖται τὴν ἱστορίαν πρὸς τὸ αὐτὸ τείνουσαν. Λιβέλλων ἐπιδιδομένων πρὸς Ἰωάννην τῷ Φήλικι κατὰ Ἀκακίου, ὡς ἀθέσμως Πέτρῳ κοινωνοῦντος καὶ περὶ ἑτέρων ἀκανονίστως παρ' αὐτοῦ γενομένων. στέλλονται παρὰ τοῦ Φήλικος πρὸς τὸν Ζήνωνα Βιτάλιος καὶ Μισῖνος ἐπίσκοποι, ἐφ' ᾧ τὴν ἐν Χαλκηδόνι σύνοδον κρατεῖν, ἀπελαθῆναί τε τὸν Πέτρον ὡς αἱρετικὸν, καὶ Ἀκάκιον πεμφθῆναι πρὸς τὸν Φήλικα, περὶ ὧν ἔλεγεν Ἰωάννης, οὗ πολλάκις ἐμνήσθημεν, ὡς ἐναγῆ τὰς εὐθύνας παρέξοντα. Τούτων τῶν πατριαρχῶν τὰς καθαιρέσεις παρὰ τῶν ἄκρων τῆς Ῥώμης ἀρχιερέων εὑρήσεις ἐν τῇ ὀγδόῃ συνόδῳ κατὰ Φωτίου πράξει ς. καὶ ἀνάγνωθι.

Καί τις ἐπίσκοπος Ἀρκάδιος τοὔνομα ἐν τῇ γ. συνόδῳ ἐγερθεὶς πρὸς τὴν σύνοδον ἔφη. Κελευσάτω ἡ ὑμετέρα μακαριότης, πατέρες αἰδεσιμώτατοι τὰ προσενεχθέντα ἡμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ προσκυνήσεως ὀνομαζομένου Πάπα Καιλεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι, ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα

μακα-

Simplicium . Beatiſſimo Sancto Patri Archiepiſcopo Simplicio, Acacius.

Curam omnium Eccleſiarum ſecundum Apoſtolum circumferentes, nos indeſinenter hortamini, quamuis ſponte vigilemus, & præcurramus; ſed vos iuxta cõſuetudinem, diuinum zelum oſtenditis, diligentius ſcire cupientes quæ ſunt Alexandrinæ Eccleſiæ, & pro paternis Canonibus ſuſcipitis laborem, pro quibus pijſſimum ſudorem ſtillatis, vt ſemper oſteuſum eſt.

Euagrius in 3. libro ſuæ hiſtoriæ cap. 18. Ioannes fugiẽs Alexandria ad antiquam Romam contendit, Felicem Romanum Epiſcopum poſt Simplicium moleſtabat de rebus, quæ à Petro fiebant. Et ſuadet, vt Zacharias ait, depoſitionem mitti Acacio ab ipſo Felice propter communionem, quam habebat cum Petro. Hiſtoricus id non recipit, ſed diligentius narrat hiſtoriam, quæ ad idẽ tendit. Cum à Ioanne dati eſſent libelli Felici aduerſus Acacium, tanquam qui iniquè Petro communicaret, & de alijs, quæ ab eo fiebant, contra Canones; mittuntur à Felice ad Zenonem Imperatorem Vitalius, & Miſſinus Epiſcopi, vt Synodus Chalcedonenſis robur haberet, & expelleretur tanquam hæreticus Petrus, & mitteretur ad Felicem Acacius. De ijs redditurus rationem, de quibus delatores accuſationes præberent eorum, quæ dicebat Ioannes, cuius ſæpiſſimè mentionem fecimus. Horum Patriarcharum depoſitiones à ſummis Pontificibus reperies in octaua Synodo contra Photium actione ſexta. & legas.

Quidam Epiſcopus in 3. Synodo, cui nomen Arcadius, ſurgẽs ad Synodum dixit: Iubeat veſtra Beatitudo Patres reuerẽdiſſimi, vt allatas nobis epiſtolas Sancti & cum veneratiõne nominãdi Papæ Cæleſtini Apoſtolicæ Sedis Epiſcopi legãtur, ex quibus poterit veſtra Beatitu-

μακαριότης. ὁποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

Ὁ ἅγιος καὶ ἱερομάρτυς Σιλβέριος ἀπὸ τῆς γυναικὸς τοῦ Βελισαρίου Ἀντωνίνης, καὶ αὐτοῦ τοῦ Βελισαρίου, τὴν ἔνστασιν ποιούσης τῆς Αὐγούστης Θεοδώρας, ψευδομαρτυρούντων τινῶν παρασκευασθέντων ὑπὸ Βιγιλίου, οἱ προδοσίαν τῆς πόλεως Ῥώμης τῷ Σιλβερίῳ ἐνεκάλουν, κατεδικάσθη καὶ εἰς ἐξορίαν πέμπεται, μηδαμῶς παραιτησάμενος τὸν θρόνον, διὰ τὸ μὴ βουληθῆναι δέξασθαι εἰς κοινωνίαν καὶ ἀποκαταστῆσαι εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως Ἄνθιμον τὸν αἱρετικὸν εὐτυχιανὸν ὄντα, πρεσβευούσης τῆς βασιλίδος. ὁ δὲ Βιγίλιος ὑπέσχετο τοῦτο πράξειν γενόμενος ἀρχιερεύς. οὐ τυχὼν μετὰ ταῦτα τὰ κακῶς ἐπηγγελμένα ἀνύσαι οὐκ ἔστεργεν, ἀλλὰ τὴν κρίσιν τοῦ Ἀγαπητοῦ, καὶ Σιλβερίου κατὰ τοῦ αἱρετικοῦ ὡς γνησίαν καὶ κανονικῶς γενομένην ἐδοκίμαζεν, ἡ δὲ Θεοδώρα ἐκάλει τοῦτον εἰς Κωνσταντινούπολιν, κἀκεῖ παραγενόμενος πλεῖστα ἀνάξια διὰ τὴν ὑπόσχεσιν ἀναχόμενος δικαίως πάσχειν ὡμολόγει, καὶ ἔτι μειζόνων κακῶν εἶναι ἄξιος, ὅμως κἀκεῖ βουλόμενος ὁ Ἰουστινιανὸς λαβὼν πάμπολυ πλῆθος χρημάτων πεῖσαι τὸν Βιγίλον δέξασθαι Παῦλον τὸν αἱρετικὸν καὶ ἀποκαταστῆσαι εἰς τὸν θρόνον τῆς Ἀλεξανδρείας, ὥσπερ ἦν πρότερον, ἥκιστα συγκατανεῦσαι ἠβούλετο, ἄλλου τὸν θρόνον νομίμως ἐσχηκότος. ἀλλὰ τοῦ Πελαγίου τῇ κρίσει ἐκύρωσε. τοίνυν μὴ βουλομένου τὴν ὑπόσχεσιν πληρῶσαι, καὶ τῆς βασιλίσσης μεγάλα ἀπειλούσης, τοῦτον δὲ λέγεται φάναι ᾤμην ἐληλυθέναι πρὸς Ἰουστινιανόν, ἦλθον δὲ πρὸς Διοκλητιανόν. ἐντεῦθεν ἐν πολλοῖς δεινοῖς ἦν εὑρισκόμενος διὰ ταῦτα τὰ ῥήματα, καὶ ὑπὸ τῶν βασιλέων οὐ μόνον καταφρονούμενος, ἀλλ' οἷα τὶς κακοῦργος μαστιζόμενος, καὶ διὰ τοῦ λεωφόρου ἐλαυνόμενος, καὶ μετὰ βρόχου δι' ὅλης τῆς ἡμέρας ἑλκόμενος, ὥστε καὶ τότε οἱ βασιλεῖς καίπερ τυραννοῦντες ἐγνώριζον τὴν ἐξουσίαν τοῦ πάπα καίπερ μὴ νομίμως τότε ἱεραρχοῦντος ζῶντος τοῦ Σιλβερίου καὶ τἀναντία πράττειν οὐκ ἴσχυον βουλόμενοι χριστιανίζειν ἴσως.

do cognoſcere,qualem habet curã omniũ Eccleſiarum.

Sanctus Siluerius,& martyr ab vxore Beliſarij Antonina & ipſomet Beliſario, vrgente Auguſta Theodora, quibuſdam ſubornatis falſis teſtibus à Vigilio,qui proditionem Vrbis Siluerio imputabat, condemnatus eſt, & miſſus in exiliũ, eo quod noluerit in cõmunionẽ recipere, & reſtituere in thronum Conſtantinopolitanum Anthimum hæreticum Eutychianiſtam,rogante Imperatrice. qui tamen Siluerius dignitate ſe non abdicarat: Vigilius autem pollicitus eſt id ſe facturum,ſi Pontifex fieret. Deinde Vigilius Pontificatum conſecutus,quæ malè pollicitus fuerat, efficere nolebat. Sed iudiciũ Agapeti & Siluerij aduerſus hęreticum, tãquam legitimum, & canonicè factum approbat. Theodora verò eum vocabat Conſtantinopolim, eòque profectus, multa indigna ob pollicitationem paſſus, meritò ſe pati, & adhuc maioribus malis eſſe dignum fatebatur. Attamen ibi quoque volens Iuſtinianus perſuadere Vigilio, vt reciperet Paulum hæreticum, à quo acceperat multam pecuniam, reſtitueretque in thronum Alexandrinum, vt erat anteà, minimè annuere volebat, cum alter Sedem legitimè occuparet; Sed Pelagij iudicium ratum habuit. Cum igitur nollet pollicitationẽ explere, & Imperatrix magna ſupplicia minaretur. ferunt, hunc dixiſſe; Exiſtimabam veniſſe ad Iuſtinianum, veni autem ad Diocletianum. Vnde propter hæc verba in multis malis reperiebatur, & non ſolum ab Imperatoribus deſpiciebatur, ſed etiam tanquam malefactor verberabatur ac per publicam plateam conductus, cum fune, per totam diem trahebatur. Itaque tunc etiam Imperatores. quamuis eſſent tyranni, agnoſcebant poteſtatem Papæ quamuis non legitimi, viuente Siluerio & contraria agere non valebant,ſi Chriſtiani eſſe volebant.

Beli-

Ο δὲ Βελισάριος τοσοῦτος. καὶ τηλικοῦτος ἀνὴρ, κἀν τοῖς πολέμοις ἐξοχώτατος στρατηγὸς, καὶ κατ᾽ κεῖνο καιροῦ τὰ πρωτεῖα φέρων, ὃς χάριν τῆς βασιλίσσης, δίκην ἄλλου Πιλάτου τὸν ἀθῶον ἀρχιερέα κατεδίκασε, θείᾳ προνοίᾳ ὑπὸ τοῦ βασιλέως ἐκτυφλωθεὶς, ἐλεεινῶς τὸν βίον κατέστρεψεν. εἰ καὶ ὕστερον μετὰ τὴν ἐξωρίαν τοῦ ἁγίου μεταμεληθεὶς, τὴν ἁμαρτίαν καθαίρων ἐν τῇ Ῥώμῃ ναὸν ἤγειρεν. ὡς δῆλον ἐκ τοῦ εὑρεθέντος λίθου, ἐν ᾧ ἐγκεκολαμμένα εἰσὶ τὰ παρόντα ἔπη λατινικὰ, λεγόμενα λεωνῖνα.

Ναὸν τόνδε πατρίκιος καὶ φίλος τῶν Ῥωμαίων
Ηγειρε πρὸς ἐξιλασμὸν ὧν ἔπραξε ματαίων,
Ο τούτῳ προσερχόμενος προσδέχου τῷ κυρίῳ
Τῶν ἱλασμῶν τὴν ἄβυσσον δοῦναι Βελισαρίῳ.

Αὕτη ἡ πύλη ἐστὶ τοῦ ναοῦ ὑπὸ τοῦ παντοδυνάμου φυλαχθεῖσα Θεοῦ. Μέτελθι τὸν Βαρώνιον ἐν τῷ ζ. τόμῳ φυλ. σος

Ο δὲ Λιβεράτος ἐν τῷ βιβ. τῶν συναξαρίων κεφ. κϛ. οὕτω γράφει περὶ τοῦ ἐπισκόπου τῶν Πατάρων. τοῦ Σιλβερίου ἐλθόντος εἰς τὰ Πάταρα, ὁ αἰδεσιμώτατος ἐπίσκοπος τῆς αὐτῆς πόλεως παραγένετο εἰς τὸν βασιλέα, καὶ τὴν θείαν δίκην ἐμαρτύρατο περὶ τῆς τοῦ τηλικούτου θρόνου τοῦ ἐπισκόπου ἐξωρίας λέγων, πολλοὺς εἶναι βασιλεῖς ἐν τούτῳ τῷ κόσμῳ μὴ εἶναι δὲ ἕνα ὡς εἷς ἐστιν ἐκεῖνος Πάπας, ἐπὶ πᾶσαν τὴν ἐκκλησίαν τοῦ παντὸς ἐκ τοῦ ἰδίου θρόνου ἐξεληλαμένος.

Ταῦτα ἀκούσας Ιουστινιανὸς ὁ βασιλεὺς, δεῖν ἔγνωκε τὴν κρίσιν ἐν Ῥώμῃ γενέσθαι, καὶ τὸν ἀρχιερέα ἀλλότριον εὑρεθέντα τῶν διαβολῶν, τὸν ἴδιον θρόνον ἀπολαμβάνειν. ὑπεύθυνον δὲ ὄντα ἐν οἵᾳ δὴ βούλοιτο ἐπισκοπῇ τὸν βίον διάγειν. ἀλλ᾽ ἡ δαλὶς Θεοδώρα ἡ βασίλισσα, αἱρετικὴ οὖσα πανουργίᾳ ταῦτα διέφθειρε. καὶ ἔπεισε τὸν διάκονον Πελάγιον ἀποκρισάριον τὴν ἐπάνοδον κωλῦσαι τοῦ Σιλβερίου. ὅμως τοῦ βασιλέως προστάσσοντος καὶ ἐνισχύοντος; ὁ ἀρχιερεὺς ἐπανῆλθεν εἰς Ιταλίαν. Ο γοῦν Βιγίλιος φοβηθεὶς τὴν ἔλευσιν τοῦ γνησίου ἀρχιποίμενος φησὶ πρὸς τὸν

Belisarius autem talis, ac tantus vir, & in rebus bellicis strenuissimus exercituum Imperator, suoque tempore facilè princeps, qui in gratiam Imperatricis, instar alterius Pilati innocentem Pontificem condemnauit, diuina prouidentia ab Imperatore posteà excecatus, miserabiliter vitam finiuit. Quamuis deinde pœnitens peccatum expiando, Romæ Ecclesiam ædificandam curauerit. Vt constat ex reperto lapide, vbi extant sculpta latinè hæc carmina, quæ appellantur leonina.

Hanc vir Patricius Vilisarius Vrbis amicus
Ob culpę veniam condidit Ecclesiam.
Hanc idcircò pedem sacram, qui ponis in ędem
Vt miseretur eum sæpè precare Deum.
Ianua hęc est templi Domino defensa potenti:

Vide Baronium tomo 7. fol. 276.

Liberatus verò in Breuiario cap. 22. sic scribit de Episcopo Patarensi. Siluerio, inquit, veniente Pataram, venerabilis Episcopus ciuitatis ipsius venit ad Imperatorem, & iudicium Dei contestatus est de tantæ Sedis Episcopi expulsione, multos esse dicens in hoc mundo Reges, & non esse vnum, sicut ille Papa est super Ecclesiam totius mundi à sua sede expulsus.

Hæc cum audiuisset Iustinianus Imperator statuit, vt iudicium Romæ fieret, & si Pontifex alienus inuentus fuisset à calumnijs, proprium thronum reciperet; si verò obnoxius, in quocunque vellet Episcopatu, vitam transigeret. Cæterùm Dalis Theodora Imperatrix hęretica sua fraude hęc destruxit, & persuasit Diacono Pelagio Apocrisario reditum Siluerij vt ipmpediret. Nihilominus, iubente Imperatore, & præualente, Pontifex redijt in Italiam. Igitur Vigilius timens aduentum legitimi Archipastoris, ait ad Belisarium, trade mihi Siluerium, aliter non possum soluere auri duo centena-

Βελισάριον. παράδος μοι τὸν Σιλβέριον. ἄλλως γὰρ οὐ δύναμαι ἀποτίσαι τὰ δύο κεντηνάρια ἃ ὑπεσχόμην. οὕτω παρέδωκαν τὸν Σιλβέριον δυσὶ δούλοις τοῦ Βιγιλίου, καὶ ἀπήγαγον αὐτὸν εἰς νῆσον τὴν καλουμένην Παλμαρίαν. κἀκεῖ ἐπιλέλοιπεν αὐτὸν τὸ ζῆν διὰ ἔνδειαν τροφῆς. καὶ ἀσιτίαν. μέτελθε τὸν Βαρόνιον τόμῳ ζ. φυλ. σος.

Ο Θεολόγος Γρηγόριος ἐν τοῖς ἰαμβικοῖς ἔπεσι περὶ τοῦ ἑαυτοῦ βίου οὕτω γράφει

Δύω μὲν οὐ δέδωκεν ἡλίους φύσις,
Διστὰς δὲ Ρώμας τῆς ὅλης οἰκουμένης
Λαμπτῆρας, ἀρχαῖον τε καὶ νέον κράτος.
Τόσον διαφέροντας ἀλλήλων, ὅσον
Τὴν μὲν περιλάμπειν ἡλίου, τὴν δ' ἑσπέρας.
Κάλλει δὲ κάλλος ἀντανίσχειν συζύγως.
Τούτων δὲ πίστις, ἡ μὲν ἦν ἐκ πλείονος
Καὶ νῦν ἔτ' ἔστιν εὔδρομος, τὴν ἑσπέραν
Πᾶσαν δέουσαν τῷ σωτηρίῳ λόγῳ,
Καθὼς δίκαιον τὴν πρόεδρον τῶν ὅλων,
Ολην σέβουσαν τὴν Θεοῦ συμφωνίαν.
Η δ' ἦν τὸ πρόσθεν ὀρθόπους. νῦν δ' οὐκ ἔτι.
Ταύτην λέγω δὴ τὴν ἐμὴν οὐκ ἔτ' ἐμήν.

Βασίλειος ὁ μέγας ἐν τῇ νϐ. ἐπιστολῇ πρὸς Αθανάσιον τὸν μέγαν. ὁ αὐτὸς πρὸς Μελέτιον ἐπίσκοπον Αντιοχείας οὔ τινος τὰς μαρτυρίας ἀνωτέρω ἠγάγομεν κατὰ τοῦ Ζωναρᾶ. Καὶ ἐν τῇ κθ. ἐπιστολῇ τῷ αὐτῷ ἁγίῳ γράφων, φησίν. ἐκείνη δέ μοι ἔδοξεν ὥσπερ ἀγύμναστος εἶναι ὑπόθεσις, καὶ χώραν ἔχειν γράμματι, τὸ παρακαλέσαι αὐτοὺς, μὴ ἀκρίτως δέχεσθαι τὰς κοινωνίας τῶν ἐκ τῆς Ανατολῆς ἀφικνουμένων, ἀλλ' ἅπαξ μίαν μερίδα ἐκλεξαμένους, τοὺς λοιποὺς ἐκ τῆς μαρτυρίας τῶν κοινωνικῶν προσλαμβάνεσθαι. καὶ μὴ παντὶ τῷ γράφοντι ἐπὶ προφάσει τῆς ὀρθοδοξίας προστίθεσθαι. οὕτω γὰρ εὑρεθήσονται τοῖς μαχομένοις κοινωνοῦντες. οἳ τὰ μὲν ῥήματα πολλάκις τὰ αὐτὰ προβάλλονται,

μά-

tenaria, quæ pollicitus ſum. Sic tradiderunt Siluerium duobus ſeruis Vigilij, & adduxerunt ipſum in Inſulam quæ appellatur Palmaria, ibique vitam finiuit propter inediam. vide Baronium tomo 7. fol. 276.

Gregorius Theologus in iambicis carminibus de ſua vita ſic ſcribit.

Natura binos haud quidem ſoles dedit:
Dedit ipſa binas attamen Mundi faces
Romas, vetuſtam ſcilicet Romam, ac nouam,
Hoc diſcrepantes inuicem, quod quà cadit
Sol, illa fulget, fulget hæc quà ſe exerit.
Par vtriuſque pulchritudo, par decus,
Fides vetuſtæ recta erat iam antiquitus,
Et recta perſtat nunc item, nexu pio,
Quodcunque habens Sol videt, deuinciens,
Vt Vniuerſi præſidem Mundi decet,
Totam colit quæ numinis concordiam.
Noua verò quondam (de mea, iam non mea
Nunc ſermo nobis) rectipes erat in fide,
At non item poſt. &c.

Baſilius in epiſtola 52. ad Athanaſium, & in epiſtola 57. ad Meletium, quæ eius teſtimonia ſupra adduximus contra Zonaram, & in epiſtola 59 eidem Sancto Meletio ſcribens, ait: Illud verò mihi argumentum, velut intactum adhuc eſſe, locumque dare ſcribendi viſum eſt, admonere illos, ne ſine diſcrimine quorumuis communionem ex Oriente venientium accipiant; ſed vna ſemel electa parte, reliquos ex conſentientium teſtimonio admittant, & non cuiuſuis, ſub prætextu orthodoxę doctrinæ fidei formulę ſcribendi adſtipulentur. Nam iſto pacto depręhendentur cum aduerſarijs facientes qui eadem ſæpè numero verba prętexunt quidem, inter ſe verò pugnant, vt qui plurimùm diuiſi, diſſiden-

μάχονται δὲ ἀλλήλοις, ὅσον οἱ πλεῖστον διεστηκότες. ἵν' οὖν μὴ ἐπιπλεῖον ἡ αἵρεσις ἐξαπατᾶται τῶν πρὸς ἀλλήλους διαστασιαζόντων ἀντιπροβαλλομένων τὰ παρ' αὐτῶν γράμματα, παρακληθῆναι αὐτοὺς ἔδει, κεκριμένας ποιεῖσθαι, καὶ τὰς τῶν ἐντυγχανόντων αὐτοῖς κοινωνίας, καὶ τὰς ἐγγράφως γινομένας κατὰ τὸν τύπον τῆς ἐκκλησίας.

Καὶ ἐν τῇ ξα. ἐπιστολῇ ὀδυρόμενος τὰς δυστυχίας τῆς ἀνατολῆς περὶ τὰ δόγματα δεῖται τῶν δυτικῶν καὶ ἱκετεύει, ἵνα αὐτοὺς ἀπαλλάξωσι τῆς συμφορᾶς τῆς κακοδοξίας, καὶ ταῖς ἰδίαις προσευχαῖς ποιήσωσιν αὐτοὺς ἔχειν τὸ αὐτὸ προνόμιον παρὰ τοῦ Κυρίου, ὅπερ ἔλαβον αὐτοὶ τοῦ μετὰ παρρησίας τὴν ὀρθὴν πίστιν κηρύττειν. ἔτι οὖν φησὶ, παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοὶ, κινήθητε πρὸς τὴν ἀντίληψιν ἡμῶν, λάβετε ζῆλον εὐσεβείας, ἐξέλεσθε ἡμᾶς τοῦ χειμῶνος τούτου, λαλείσθω καὶ παρ' ἡμῖν μετὰ παρρησίας τὸ ἀγαθὸν ἐκεῖνο κήρυγμα τῶν πατέρων, τὸ καταστρέφον τὴν δυσώνυμον αἵρεσιν τοῦ Ἀρείου, στερεοῦν δὲ τὰς ἐκκλησίας ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, ἐν ᾗ ὁ υἱὸς ὁμοούσιος τῷ πατρὶ ὁμολογεῖται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ὁμοτίμως συναριθμεῖταί τε καὶ συλλατρεύεται. ἵνα ἣν ὑμῖν ἔδωκεν ὁ Κύριος ὑπὲρ τῆς ἀληθείας παρρησίαν, καὶ τὸ ἐπὶ τῇ ὁμολογίᾳ τῆς ἀληθείας, καὶ σωτηρίου πατρίδος καύχημα, τοῦτο καὶ ἡμῖν διὰ τῶν ὑμετέρων εὐχῶν, καὶ τῆς συνεργείας ὑμῶν χαρίσηται.

Καὶ ἐν τῇ ξθ. ἐπιστολῇ πρὸς τοὺς αὐτοὺς κατὰ τὴν Ἰταλίαν ἐπισκόπους. τῷ ὄντι γὰρ τοῦ αὐτόθι μακαρισμοῦ ἄξιον, τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ Κυρίου (σημείωσαι) τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκίμου καὶ καθαροῦ διακρίνειν, τὴν δὲ τῶν πατέρων πίστιν, ἄνευ τινὸς ὑποστολῆς κηρύσσειν. τοῦτο ἀφορᾷ πρὸς τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου, ἐδεήθην περὶ σοῦ, ἵνα μὴ λείψῃ ἡ πίστις σου.

Καὶ σημείωσαι, ὅτι τὴν ἐπιστολὴν γράφει μὲν συνθεὶς ὁ μέγας Βασίλειος πολλῶν δὲ ὅμως ἐπισκόπων συνηνέν-

των

tesque fuere. Ne igitur amplius hęresis eorum, qui inter se mutuo diffident, per ipsorum scripta, quę prętexere, & obijcere solent, incautos seducat, admonendi sunt, vt cum iudicio accedentium communiones, & eas, quę cum scriptis fiunt, iuxta formam ecclesiasticam faciant.

Et in epistola *61*. deplorat calamitates Orientalium propter infinita absurda, quæ illi Ecclesiæ circa fidem contingerant: tandem rogat Occidentales Episcopos, vt velint ipsis auxilium ferre, & eos liberare ab impietate, suisque precibus efficere vt ipsi quoque sint firmi, & stabiles in fide, non secus atque sunt per priuilegium Christi Occidentales. Quare, inquit, si aliqua dilectionis consolatio, si quædam Spiritus communio, si qua viscerum commiseratio, commoueamini ad nostrum auxilium, arripite pietatis zelum, eripite nos ab hac tempestate, proferatur etiam apud nos cum fiducia bonum illud Patrum præconium, quod infamem Arij hæresim euertat, & Ecclesias in sana doctrina confirmet, in qua filius consubstantialis Patri prædicatur, & Spiritus Sanctus æqualiter connumeratur, & colitur; vt quam vobis Dominus pro veritate fiduciam dedit, & ob confessionem veritatis, & salutaris Trinitatis gloriationem, hanc & nobis per vestras preces, vestramque cooperationem, largiatur.

Et in epistola *69*. ad eosdem Episcopos Italiæ. Procul dubio enim summa laude dignum iudico, quod vobis à Domino concessum est (nota) vt fucatum à probato, puroque discernatis; Patrum autem fidem sine vlla pręuaricatione prędicatis. Hoc ad illud spectat, quod dictũ est à Domino, rogaui pro te vt nõ deficiat fides tua.

Et notãdum quod epistolam scribit quidem magnus Basilius, qui eam composuit, multis tamen Episcopis

των αὐτοῦ καὶ ὁμοφωνούντων, ὡς ἔστιν ἰδεῖν ἐκ τῆς ἐπιγραφῆς ἐχούσης οὕτως. Τοῖς θεοφιλεστάτοις, καὶ ὁσιωτάτοις ἀδελφοῖς συλλειτουργοῖς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν ὁμοψύχοις ἐπισκόποις, Μελέτιος, Εὐσέβιος, Βασίλειος, Βάσσος, Γρηγόριος, Πελάγιος, Παῦλος, Ἄνθιμος, Θεόδοτος, Βίθος, Ἀβραάμος, Σαβῖνος, Ζήνων, Θεοδώριτος, Μαρκιανὸς, Βάραχος Ἀβραάμιος, Λιβάνιος, Θάλασσος, Ἰωσὴφ, Βοηθὸς, Ἰάτριος, Θεόδοτος, Εὐστάθιος, Βαρσούμας, Ἰωάννης, Χοσρόης, Ἰωσάκης, Ναρσῆς, Μάρις, Γρηγόριος, Δαφνὸς, καὶ οἱ λοιποὶ ἐν κυρίῳ χαίρειν

Τοῖς αὐτοῖς ἐν τῇ ο. ἐπιστολῇ. ἤδη μὲν οὖν καὶ ἄλλοτε ἐπεβοησάμεθα τὴν ὑμετέραν ἀγάπην εἰς ἀντίληψιν ἡμῶν, καὶ συμπάθειαν, ἀλλὰ πάντως διὰ τὸ μὴ ἀναπληρωθῆναι τὴν ἐκδίκησιν ἡμῶν, οὐ συνεχωρήθητε διαναστῆναι πρὸς τὴν ἀντίληψιν. ἐπιζητοῦμεν γὰρ μάλιστα μὲν καὶ αὐτῷ τῷ κρατοῦντι τῆς καθ' ὑμᾶς οἰκουμένης, φανερὰν γενέσθαι διὰ τῆς ὑμετέρας εὐλαβείας τὴν ἡμετέραν σύγχυσιν. εἰ δὲ τοῦτο δύσκολον, ἀλλ' ἐλθεῖν τινας παρ' ὑμῶν εἰς ἐπίσκεψιν, καὶ παραμυθίαν τῶν θλιβομένων, ἵν' ὀφθαλμοῖς ὑποβάλλωσι τὰ πάθη τῆς ἀνατολῆς, ἅπερ ἀκοαῖς ἀδύνατον παραδέξασθαι, τῷ μηδένα λόγον εὑρίσκεσθαι ἐναργῶς παραστῆσαι ὑμῖν τὰ ἡμέτερα.

Καὶ ἐν τῇ οβ. ἐπιστολῇ. Εὐεσηνοῖς γράφων. Ἡμεῖς δὲ ἀγαπητοὶ ἀδελφοὶ, μικροὶ μὲν καὶ ταπεινοὶ, ἀεὶ μέντοι οἱ αὐτοὶ τῇ τοῦ Θεοῦ χάριτι, οὐδέποτε ταῖς μεταβολαῖς συνδιετέθημεν, πίστις παρ' ἡμῖν οὐκ ἄλλη ἐν Σελευκείᾳ, ἄλλη δὲ ἐν Κωνσταντινουπόλει, καὶ ἄλλη ἡ ἐν Ζήλοις, καὶ ἐν Λαμψάκῳ ἄλλη, καὶ ἐπὶ Ῥώμῃ ἑτέρα. καὶ ἡ νῦν περιφερομένη, οὐ διάφορος παρὰ τὰς προτέρας, ἀλλὰ μία καὶ ἡ αὐτή: ὡς γὰρ παρελάβομεν παρὰ τοῦ Κυρίου, οὕτως βαπτιζόμεθα. ὡς βαπτιζόμεθα, οὕτω πιστεύομεν. ὡς πιστεύομεν, οὕτω καὶ δοξολογοῦμεν.

Καὶ τοῖς δυτικοῖς ἐπισκόποις ἐν τῇ οδ. ἐπιστολῇ· Καὶ

τινα

consentientibus, & concordãtibus, vt est videre ex ipsa inscriptione, quæ ita se habet: Deo dilectissimis, & sanctissimis fratribus, & cõministris in Italia & Gallia vnanimis, & concordibus Episcopis, Meletius, Eusebius, Basilius, Bassus, Gregorius, Pelagius, Paulus, Anthimus, Theodotus, Vithus, Abrahamus, Sabinus, Zeno, Theodoritus, Marcianus, Varachus, Abramius, Libanius, Thalassus, Ioseph, Boethus, Iatrius, Theodotus, Eustathius, Barsumas, Ioannes, Chosroes, Iosaces, Narses, Maris, Gregorius, Daphnus, & cæteri in Domino salutem.

Et in epistola 70. ijsdem. Hac itaq; ratione & nunc, & aliàs dilectionẽ vestram voce lugubri implorauimus, vt nostræ miseriæ condoletis, ac succurratis. Verùm planè prohibiti estis; ne ad iuuandum nos excitaremini: propterea quod vltio diuina, qua castigandi eramus, nõdum esset impleta. Nam hoc potissimũ est, quod requirimus, vt ipsi quoque Imperarori orbis vestri, per vestrã pietatẽ innotescat nostra perturbatio; hoc si factu difficile fuerit, vt vel aliqui vestrũ ad visitandos, & cõsolandos afflictos veniant: qui ipsis oculis cõspiciant calamitatẽ Oriẽtis, quę auditu percipi nequit. Propterea quod nullo vobis sermone res nostras dilucidè exprimere possumus.

Et in epistola 72. Euessenis scribẽs: Nos verò, inquit, fratres dilectissimi, modici quidem momenti sumus, & humiles, semper tamen in eodem per gratiam Dei constantes, nunquam ad rerum innouationem consensimus; fides enim apud nos, non alia in Seleucia, alia Gonstantinopoli, in Zelis alia, & in Lampsaco alia, & alia Romæ, & quę nunc circumfertur non est alia à prioribus diuersa, sed vna & eadẽ. Sicut enim à Domino accepimus ita baptizamur, sicut baptizamur, ita credimus quemadmodum, credimus, ita & glorificamur.

Et in epistola 74. Occidentalibus Episcopis: Et quæ

qui-

καὶ δεθεὶς, τοῖς ἀοράτοις δεσμοῖς κατασφίγγῃ.

Τὸν Χρυσόστομον μηδαμῶς σιωπῇ παρατρέχω. ἐν τῇ νδ. ὁμιλίᾳ τοῦ κατὰ Ματθαῖον. Τὸ στόμα τῶν ἀποστόλων ὁ Πέτρος, ὁ πανταχοῦ θερμὸς, ὁ τοῦ χοροῦ τῶν ἀποστόλων κορυφαῖος, πάντων ἐρωτηθέντων, αὐτὸς ἀποκρίνεται. καὶ ὅτε μὲν τὴν τοῦ δήμου γνώμην ἠρώτα, πάντες εἶπον τὸ ἐρωτηθέν. ὅτε δὲ τὴν αὐτῶν, Πέτρος προπηδᾷ καὶ προλαμβάνει, καὶ φησί. σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. καὶ κατωτέρω. ἃ γὰρ Θεοῦ μόνου ἐστὶν ἴδια, τό τε ἁμαρτήματα λῦσαι, καὶ τὸ ἀπερίτρεπτον τὴν ἐκκλησίαν ποιῆσαι ἐν τοσαύτῃ κυμάτων ἐμβολῇ, καὶ ἄνθρωπον ἁλιέα πέτρας πάσης ἀποφῆναι στερρότερον, τῆς οἰκουμένης πολεμούσης ἁπάσης, ταῦτα αὐτὸς ἐπαγγέλλεται δώσειν. καθάπερ ὁ πατὴρ πρὸς τὸν Ιερεμίαν διαλεγόμενος ἔλεγεν, ὡς στύλον χαλκοῦν, καὶ ὡς τεῖχος τίθησιν αὐτόν. ἀλλ' ἐκεῖνον μὲν ἑνὶ ἔθνει, τοῦτον δὲ πανταχοῦ τῆς οἰκουμένης. φησὶ δὲ ὁ Χρυσόστομος ἐν τῇ ιϛ. ὁμιλ. τοῦ κατὰ Ματθαῖον, ὅτι ὁ Ιωάννης πολλαχοῦ ποιεῖ τὰ ἐξαίρετα τοῦ Πέτρου ἐγκώμια μετὰ πολλῆς ἀναγράφων τῆς ἀληθείας. καὶ ἐν τῇ νη. ὁμιλ. τοῦ κατὰ Ματθαῖον ὁ Χρυσόστομος ἑρμηνεύει τί ἐστι τὸ δίδραχμα. ὅτε, φησὶ, τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἀπέκτεινεν ὁ Θεὸς, τότε τὴν Λευῒ φυλὴν ἀντ' αὐτῶν ἔλαβεν. εἶτα, ἐπειδὴ τῶν παρὰ Ιουδαίοις πρωτοτόκων ἐλάττων ὁ τῆς φυλῆς ἀριθμὸς ἦν, ἀντὶ τῶν λειπόντων εἰς τὸν ἀριθμὸν, σίκλον ἐκέλευσεν εἰσενεχθῆναι, καὶ ἐξ ἐκείνου ἔθος ἐκράτησε τὰ πρωτότοκα τὸν φόρον τοῦτον εἰσφέρειν. ἐπεὶ οὖν πρωτότοκος ἦν ὁ Χριστὸς, ἐδόκει δὲ τῶν μαθητῶν πρῶτος εἶναι ὁ Πέτρος, αὐτῷ προσέρχονται. ἐκ δὲ τούτων τῶν γενομένων θαυμάτων περὶ τὸν ἰχθὺν καὶ στατῆρα, καὶ τὸν Πέτρον τρόπον τινὰ τῷ Χριστῷ συγκρινόμενον, καὶ ἐξισούμενον, ἐκπληττόμενος ὁ Χρυσόστομος φησὶν, εἶδες τὸ ὑπερβάλλον τῆς τιμῆς; καὶ κατωτέρω. ἔπαθόν τι ἀνθρώπινον οἱ μαθηταί. διὸ καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται τοῦτο λέγων. ἐν ἐκείνῃ τῇ ὥρᾳ, δηλονότι

ὅτε

lutus es, & ligatus vinculis inuisibilibus constrictus es.

Chrysostomus silentio non est prætereundus. Nam in homil. 54. Super Matthæũ, Petrus Apostolorũ os, vbique feruens, chori apostolici vertex, cum omnes interrogati essent, ipse respondet. Et quando de sententia vulgi petebat, omnes responderunt; cum verò de sua eos rogaret, Petrus confestim præsiliuit, & præueniens, ait; Tu es Christus filius Dei viui. Et paulo infra. Nam quæ Dei propria sunt, scilicet dimittere peccata, & Ecclesiã immobilem facere, tot tantisq; fluctibus impetu irruentibus, & hominẽ piscatorem petra solidiorem, toto terrarum orbe reluctante, hæc pollicetur se illi daturum. Ita & Pater ad Ieremiam dicebat, sicut columnam ferream, & sicut murum æneum posui te. Sed ipsum quidem gẽti vni Pater, hunc autem vniuerso terrarum orbi, Christus præposuit. Et homil. 16. super Matth. Chrysostomus dicit, quod Ioannes multoties facit præcipua Petri encomia cum multa veritate literis prodit. Et homil. 58. latinè 59. Chrysostomus exponens, quid sint didragma, quando, inquit, Aegyptiorum primogenita Deus interfecit, tunc Leuiticam tribum accepit, & quoniam huius tribus minor numerus erat, quam primogenita Iudæorum fuissent, prodeficientibus ad supplendum numerum, siclum iussit deferri. Consuetudo igitur ex illo tempore obtinuit; vt primogeniti hoc vectigal persoluerẽt, cumq; ita primogenitus esset Christus Petrus quoque discipulorum primus esse videretur, ipsum adeunt. ex his verò, & factis miraculis circa piscem, & staterem, & Petrum quodammodo Christo comparatum, & æquiparatum, obstupescens Chrysostomus, dicit, vidisti honoris excellentiam? Et paulo infra. humanum quid passi sunt discipuli, quod Euangelista quoque significat, dicens: In illa hora quando scilicet cæteris omnibus Petrum

Nn pre-

ὅτε πάντων αὐτὸν προετίμησε, καὶ Ἰακώβου, καὶ Ἰωάννου, καὶ κατωτέρω. ἐπειδὴ δὲ εἰς τὸν ἕνα περιέστη τὸ τῆς τιμῆς, τότε ἤλγησαν, οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερα πολλὰ συναγαγόντες, τὸ πάθος ἀνῆψαν. καὶ γὰρ εἶπεν αὐτῷ. σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας, καὶ μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ. καὶ ἐνταῦθα, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ, καὶ τὴν ἄλλην δὲ παῤῥησίαν αὐτοῦ τὴν πολλὴν ὁρῶντες παρεκνίζοντο. καὶ ἐν τῇ ξε. ὁμιλίᾳ. Ἄκουσον γοῦν πῶς οὗτος αὐτός; ὁ Ἰωάννης, ὁ νῦν προσελθὼν ὑπὲρ τούτων, πανταχοῦ τῶν πρωτείων τῷ Πέτρῳ παραχωρεῖ, καὶ δημηγοροῦντι, καὶ θαυματουργοῦντι ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, καὶ οὐκ ἀποκρύπτει αὐτοῦ τὰ κατορθώματα. ἀλλὰ καὶ τὴν ὁμολογίαν λέγει, ἣν πάντων σιγώντων ἐπεδείξατο. καὶ τὴν εἰς τὸν τάφον εἴσοδον, καὶ προτίθησιν αὐτοῦ τὸν ἀπόστολον. ἐπειδὴ γὰρ ἀμφότεροι παρέμειναν σταυρουμένῳ, τὸ ἑαυτοῦ ἐγκώμιον ὑποτεμνόμενος φησὶν, ὅτι γνώριμος ἦν ὁ μαθητὴς ἐκεῖνος τῷ ἱερεῖ. Καὶ ἐν τῇ ογ. ὁμιλ. τοῦ κατὰ Ἰωάννην. ἐπειδὴ γὰρ ἡ πολλὴ ἀγάπη ἀντιλογικὸν αὐτὸν ἐποίησε, σωφρονίζει λοιπὸν αὐτὸν, ἵνα μὴ καὶ ἐν τοῖς μετὰ ταῦτα τοῦτο πάθη, ὅταν τῆς οἰκουμένης τὴν οἰκονομίαν ἀναδέξηται. Τελευταῖον προσθήσομεν τὴν πη. ὁμιλίαν, ἐν ᾗ φησὶ σχεδὸν ἐν ἀρχῇ, τὸ μάλιστα πάντων παρέχον ἡμῖν τὴν ἄνωθεν εὔνοιαν, ἡ περὶ τοὺς πλησίον ἐστὶ κηδεμονία, ὅπερ οὖν καὶ ὁ Χριστὸς ἀπαιτεῖ τὸν Πέτρον. ἐπειδὴ γὰρ τέλος εἶχεν αὐτοῖς τὰ τῆς ἐδωδῆς, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς. Σίμων Ἰωνᾶ ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ, βόσκε τὰ πρόβατά μου, καὶ τί δήποτε τοὺς ἄλλους παραδραμὼν, τούτῳ περὶ τούτων διαλέγεται; ἔκκριτος ἦν τῶν ἀποστόλων, καὶ στόμα τῶν μαθητῶν, καὶ κορυφὴ τοῦ χοροῦ. διὰ τοῦτο καὶ Παῦλος ἀνέβη ποτὲ αὐτὸν ἱστορῆσαι παρὰ τοὺς ἄλλους, ἅμα δὲ δεικνὺς αὐτῷ ὅτι χρὴ θαῤῥεῖν λοιπὸν, ὡς τῆς ἀρνήσεως ἐξεληλαμένης, ἐγχειρίζει τὴν προστασίαν αὐτῷ τῶν ἀδελφῶν.

καὶ

prætulit, & Iacobo, & Ioanni. Et infra. cum verò ad vnum delatus honor eſt, tunc nimirum doluerunt. Non autem ex hac re ſolum, ſed ex alijs quoque multis inflammati fuerant. Tum quia dixit illi, dabo tibi claues regni cœlorum, tum quia, beatus es Simon bar Iona, tum etiã hic. Da eis pro me, & te. Denique quia multo liberius eum cum Chriſto colloqui cõſpicientes pectora vrebant. Et in homil. 65. Audias inquit, quomodo ipſe ille Ioannes, qui modo hæc à Chriſto petebat, primis honoribus petro cedat, tum cõcionanti, tum mirabilia facienti vt actus Apoſtolorum teſtatur. Nec latere patiatur Petri virtutes, ſed & confeſſionem prædicat, quando ſilentibus cæteris magna edicit voce Ioannes, & ingreſſum eius in monumentum, cæteriſque in omnibus ſibi eum anteponit. Quia enim quando patiebatur, ambo adfuerunt, ſuas laudes Ioannes ſuccidẽs, ait, quod notus erat diſcipulus ille Sacerdoti. Et homilia 73. in Ioannem, quoniam, inquit, magna dilectio ad contradicendum magiſtro, aptum fecerat, cohibet eum Ieſus, & admonet, vt poſtmodum emendetur, cum orbis terrarum diſpenſationem reciperet. Tandem addamus 88. homiliã, in qua fermè à principio dicit. Quod autem maximè diuinum nobis amorem conciliat, eſt proximi dilectio, quam à Petro exigit. Nam cum finem cibis feciſſent, dicit Simoni Petro Ieſus, Simon Iona diligis me plus his? dicit etiam Domine, tu ſcis quia amo te: dicit ei, paſce agnos meos. Et quid tandem, alijs omiſſis, dumtaxat Petrum affatur? Præcipuus erat Apoſtolorum, & os diſcipulorum, & vertex illorum, propterea & Paulus eum præter cæteros viſurus aſcendit. Simul vt ei oſtenderet, iam ſibi fiduciam habendam, tanquam enim negationis obliuiſceretur, fratrum curam ei committit. & infra. in eadem homilia

καὶ παρακατιὼν ἐν τῇ αὐτῇ ὁμιλίᾳ ἐπάγει. καὶ ταῦτα εἰ-
πὼν, λέγει, ἀκολούθει μοι. ἐντεῦθεν πάλιν τὸ κηδεμο-
νικὸν αἰνίττεται, καὶ τὸ σφόδρα πρὸς αὐτὸν οἰκείως διακεῖ-
σθαι. εἰ δὲ λέγοι τις, πῶς οὖν ὁ Ἰάκωβος τὸν θρόνον ἔλα-
βε τῶν Ἱεροσολύμων; ἐκεῖνο ἂν εἴποιμι, ὅτι τοῦτον οὐ τοῦ θρό-
νου, ἀλλὰ τῆς οἰκουμένης ἐχειροτόνησε διδάσκαλον. καὶ αὖθις.
ἐπεὶ οὖν μεγάλα αὐτῷ (τῷ Πέτρῳ) προεῖπεν ὁ Χριστὸς, καὶ
τὴν οἰκουμένην ἐνεχείρισε, καὶ τὸ μαρτύριον προανεφώνησε,
καὶ ἀγάπην ἐμαρτύρησε πλείονα τῶν ἄλλων, καὶ τὰ ἑξῆς.

Ταῦτα οὖν ἱκανὰ περὶ τοῦ πρωτείου, τοῦτο μὲν κατὰ τὴν
θείαν γραφὴν, τοῦτο δὲ κατὰ τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου.
ὅστις οὐ μόνον τοῖς ῥήμασιν, ἀλλὰ καὶ τοῖς πράγμασι δι-
δασκαλικῶς κηρύττει τὸ πρωτεῖον καὶ τῶν διαδόχων τοῦ Πέ-
τρου, γράφων οὑτωσὶ ἐκ τῆς ἐξορίας πρὸς Ἰννοκέντιον τὸν
Πάπαν. Καίτοι νεώτερον ὄντα, ὡς πατέρα αὐτὸν ἐπιφημί-
ζων διὰ τὴν ἀξίαν. μαθόντες τοίνυν ἅπαντα κύριοί μου
τιμιώτατοι καὶ εὐλαβέστατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρείαν,
καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπει-
σαχθεῖσαν ταῖς ἐκκλησίαις ἀναστεῖλαι, εἰ γὰρ τοῦτο κρατή-
σειε τὸ ἔθος, καὶ ἐξὸν γένηται τοῖς βουλομένοις εἰς ἀλλο-
τρίας ἀπιέναι παροικίας ἐκ τοσούτων διαστημάτων, καὶ ἐκ-
βάλλειν οὓς ἂν ἐθέλοι τις, κατ᾽ ἐξουσίαν ἰδίαν πράττον-
τας, ἅπερ ἂν ἐθέλωσιν, ἴστε, ὅτι πάντα οἰχήσεται, καὶ
πόλεμός τις ἀκήρυκτος πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην,
πάντων πάντας βαλλόντων καὶ βαλλομένων. ἵνα οὖν μὴ
τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ᾽ ἡλίῳ πᾶσαν, ἐπιστεῖ-
λαι παρακλήθητε, τὰ μὲν οὕτω παρανόμως γεγενημένα
ἀπόντων ἡμῶν, καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτησαμέ-
νων κρίσιν, μηδεμίαν ἔχειν ἰσχὺν, ὥσπερ οὖν οὐδὲ ἔχει
τῇ οἰκείᾳ φύσει, τοὺς δὲ τοιαῦτα παρανομήσαντας ἐλεγχο-
μένους τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τῶν ἐκκλησιαστικῶν νόμων.
ἡμᾶς δὲ τοὺς οὐχ ἁλόντας, οὐκ ἐλεγχθέντας, οὐκ ἀποδει-
χθέντας ὑπευθύνους, τῶν γραμμάτων τῶν ὑμετέρων δότε
ἀπο-

infert, & cum hoc dixiſſet, inquit, ſequere me. Quibus verbis iterum curam innuit, & familiarem in eum affectum oſtendit. Si verò quis dicat, quomodo Iacobus ſedem Ieroſolymorum acceperit? reſpōderem, non ſedis ſed Orbis illum magiſtrum creatum fuiſſe. Et rurſus, Nam cum Petro Chriſtus magna communicaſſet, orbis terrarum curam demandaſſet, & maiorem erga ſe, quam aliorum dilectionem teſtatus eſſet, & quæ ſequuntur.

Hæc igitur de primatu Petri ſufficiant, partim quidem ſecundum diuinam ſcripturam, partim verò ſecundum expoſitionem Chryſoſtomi. Qui non tantum verbis, ſed etiam factis, vt decebat, Doctorem œcumenicum, Prædicat etiam primatum ſucceſſorum Petri, ita ſcribēs ab exilio ad Innocentium Papam. (cum tamē Innocentius eſſet iunior, & vt patrem inuocando laudat propter dignitatem.) Igitur poſtquā didiceritis omnia, Domini mei honoratiſſimi, & pijſſimi fortitudinē vobis cōuenientem & ſtudium aſcendite. Vt tantam impietatem quæ peruaſit Eccleſias, comprimatis. Si enim talis cō[illegible]udo præualebit, & licébit volētibus in alienas parœcias in tanta diſtantia locorum ſe trāsferre, & expellere quos aliquis voluerit, per propriam poteſtatē agēs quæ libuerit; ſcitote quod omnia peribūt, & bellum indictum totum Orbem occupabit, omnibus percutientibus, & percuſſis. Ne igitur tanta confuſio occupet vniuerſam terram, quæ ſub cœlo eſt rogatos vos velim vt literas mittatis, quibus declaretis quæ abſentibus nobis qui iudicium non recuſauimus, & ab vna parte ita cōtra leges acta ſunt, nullam vim habere, quemadmodum propria natura non habent. Eos verò qui talia contra leges fecerunt, conuictos pœnis eccleſiaſticarum legum ſubiacere; nos verò non depræhenſos non conuictos, non oſtenſos reos, concedite continuo beneficio frui litera-

ra-

ἀπολαύειν συνεχῶς, καὶ τῆς ἀγάπης, καὶ πάντων τῶν ἄλλων, ὧνπερ καὶ ἔμπροσθεν. καὶ πρὸς τὸ τέλος τῆς ἐπιστολῆς. ταῦτ' οὖν ἅπαντα λογισάμενοι, καὶ παρὰ τῶν κυρίων μου τῶν εὐλαβεστάτων ἀδελφῶν ἡμῶν τῶν ἐπισκόπων σαφέστερον ἅπαντα μαθόντες, τὴν παρ' ἑαυτῶν εἰσενεγκεῖν σπουδὴν παρακλήθητε. οὕτω γὰρ οὐχ ἡμῖν μόνοις χαριεῖσθε, ἀλλὰ καὶ τῷ κοινῷ τῶν ἐκκλησιῶν, καὶ τὸν παρὰ τοῦ Θεοῦ λήψεσθε μισθὸν, τοῦ διὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην πάντα ποιοῦντος διωκτικῶς.

Ταῦτα μὲν ὁ Χρυσόστομος. ὁ δὲ Ιννοκέντιος τῆς οἰκουμένης ἔχων τὴν προστασίαν, καθὰ γνήσιος κριτὴς, τὴν θαυμαστὴν ἐκείνην εὐθὺς ἐχάραξεν ἐπιστολήν. φωνὴ αἵματος τοῦ ἀδελφοῦ μου Ιωάννου βοᾷ πρὸς τὸν Θεὸν κατὰ σοῦ βασιλεῦ, ὡς ποτὲ Αβελ τοῦ δικαίου κατὰ τοῦ ἀδελφοκτόνου Κάϊν. καὶ παντὶ τρόπῳ ἐκδικηθήσεται. καὶ τὸν βασιλέα μετὰ τῆς βασιλίσσης τῆς χριστιανῶν κοινωνίας ἐστέρησε. πάντως οὐκ ἂν τοῦτο πράξας, εἰ μὴ κατὰ πάντων καὶ αὐτῆς τῆς Κωνσταντινουπόλεως τὴν ἐξουσίαν εἶχεν.

Κύριλλος ὁ Αλεξανδρείας οὕτω γράφει πρὸς Καιλεστῖνον τὸν Πάπαν, κατὰ Νεστορίου. ἐπειδὴ δὲ καὶ Θεὸς ἀπαιτεῖ καὶ παρ' ἡμῶν τὸ νηφάλιον ἐν τούτοις, καὶ τὰ μακρὰ τῶν ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, γράφω πάλιν ἀναγκαίως ἐκεῖνο δηλῶν, ὅτι διακυκᾷ τὰ πάντα, καὶ νῦν ὁ Σατανᾶς, καὶ κατὰ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ μαίνεται. ἀκούεις μακρὰ ἔθη τῶν ἐκκλησιῶν ποῖα ἐστί; καὶ τὸ ἀναγκαίως πρὸς τὸν Ρώμης γράφειν, πρὸς ὃν ἀντιγράφει ὁ Καιλεστῖνος. ὅθεν μενέτωσαν ἐν τῇ κοινωνίᾳ, οὓς αὐτὸς (ὁ Νεστόριος) ἀντιλέγοντας αὐτῷ ἀπεκίνησε τῆς κοινωνίας. καὶ γινωσκέτω, ὅτι αὐτὸς τὴν ἡμετέραν κοινωνίαν ἔχειν οὐ δύναται, ἐὰν ἐν ταύτῃ τῇ τῆς διαστροφῆς ὁδῷ διαμείνῃ, ἐναντιούμενος τῇ ἀποστολικῇ διδαχῇ, συναφθείσης σοι τοίνυν τῆς αὐθεντίας τοῦ ἡμετέρου θρόνου, καὶ τῇ ἡμετέρᾳ τοῦ τόπου διαδοχῇ ἐπ' ἐξουσίᾳ χρησάμενος, ταύτην ἐκβιβάσεις ἀκριβεῖ στερρότητι τὴν ἀπόφασιν. ἵνα ἢ ἐντὸς δέκα ἡμερῶν ἀριθ-

μου-

rarum veſtrarum,& charitatis,& reliquorum omnium, quorum & antea. Et circa finem epiſtolæ: Hæc igitur omnia cōſiderantes, & à Dominis meis deuotiſſimis fratribus meis Epiſcopis clarius cūcta edocti, obſecro vos, vt ſtudiū veſtrum adhibeatis; hac enim ratione non tātum ſolis nobis gratificaturi eſtis, ſed etiam communitati Eccleſiarum,& à Deo mercedē recipietis, qui propter pacem Eccleſiarum omnia perpetuò agit.

Hęc quidem Chryſoſtomus. Innocentius verò habēs patrociniū Orbis, vt legitimus iudex, audito Chryſoſtomi obitu, admirādam illam illicò exarauit epiſtolā. Vox ſanguinis fratris mei Ioannis clamat ad Deum contra te, Imperator, vt olim clamabat ſanguis Abelis iuſti cōtra fraticidam Cain,& omni modo vindicabitur. atque Imperatorē & Imperatricem communione Chriſtianorum priuauit, omninò id non facturus, niſi ſupra omnes, & ſuper Vrbem Conſtantinopolitanam, poteſtatem habuiſſet.

Cyrillus Alexādrinus ſic ſcribit ad Cęleſtinum Papā aduerſus Neſtoriū: Quoniam verò Deus hiſce in rebus prudētiam à nobis exigit, lōgęque Eccleſiarum conſuetudines ſuadēt, vt eiuſmodi res Sanctitati tuę cōmmunicentur; ſcribo rurſus neceſſariò illud ſignificans, quod perturbat omnia & nunc Satanas,& cōtra Eccleſias Dei inſanit. Audis quę ſint longę cōſuetudines Eccleſiarum; & illud, neceſſariò ad Romanum ſcribere? Ad quem reſcribit Cęleſtinus: Proinde quos ille (Neſtorius) tanquā ſibi obſiſtentes, à communione ſemouit in noſtra ſocietate ſe permanere intelligāt; ac ſciat ſe ipſum communionem poſthac nobiſcum habere non poſſe, ſi doctrinę Apoſtolicæ aduerſatus, peruerſam hāc viam cōtumaciter vigere perexerit. Quamobrem noſtræ ſedis auctoritate adſcita, noſtraq; vice, & loco cum poteſtate vſus,

eiuſ-

μεμένων ἀπὸ τῆς ἡμέρας τῆς ὑπομνήσεως ταύτης, τὰ κακὰ κηρύγματα ἑαυτοῦ ἐγγράφῳ ὁμολογίᾳ ἀθετήσῃ, καὶ ἑαυτὸν διαβεβαιώσηται ταύτην κατέχειν τὴν πίστιν περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἣν καὶ ἡ Ῥωμαίων, καὶ ἡ τῆς σῆς ἁγιότητος ἐκκλησία, καὶ ἡ καθόλου θρησκεία κηρύττει, ἢ ἐὰν μὴ τοῦτο ποιήσῃ, ἡ σὴ ἁγιότης διὰ τῆς ἐκείνης τῆς ἐκκλησίας προνοησαμένη, μάθοι αὐτὸν παντὶ τρόπῳ ἀπὸ τοῦ ἡμετέρου σωματίου ἀποκινητέον τυγχάνειν.

Ταύτην τὴν ἀπόφασιν ὁ αὐτὸς ἀρχιερεὺς ἔστειλε τῷ Νεστορίῳ γράφων πρὸς αὐτόν. φανερῶς τοίνυν ἴσθι ταύτην ἡμῶν εἶναι τὴν ἀπόφασιν, ὡς ἐὰν μὴ περὶ τοῦ Χριστοῦ ἡμῶν ταῦτα κηρύξῃς, ἅπερ καὶ ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ πᾶσα ἡ καθολικὴ ἐκκλησία κατέχει, ὡς καὶ ἡ ἁγία, ἡ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν ἐκκλησία, ἕως σοῦ κάλλιστα κατέχε, καὶ ταύτην τὴν ἄπιστον καινότητα, ἥτις ἐπιχειρεῖ χωρίζειν ἅπερ συνάπτει ἡ ἁγία γραφή, ἐντὸς δεκάτης ἡμέρας ἀριθμεμένης ἀπὸ τῆς ἡμέρας ταύτης τῆς ὑπομνήσεως, φανερᾷ καὶ ἐγγράφῳ ὁμολογίᾳ ἀθετήσῃς, ἀπὸ πάσης κοινωνίας τῆς καθολικῆς ἐκκλησίας ἐκβέβλησαι. ὅνπερ τύπον πρὸς σὲ τῆς ἡμετέρας κρίσεως (σημείωσαι) διὰ τοῦ μνημονευθέντος υἱοῦ ἡμῶν Ποσιδωνίου τοῦ διακόνου μετὰ πάντων τῶν χαρτίων πρὸς τὸν ἅγιον, καὶ συνεπίσκοπόν μου τῆς μνημονευθείσης Ἀλεξανδρείας ἱερέα, τὸν περὶ τούτου αὐτοῦ ἐντελέστερον ἀνενεγκόντα, ἀπεστείλαμεν, ἵνα τὸ ὁπότερον ἡμῖν τοῦτο πράξῃ, ὥστε τὸ παρ' ἡμῶν ὡρισμένον σοί τε καὶ πᾶσι τοῖς ἀδελφοῖς φανερωθῆναι. ἐπειδὴ πάντες εἰδέναι ὀφείλουσι τὸ πραττόμενον, ὁσάκις ἡ περὶ κοινοῦ πράγματός ἡ σκέψις.

Ἐπέστειλε δὲ καὶ γράμματα Ἰωάννῃ τῷ Ἀντιοχείας σημαίνων περὶ τὸ τέλος τὴν αὐτὴν ἀπόφασιν κατὰ Νεστορίου, γινωσκέτω, φησὶν, ἡ σὴ ἁγιωσύνη παρ' ἡμῶν, μᾶλλον δὲ ἀπ' αὐτοῦ τοῦ δεσπότου Θεοῦ Χριστοῦ ἐξενηνεγμένην εἶναι τὴν ἀπόφασιν, ἵνα εἰ μὴ ἐντὸς δέκα ἡμερῶν ἀριθμεμένων, ἀφ' ἧς

ἡμέ-

eiuſmodi nō abſque exquiſita ſeueritate ſentētiam exequeris; nempè vt niſi decē dierū interuallo ab huius noſtræ admonitionis die numerandorū, nefariā doctrinam ſuam cōceptis verbis anathematizet, eamque de Chriſti Dei noſtri generatione fidē impoſterū confeſſurum ſe ſpōdeat, quam & Romana, & tuæ Sanctitatis Eccleſia, & vniuerſa denique religio Chriſtiana prædicat, illicò Sanctitas tua illi Eccleſię proſpiciat: Is verò modis omnibus ſe à noſtro corpore ſegregatum eſſe intelligat.

Hanc ſententiam idem Pontifex miſit Neſtorio ſcribens ad ipſum, ſic enim habet circa finē epiſtolæ: Apertè igitur hanc noſtrā ſcias eſſe ſententiā, vt niſi de Chriſto Deo noſtro ea prædices, quæ Romana, & Alexandrina & vniuerſalis Eccleſia catholica tenet, ſicut & ſancta Conſtantinopolitanæ magnæ Vrbis Eccleſia ad te vſq; optimè tenuit, & hanc perfidam nouitatem, quæ hoc quod venerabilis ſcriptura coniungit, nititur ſeparare, intra decimum diem à primo innoteſcentis tibi huius conuentionis die numerandum, aperta & ſcripta confeſſione damnaueris, ab Vniuerſalis te Eccleſiæ catholicæ communione deiectum. Quam formam ad te noſtri iudicij (nota) per memoratum filium meum Poſſidonium Diaconum, cum omnibus chartis ad Sanctum Cōſacerdotem meum memoratę Alexādrinæ Vrbis Antiſtitem, qui ad nos ſuper hoc ipſo plenius retulit, deſtinauimus; vt agat vice noſtra, quatenus ſtatutum noſtrum & tibi & vniuerſis fratribus innoteſcat: Quia omnes debent noſſe quod agitur, quoties omnium cauſa tractatur.

Idem Cæleſtinus eādem ſententiam miſit per epiſtolam ad Ioannem Antiochenū, vbi ait contra Neſtorium in fine epiſtolæ: Nouerit Sanctitas tua à nobis, ſeu potius ab ipſo Domino Deo Chriſto prolatā eſſe ſentētiā, vt niſi intra decem dies, ab eo connùmerandos, à quo

ἡμέρας ὑπομνησθείη, τὰς ἱεροσύλους αὐτοῦ διδασκαλίας περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως ἐγγράφῳ ὁμολογίᾳ καταδικάσῃ, καὶ ταύτῃ ἑαυτὸν ὁμολογήσῃ τῇ πίστει ἀκολουθεῖν, ἣν τινα ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ ἡ καθολικὴ φυλάττει ἐκκλησία, ἀπὸ τῆς συνόδου τῶν ἐπισκόπων ἀποκινηθεὶς, γινωσκέτω ἑαυτὸν τῷ οἰκείῳ βεβλάφθαι ὀλέθρῳ.

Ταύτην τὴν ἐπιστολὴν ὁ Εὐάγριος ἐν τῷ δ. κεφαλαίῳ τοῦ α. βιβλίου ἱερὰν προσαγορεύει, Ἐγγραφείσης δὲ, καὶ τῆς ἱερᾶς ἐκείνης ἐπιστολῆς Καιλεστίνου τοῦ παίυ τῆς πρὸς αὐτὸν Νεστόριον γενομένης. καὶ ἐν τῷ αὐτῷ κεφαλ. φησὶ, καθαιρεθῆναι τὸν Νεστόριον διὰ πολλὰς αἰτίας καὶ βλασφημίας αὐτοῦ, καὶ ἀπὸ κανόνων, καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Καιλεστίνου τοῦ ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας.

Ὅτι δὲ οἱ λοιποὶ πατριάρχαι ἐδέξαντο ταύτην τὴν ἀπόφασιν τοῦ ἀρχιερέως τῆς Ῥώμης, ὡς δικαίαν, καὶ γνησίαν, καὶ ἰσχὺν ἔχουσαν ἀλλοτριῶσαι τὸν Νεστόριον τοῦ σώματος τῆς ἐκκλησίας, ἐκ τῶν γραμμάτων ἔστι μαθεῖν Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς τὸν αὐτὸν Νεστόριον ἐν οἷς καὶ ταῦτα φέρεται. Καὶ γὰρ εἰ καὶ προθεσμίαν στενοτάτην τοῖς γράμμασιν ἐνέθηκεν ὁ κύριός μου ὁ θεοφιλέστατος Καιλεστῖνος ὁ ἐπίσκοπος, δέκα μόναις ἡμέραις, ὡς τὰ γράμματα αὐτοῦ περιέχει, περιορίσας τὴν ἀπόκρισιν, ἀλλ' ἔξεστιν ἔργον αὐτὸ ποιῆσαι καὶ ἡμέρας μιᾶς, τάχα δὲ καὶ ὡρῶν ὀλίγων. τὸ γὰρ χρήσασθαι προσφόρῳ ὀνόματι ἐν τῇ κατὰ τὸν παμβασιλέα Χριστὸν οἰκονομίᾳ ὑπὲρ ἡμῶν, τετριμμένῳ μὲν πολλοῖς τῶν πατέρων, ἐπαληθεύοντι δὲ καὶ ἐπὶ τῇ σωτηρίῳ ἐκ παρθένου γεννήσει, τοῦτο ῥᾴδιον. ὅπερ οὔτε ὡς ἐπικίνδυνον χρὴ παραιτήσασθαι τὴν σὴν ὁσιότητα, οὔτε ἐκεῖνο ὑπολογήσασθαι, ὡς οὐ χρὴ τὰ σεαυτοῦ ἐναντία ἐκθέσθαι. καὶ περὶ τὸ τέλος ταύτης τῆς ἐπιστολῆς. ἐννόησον, φησὶν, ὡς εἰ περὶ τῶν νῦν ἀποσταλέντων γραμμάτων, οἱ πολλοὶ ἄχετοι ἦσαν καθ' ἡμῶν, νῦν δεξάμενοι τὰ ἀπὸ τῶν γραμμά-

των

primũ illi noſtra innoteſcet ſententia,ſacrilegas ſuas doctrinas de Chriſti natiuitate, cõfeſſione ſua, quam ſcriptis mandare debeat reprobauerit; eamque ſe fidem ſequi confeſſus fuerit, quam Romana, & Alexandrina, & catholica ſeruat Eccleſia, à Synodo epiſcoporum amotus, intelligat ſibi, ſuam obfuiſſe perniciem.

Hanc epiſtolam Euagrius in 4. capite primi libri ſacram appellat: Cum eſſet, inquit, ſcripta & illa ſacra epiſtola Cæleſtini Summi ad ipſum Neſtorium. Et in eodẽ capite ait, Neſtorium fuiſſe depoſitum propter multas cauſas, & eius blaſphemias tum à Canonibus, tum etiam ex epiſtola Sanctiſſimi Patris noſtri Comminiſtri Cæleſtini Epiſcopi Romanorum Eccleſię.

Quod autem reliqui Patriarchæ approbauerint hanc ſentẽtiam Pontificis Romani, tanquam iuſtam, & legitimam, & quæ vim haberet alienãdi Neſtorium à corpore Eccleſiæ, ex literis poteſt intelligi eiuſdem Ioannis Epiſcopi Antiocheni ad ipſum Neſtoriũ, in quibus etiã hæc ferũtur: Enim verò licet Dominus meus Cæleſtinus Deo deuotiſſimus Epiſcopus, decẽ tantum dierũ interuallum, terminum vſq; reſponſioni præfinitũ valdè anguſtũ literis ſuis interpoſuerit, tamẽ ea res eiuſmodi eſt, vt, non dico decẽ diebus, ſed vno, immò verò paucis horis totum confici poſſe videatur. Nam quid facilus eſt, quã nomine cõmodo, multiſque Sãctis Patribus vſurpato, & vero nihilominus, ſalutariq. ex Virgine ortui percongruo in Chriſti omniũ noſtrũ Regis diſpenſatione? Cum hoc ergo neq; graue, neq; periculosũ ſit, ęquũ non eſt, vt Sãctitas tua illud refutet; neque id nũc apud ſe cogitet turpe eſſe ſibi pugnãtia docere. Et circa finem huius epiſtolæ: Cogita ſi priuſquã vllæ omninò literæ miſſæ forẽt, multi cõtra nos extitere infrenes, penèq; intolerabiles, quales nunc futuri ſint tota ex allatis literis ſubminiſtrata fidu-

των παῤῥησίας, τίνες οὐκ ἔσονται; καὶ ποίᾳ οὐ χρήσονται καθ' ἡμῶν παῤῥησίᾳ;

Παρ' οὐδενὶ δὲ τῶν ἁπάντων τοσοῦτον ἐπιλάμπει καὶ διαλάμπει ἡ ἀποστολικὴ ἐξουσία τοῦ Ῥωμαίων ἀρχιερέως, ὅσον σελαγεῖ, καὶ ἀστράπτει ἐν τῇ συνόδῳ τῇ ἐν Χαλκηδόνι διὰ τῶν ἐπιστολῶν τοῦ μεγάλου Λέοντος, καὶ τὰς ἀποκρίσεις τῶν βασιλέων πρὸς αὐτὸν, Οὐαλεντινιανοῦ, Μαρκιανοῦ, Πλακιδίας, καὶ Πουλχερίας.

Ὁ γοῦν μέγας Λέων πρὸς Θεοδόσιον ἔν τινι ἐπιστολῇ, οὕτως ἄρχεται. ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐν ταῖς γενομέναις συνόδοις, τοσαύτην ἡμεῖς εἰλήφαμεν παῤῥησίαν παρὰ τοῦ ἁγιωτάτου Πέτρου, καὶ κορυφαίου τῶν ἀποστόλων, ὡς ἔχειν τὴν αὐθεντίαν, καὶ ἐκδικεῖν τὴν ἀλήθειαν ὑπὲρ τῆς ὑμῶν εἰρήνης, καὶ μηδενὶ δύνασθαι ὀχυρὰν οὕτως ὑπάρχουσαν περισαλεύειν παραχρῆμα τῆς βλάβης ἀποσειομένης. καὶ κατωτέρω. πᾶσαι αἱ ἐκκλησίαι τῶν ἡμετέρων μερῶν καὶ πάντες οἱ ἱερεῖς τὴν ὑμετέραν ἡμερότητα μετὰ δακρύων ἱκετεύουσι κατὰ τὴν αἴτησιν τοῦ λιβέλλου Φλαβιανοῦ ἐπισκόπου, ὥστε κελεῦσαι γενικὴν σύνοδον ἐν τοῖς τῆς Ἰταλίας μέρεσιν ἐπιτηδευθῆναι, ὅπως πᾶσα ἡ ἐναντιότης ἐκβληθείη, ἢ καὶ κατεπραϋνθείη καὶ μηδὲν ἢ παρέλκον ἢ ἀμφίβολον ἐπὶ τῇ πίστει, συνερχομένων ἔτι τῶν ἐπισκόπων ἀπὸ πασῶν τῶν ἀνατολικῶν ἐπαρχιῶν. καὶ ἐν ἄλλῃ ἐπιστολῇ πρὸς τὸν αὐτὸν τὰ αὐτὰ σχεδὸν γράφει λέγων. πάντων τῶν μερῶν ἡμῶν αἱ ἐκκλησίαι πᾶσαι, τῆς ὑμετέρας φιλανθρωπίας μετὰ στεναγμῶν καὶ δακρύων καταδέονται διὰ τῶν ἐπισκόπων. ἐπειδὴ καὶ οἱ ἡμέτεροι σφοδρῶς ἀντειρήκασι, καὶ αὐτὸς ἐκείνοις (δηλαδὴ οὓς ἡ ἀποστολικὴ καθέδρα ἀπέστειλε) Φλαβιανὸς ὁ ἐπίσκοπος λίβελλον ἐκκλήτου ἐπιδέδωκε, γενικὴν σύνοδον κελεύσατε ἐντὸς τῆς Ἰταλίας συγκροτηθῆναι. καὶ κατωτέρω. Ὅπως γὰρ μετὰ τὴν ἔκκλητον τοῦτο ἀναγκαίως αἰτοῦμεν τῶν κατὰ Νίκαιαν κανόνων αἱ ψῆφοι μαρτυροῦσιν αἵ τινες ἀπὸ τῶν ἁπανταχοῦ τοῦ κόσμου ἐπισκόπων καθιδρύθησαν.

Ουα-

cia qualiq; imposterũ aduersus nos aũdaciæ sint vsuri?

Apud neminẽ autem ex omnibus tantũ claret & resplendet Apostolica potestas Romani Põtificis, quantum fulget, & corruscat in Concilio Chalcedonensi per epistolas magni Leonis, & responsa ad ipsum Imperatorum, Valentiniani, Marciani, placidiæ, & pulcheriæ.

Igitur magnus Leo ad Theodosiũ in quadã epistola, sic eã incipit, olim & ab initio in Cõcilijs celebratis, tãtã nos percepimus à Beatiss. Petro Apostolorũ principe fiduciã, vt auctoritatẽ habeamus, ad veritatẽ pro vostra pace defendẽdã, quatenus nulli liceat, sic eam munitam in aliquo cõmouere, dum repente læsio remouetur. Et infra. Omnes partiũ nostrarum Ecclesiæ, omnes mãsuetudini vestræ cum gemitibus, & lacrymis supplicant Sacerdotes, vt quia & nostri fideliter reclamarũt, & eisdem libellum appellationis Flauianus Episcopus dedit, generalẽ Synodum iubeatis intra Italiam celebrari, quę omnes offensiones ita, aut repellat, aut mitiget, nõ vltra aliquid sit, vel in fide dubiũ vel in claritate diuisum conueniẽtibus vtique Oriẽtalium Prouinciarum Episcopis.

Extat prętereà alia quędam Leonis epistola ad eundẽ Theodosiũ, in qua verbis ferè ijsdem & obtestationibus postulat, vt Synodus generalis haberetur in Italia nutu, & auxilio Imperatoris. Omnes, inquit, (vt Leo ipse scripsit) partiũ nostrarũ Ecclesię, omnes mãsuetudini vestrę cũ gemitibus, & lacrymis supplicãt Sacerdotes, vt quia, & nostri fideliter reclamarunt, & eisdem (scilicet, quos Apostolica Cathedra miserat) libellũ appellationis Flauianus Episcopus dedit; generalẽ Synodũ iubeatis intra Italiã celebrari. Et infra. Quam autẽ, post appellationem interpositam hoc necessariò postuletur, Canonũ Nicæę habitorum decreta testantur, quę à totius mundi sunt Sacerdotibus constituta: Quęque subter adnexa sunt.

Va-

Οὐαλεντινιανὸς ὁ βασιλεὺς πρὸς Θεοδόσιον τὸν πατέρα, ἐπαίρων καὶ γεραίρων τὴν ὀρθόδοξον πίστιν, ἐπεί, φησίν, ἡμεῖς ἀπὸ τῶν προγόνων παραδοθεῖσαν ὀφείλομεν μετὰ τῆς προσηκούσης καθοσιώσεως ἐκδικεῖν, καὶ τῆς ἰδίας εὐλαβείας τὴν ἀξίαν τῷ μακαριωτάτῳ ἀποστόλῳ Πέτρῳ ἄχραντον καὶ ἐν τοῖς ἡμετέροις χρόνοις διαφυλάττειν, ἵν' ὁ μακαριώτατος ἐπίσκοπος τῆς Ῥωμαίων πόλεως. ᾧ τὴν ἱερωσύνην κατὰ πάντων ἡ ἀρχαιότης παρέσχε, χώραν καὶ εὐπορίαν ἔχῃ περὶ πίστεως καὶ ἱερέων κρίνειν. τούτου γὰρ χάριν κατὰ τὸ ἔθος τῶν συνόδων (σημείωσαι) καὶ ὁ τῆς Κωνσταντινουπόλεως ἐπίσκοπος αὐτὸν ἐπεκαλέσατο διὰ λιβέλλου, ἕνεκα τῆς περικυψάσης φιλονεικίας περὶ τῆς πίστεως. καὶ κατωτέρω. ἵνα ὁ προλεχθεὶς ἱερεὺς συναχθέντων ἐκ πάσης τῆς οἰκουμένης καὶ τῶν λοιπῶν ἱερέων ἐντὸς τῆς Ἰταλίας, παντὸς προκρίματος ἀποκινηθέντος ἐξ ὑπαρχῆς τὴν στρεφομένην αἰτίαν πεφροντισμένῃ δοκιμασίᾳ διαγνούς, ἐξενέγκῃ τὴν ἀπόφασιν, ὡς ἡ πίστις καὶ ὁ τῆς ἀληθοῦς θειότητος λόγος ἀπαιτεῖ.

Ἡ Πλακιδία μήτηρ πρὸς τὸν αὐτὸν Θεοδόσιον περὶ τοῦ Διοσκόρου φησίν, ὅς τις ἐν τῇ συνόδῳ τῆς Ἐφεσίων πόλεως μῖσος καὶ ἀψιμαχίαν μᾶλλον λέγεται γεγυμνακέναι, τῇ τε τῶν στρατιωτῶν παρουσίᾳ καὶ τῷ φόβῳ καταπλήττων τὸν ἐπίσκοπον τῶν Κωνσταντινουπολιτῶν Φλαβιανόν, διὰ τό, λίβελλον στεῖλαι πρὸς τὸν ἀποστολικὸν θρόνον, καὶ πρὸς πάντας τοὺς ἐπισκόπους τῶν μερῶν τούτων διὰ τῶν ἀποσταλέντων ἐν τῇ συνόδῳ παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥώμης, οἵτινες καὶ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ συνόδου εἰθίσθησαν συνεῖναι. τούτου χάριν ἡ σὴ ἡμερότης τοσούτοις θορύβοις ἀντιτιθεῖσα τὴν ἀλήθειαν, ἄσπιλον τὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας διαφυλαχθῆναι προσταξάτω. ἵνα κατὰ τὸν τύπον καὶ τὸν ὅρον τοῦ ἀποστολικοῦ θρόνου, ὃν καὶ ἡμεῖς ὡς προηγούμενον προσκυνοῦμεν, ἐν τῇ στάσει τῆς ἱερωσύνης ἀβλαβοῦς μένοντος, ἐν πᾶσι Φλαβιανοῦ ἐν τῇ συνόδῳ τοῦ ἀποστολικοῦ θρόνου ἡ δίκη παραπεμφθείη, ἐν ᾧ πρῶτος ἐκεῖνος ὁ τὰς κλεῖς

ἀξιω-

Valentinianus Imperator ad Theodosium patrem, extollēs, & magnificans orthodoxam fidem, quam, inquit, nos, à nostris maioribus traditam debemus cum omni competęnti deuotione defendere, & dignitatem proprię venerationis beato Apostolo Petro intemeratam nostris temporibus conseruare. Quatenus Beatissimus Romę Ciuitatis Episcopus, cui principatum Sacerdotij super omnes Antiquitas contulit (non Imperatores) locū habeat, & facultatem de fide, & Sacerdotibus iudicare. Hac enim gratia (nota) secundum solemnitatem Conciliorum, & Constantinopolitanus Episcopus per libellos appellauit, propter contentionem, quę orta est de fide. Et paulò infra: Vt prędictus Sacerdos, congregatis ex omni Orbe etiam reliquis Sacerdotibus (nota) intra Italiam, omni perçiudicio submoto à principio omnem causam, quę vertitur sollicita probatione cognoscens, sententiam ferat, quam fides & ratio verę diuinitatis expostulat.

Placidia mater ad eundem Theodosium de Dioscoro inquit, qui in Synodo Ephesinę Ciuitatis odium & contentiones potius exercuisse narratur, militū pręsentia & metu impetēs Constantinopolitanę Ciuitatis Episcopū Flauianum, eo quod libellū ad Apostolicam sedem miserit, & ad omnes Episcopos harum partiū, per eos qui directi fuerunt in concilio reuerendissimo Episcopo Romę. Qui secundū definitiones Nicæni concilij consueti sunt interesse. Hac itaq, gratia tua mansuetudo tantis turbis resistens, veritatem immaculatā fidei, catholicæ religionis seruari præcipiat; vt secundū formā, & definitionem Apostolicæ Sedis, quam & nos tanquam Præcellentem similiter veneramur, in statu Sacerdotij, illęsò manente per omnia Flauiano, ad Cōcilij, & Apostolicæ Sedis iudicium transmittatur. In qua primus ille, qui cœlestes

ἀξιωθεὶς ὑποδέξασθαι, τὴν ἐπισκοπὴν τῆς ἀρχιερωσύνης ἐκόσμησε. δηλαδὴ ὁπότε πρέπει, ἡμᾶς ταύτῃ τῇ μεγίστῃ πόλει, ἥ τις δίαποινα πασῶν ὑπάρχει τῶν γενεῶν, ἐν πᾶσι τὸ σέβας περιφυλάξασθαι.

Μαρκιανὸς ὁ βασιλεὺς πρὸς Λέοντα. λοιπόν ἐστιν ἵνα, εἰ ἀρέσκει τῇ σῇ ἁγιότητι, ἐπὶ ταῦτα τὰ μέρη παραγενέσθαι, καὶ τὴν σύνοδον ἐπιτελέσαι, τοῦτο ποιεῖν τοῦ περὶ τὴν θρησκείαν ἔρωτι, καταξιώσῃ, καὶ γὰρ ταῖς ἡμετέραις ἐπιθυμίαις ποιήσει τὸ ἱκανὸν ἡ σὴ ἁγιότης, καὶ τῇ ἱερᾷ θρησκείᾳ τὰ χρήσιμα διατυπώσει. εἰ δὲ ἐπαχθὲς τοῦτό ἐστι τὸ σὲ πρὸς ταῦτα παραγενέσθαι τὰ μέρη, τοῦτ' αὐτὸ ἡμῖν ἰδίοις καταμηνύσει γράμμασιν ἡ σὴ ἁγιωσύνη. ὥστε πρὸς ἅπασαν τὴν Ανατολὴν καὶ τὴν Θρᾴκην καὶ τὸ Ιλλυρικὸν θεῖαι ἱμέτεραι ἀποσταλήσονται προσφωνήσεις, ὅπως πρός τινα ὡρισμένον τόπον, ἔνθα αὖ ὑμῖν δόξῃ, πάντες οἱ ἁγιώτατοι ἐπίσκοποι παραγένωνται. καὶ ἅπερ τῇ τῆς τῶν χριστιανῶν θρησκείας εἰρήνῃ, καὶ τῇ καθολικῇ πίστει συμφέρουσι, καθὼς ἡ σὴ ἁγιωσύνη κατὰ τοὺς ἐκκλητιαστικοὺς κανόνας διετύπωσε, κατατεθήσονται.

Η Πουλχερία αὐγοῦστα θυγάτηρ οὖσα τῆς Πλακιδίας μιμησαμένη τὸν σύζυγον τὰ αὐτὰ γράφει. καὶ ἐν τῷ τέλει. κἀκεῖσε γενομένης συνόδου περί τε τῆς καθολικῆς ὁμολογίας, καὶ περὶ τούτων τῶν ἐπισκόπων, οἵτινες πρὸ τούτου ἐχωρίσθησαν, καθὼς ἡ πίστις καὶ ἡ χριστιανικὴ εὐσέβεια ἀπαιτεῖ, σοῦ αὐθεντοῦντος, ὁρίσωσι. τὸ δὲ σοῦ αὐθεντοῦντος οὐ τοῦτο μόνον δηλοῖ, σοῦ ἐν τῇ τάξει τὸν πρῶτον τόπον ἐπέχοντος ἀλλ' ἐν ἅπασιν, ἐν τῇ κρίσει ἐν τῇ ἀποφάσει, ἐν τῇ τυπώσει καὶ ἐν τῷ κυρῶσαι. καὶ δῆλον ἐξ ὧν φθέγγεται ὁ μέγας Βασίλειος ἐν τῇ νβ ἐπιστολῇ πρὸς Ἀθανάσιον, αὐτὸν λέγων τὸν Πάπαν αὐθεντῆσαι περὶ τὸ πρᾶγμα, ὡς καὶ μόνον δύνασθαι τὸ πᾶν ἐξανύσαι.

Οἱ αὐτοὶ βασιλεῖς μετὰ τὸ τέλος τῆς συνόδου ἔγραψαν. Παλλαδίῳ τῷ μεγαλοπρεπεστάτῳ ἐπάρχῳ τῶν Πραιτωρίων, Ουα-

claues dignus fuit accipere, principatum Episcopatus ordinauit. Quando scilicet docet nos, huic maximæ Ciuitati, quę domina omnium est Ciuitatum tuarum, in omnibus reuerentiam conseruare.

Marcianus Imperator ad Leonem: Superest, vt si placuerit tuæ Beatitudini in has partes aduenire, & Synodum celebrare, hoc facere religionis affectu dignetur, nostris vtique desiderijs vestra Sanctitas satisfaciet, & sacræ religioni, quæ vtilia sunt, decernet. Si verò hoc onerosum est, vt tu ad has partes aduenias, hoc ipsum nobis proprijs literis tua Sanctitas manifestet, quatenus in omnem Orientem, & in ipsam Thraciam, & Illiricum sacræ vestræ literæ dirigantur; vt ad quendam definitum locum, vbi vobis placuerit, omnes Reuerendissimi Episcopi debeant conuenire, & quæ Christianorum religioni, atque catholicę fidei prosint, sicut Sanctitas tua secundum Ecclesiasticas regulas definierit, sua dispositione declaret.

Pulcheria Augusta filia Placidię Marcianum coniugem imitata, eadem scribit. Et in fine epistolę; Et illic facto concilio, & de catholica confessione, & de Episcopis, qui ante hoc congregati sunt, sicut fides, & christiana pietas exigit, te auctore decernat. Illud verò, te auctore, non istud solũ significat, te in ordine primum locum tenere, sed in omnibus, in iudicio, in sententia, in definitione & confirmatione. Vt liquet ex his, quę loquitur magnus Basilius in 52. epistola ad Athanasium: Ipsum dicẽs, Papam auctoritate sua vsum circa negotium; tanquam eum solum, qui totum perficere possit.

Ijdem Imperatores post absolutum Chalcidonense Concilium, diuersis ad diuersos literis pro eodem Concilio datis, scripsere ad Pręsidem Prętorij, Valen-

Οὐαλεντινιανῷ ἐπάρχῳ τοῦ Ἰλλυρικοῦ, Τατιανῷ ἐπάρχῳ τῆς πόλεως, Βιγκομάλῳ Μαγίστρῳ τῶν θείων ὀφφικίων, καὶ Ὑπάτῳ δεσιγνάτῳ. Ταῦτα δέ εἰσιν αὐτῶν τὰ ῥήματα. καὶ δὴ τούτοις ἐπηκολούθησεν ἐκεῖνο. ὅπερ τοῖς αὐτοῦ γέρασιν ὁ Θεὸς ἐδωρήσατο. ὥστε προσκυνητὴν σύνοδον ἀναριθμήτων σχεδὸν ἐπισκόπων συναχθεῖν εἰς τὴν Χαλκηδονίων, ἥ τις ἐν ὅσῳ τὰ κατὰ τὴν πίστιν ἐπιμελῶς ἐκζητεῖ διὰ τῆς αὐθεντίας τοῦ μακαριωτάτου Λέοντος, τοῦ τῆς αἰανίας τὴν δόξαν Ῥώμης ἐπισκόπου, καὶ τῆς θρησκείας κυροῖ τὰ θεμέλια, Φλαβιανῷ τὸ βραβεῖον τοῦ τε παρῳχηκότος βίου, καὶ τῆς ἐνδόξου παρέσχηκε τελευτῆς.

Ἐπεὶ δὲ μνημονεύομεν τοῦ Λέοντος, οὐ δεῖ ἀμνημονεῖν καὶ τῆς ἐπιστολῆς τοῦ ἁγίου Πέτρου ἐπισκόπου Ῥαβέννης τοὐπίκλην Χρυσολόγου ἀντιγραφείσης πρὸς Εὐτυχῆ τὸν ἀρχιμανδρίτην, ἐν ᾗ παραινεῖ τὸν αἱρεσιάρχην δυστυχέστατον Εὐτυχῆ πείθεσθαι Λέοντι ἐν τοῖς τῆς πίστεως δόγμασιν. ἐπὶ τούτοις δέ, φησί, προτρεπόμεθά σε, ἀδελφὲ τιμιώτατε ὥστε τοῖς παρὰ τοῦ μακαριωτάτου Πάπα τῆς πόλεως Ῥώμης γραφομένοις πειθαρχούντως προσέχειν. ἐπειδὴ καὶ ὁ μακάριος Πέτρος, ὃς ἐν τῇ ἰδίᾳ καθέδρᾳ, καὶ ζῇ καὶ προκάθηται, δίδωσι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν. ἡμεῖς γὰρ σπουδῇ τῆς εἰρήνης καὶ τῆς πίστεως ἐκτὸς συναινέσεως τοῦ Ῥώμης ἐπισκόπου, πίστεως αἰτίας διαγνῶναι οὐ δυνάμεθα.

Ἐπειδὴ μνείαν ἐποιησάμεθα ἁγίων συνόδων καὶ ἀοιδίμων βασιλέων οὐδαμῶς παραλειπτέον εἰς μέσον ἄξαι τὴν οἰκουμενικὴν σύνοδον, (ἡ γὰρ ἐν Φλωρεντίᾳ σύνοδος ἀδίκως ἐπιγράφεται ὀγδόη ὑπό τινος ἀμαθοῦς ἐπισκόπου Λατίνου τὸ γένος κρητὸς) ὀγδόη δὲ οἰκουμενικὴ σύνοδος νεωστὶ εὑρεθεῖσα ἐστὶ κατὰ Φωτίου τοῦ παραβάτου ὑπὲρ τοῦ ἁγίου Ἰγνατίου πατριάρχου Κωνσταντινουπόλεως. ἀνάγνωθι καὶ τὰ λοιπὰ τῆς συνόδου κατὰ τοῦ τρισκαταράτου Φωτίου οὐδὲν γὰρ ὃ μὴ ἄξιον ἀναγνώσεως κατὰ τῶν προσφάτων γραικῶν, καὶ τύποις δοθῆναι ταῦτα χρεών. ἐν ταύτῃ οὖν τῇ συνόδῳ τρίτῃ πρά-

ξει

tinianum. Verba ipſa Imperatorum hęc ſunt: Hęc ergo ſubſequutum eſt illud, quod ipſius meritis largitus eſt Deus vt adoranda Synodus innumerabiliũ ferè Epiſcoporum conueniret in Vrbem Chalcedonenſem. Quæ dum res fidei diligenter explorat per auctoritatem Beatiſſimi Leonis Vrbis, cuius ęterna gloria eſt, Epiſcopi, & religionis, fundamenta corroborat, effecit, vt Flauiano pręmium anteactę vitę & glorioſę mortis tribueretur.

Quoniam verò mentionem fecimus magni Leonis, non eſt obliuioni danda epiſtola Sancti Petri Epiſcopi Rauennatis cognomento Chyſologi ad Eutychem Abbatem, in qua hortatur hęreſiarcham infeliciſſimum Eutychem obedire Leoni in fidei dogmatibus. In omnibus autem, inquit, hortamur te, frater honorabilis, vt his quę à Beatiſs. Papa Romanæ Ciuitatis ſcripta ſunt, obedienter oſtendas; quoniam Beatus Petrus, qui in propria ſede, & viuit, & pręſidet. pręſtat quęrentibus fidei veritatem. Nos enim pro ſtudio pacis, & fidei extra conſenſum Romanę Ciuitatis Epiſcopi, cauſas fidei audire non poſſumus.

Præterea, quoniam mentionem fecimus ſanctorum & glorioſiſſimorum Imperatorum nulla ratione prætereundum eſt, in medium adducere Oecumenicum Octauum Concilium; (quippe Concilium Florentiæ celebratum à quodam Imperito Epiſcopo Latino natione Cretēſi Abraamo, immerito octauum inſcribitur.) Octauum verò Concilium œcumenicum recenter repertum, celebratum eſt contra Photium tranſgreſſorem pro Sancto Ignatio Patriarcha Conſtantinopolitano. Legas etiã reliqua Concilij contra execrandum Photium. nihil enim eſt, quod non ſit lectione dignum aduerſus recentiores Græcos; & omnino hæc imprimendo erunt. in hoc Concilio actione 3. ſcribit epiſtolã Baſilius Impe-

ξει, γράφει ἐπιστολὴν Βασίλειος ὁ βασιλεὺς Μακεδὼν πρὸς Νικόλαον τὸν Πάπαν ἐν ᾗ φέρεται ταῦτα. ἡμεῖς μὲν γὰρ τὸν Φώτιον τοῦ θρόνου μετεκινήσαμεν, ὥστε πρὸς ἑαυτὸν ἡσυχάζειν, Ἰγνάτιον δὲ τὸν ἀδικηθέντα κατὰ τὴν ἐν διαφόροις ἐπιστολαῖς ὑμῶν κρίσιν, ἃς οἱ προκατάρξαντες ἡμῶν ἀποβιῶναι ἐσπούδασαν, ἐπὶ τὸν ἴδιον θρόνον ἀποκατεστήσαμεν. τοῖς λοιποῖς δὲ τὸ πέρας ἐπιθεῖναι, μᾶλλον δὲ καὶ ταῦτα ἐπισφραγίσαι τῇ σῇ ὁσιότητι καταλελοίπαμεν.

Ἔτι δὲ προσθήσομεν καὶ τὰ λοιπά. Ὁ ἅγιος Θεόδωρος ὁ ὁμολογητὴς ὁ Στουδίτης ἐν τῇ δογματικῇ κατηχήσει περὶ τιμῆς καὶ προσκυνήσεως τῶν ἁγίων εἰκόνων οὕτω φησί. μανθάνω δὲ ὅτι ἐν Ῥώμῃ καὶ τὰς κλεῖς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου διὰ τιμῆς ἄγουσι. καίτοι ὁ Κύριος οὐ κλεῖς αὐτῷ δίδωσιν αἰσθητάς, ἀλλὰ τὰς διὰ λόγου εἰς τὸ δεσμεῖν, καὶ λύειν. οἱ δὲ ἀργυρᾶς πεποιηκότες ταύτας προστιθέασιν εἰς προσκύνησιν. τοσαύτη οὖν αὐτῶν ἡ πίστις. κἀκεῖ ἡ ἀρραγὴς πέτρα τῆς πίστεως τεθεμελιωμένη κατὰ τὸν λόγον τοῦ Κυρίου. ἐνταῦθα ὡς ἔοικε πλεονάζουσα ἡ ἀπιστία καὶ ἡ ἀνομία.

Ὁ αὐτὸς Στουδίτης ἐπιστέλλων πρὸς Μιχαὴλ τὸν βασιλέα ἀπὸ προσώπου πάντων τῶν ἡγουμένων, φησίν. ἡμεῖς ἐπὶ τὸ αὐτὸ συνεληλυθότες κατὰ κέλευσιν τῆς θεοσέπτου ὑμῶν βασιλείας, ἐλάχιστοι ἐπίσκοποι καὶ ἡγούμενοι, διελυσάμεθα πάντα τὰ ὑμῖν ἀπορούμενα. εἰ δέ τι ἀμφιβαλλόμενον, ἢ ἀπιστούμενον τῇ θείᾳ ὑμῶν μεγαλονοίᾳ δοκεῖ, διαλύεσθαι παρὰ τοῦ ἀρχιερέως εὐσεβῶς, ἡ μεγάλη καὶ θεοστήρικτος αὐτῆς χεὶρ, ὡς ζηλοτυποῦσα τὰ πάντα ἐπ' ὠφελείᾳ τοῦ παντὸς, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξασθαι τὴν διασάφησιν. ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη. αὕτη χριστομίμητε βασιλεῦ, ἡ κορυφαιοτάτη τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ἧς Πέτρος πρωτόθρονος. πρὸς ὃν ὁ Κύριος φησὶ, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

Καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ πρὸς Ναυκράτιον, ἧς ἡ ἀρχὴ, οὐ πλη-

rator Macedo ad Nicolaum Pontificem, vbi hęc reperiuntur: Nos enim Photium gradu mouimus, vt ſibi quietè viueret, & turbas non cieret; Ignatium verò iniuria affectum ſolio ſuo reſtituimus, ſecundum iudicium veſtrum varijs in epiſtolis declaratum, quas qui ante nos imperabant, ſupprimere conabantur. reliquis verò finem imponere, ſeu potius hæc approbare & obſignare ſanctitati tuæ relinquimus.

Prætereà addamus reliqua. Theodorus confeſſor Studita in dogmàtica Catecheſi de honore, & veneratione Sãctarum imaginũ ſic ait: audio verò quod Romæ etiam claues principis Apoſtolorum Petri in honore habeant. Cum tamen Dominus claues non materiales ad ligandum, atque ſoluendum, ſed per verbum conceſſerit: Hi verò argenteas fabrefactas proponunt ad venerationem. Tanta igitur eſt ipſorum fides, ibique in concuſſa petra fidei fundata eſt, iuxta verba Domini; huc verò vt apparet, ſuperabundat infidelitas, & impietas.

Idem Sanctus Studita ſcribens ad Michaelem Imperatorem nomine omnium Abbatum, ait; Nos in idem conuenientes iuxta mandatũ à Deo Coronati veſtri imperij minimi Epiſcopi, & Abbates diſſoluimus omnia, de quibus vos dubitatis. Quod ſi quid eſt ambiguũ, vel minus credibile videtur diuinæ tuæ prudẽtiæ, vt ab Epiſcopo piè diſſoluatur, magna, & à Deo cõfirmata tua manus, vt in omnibus zelũ habens pro vtilitate totius Orbis, iubeat, vt à vetere Roma explanationem accipiat. Vt olim ab antiquo per traditionẽ Patrum traditũ eſt, hęc Chriſti imitator Imperator, ſupremus eſt apex Eccleſiarũ Dei cuius Petrus primam Sedẽ tenet, ad quẽ Dominus ait: Tu es Petrus, & ſuper hanc petram ædificabo Eccleſiam meam, & portę inferi non præualebunt aduerſus eam.

Et in alia epiſtola ad Naucratium, cuius initium, non ſatu-

οὐ πληθήσεται τὸ οὖς μου ἀπὸ φωνῶν ἀκροάσεως, φησί. μαρτυρῶ ἄρτι κατενώπιον Θεοῦ καὶ ἀνθρώπων, ὅτι ἑαυτοὺς ἀπέρρηξαν τοῦ σώματος τοῦ Χριστοῦ, τοῦ κορυφαίου θρόνου, ἐν ᾧ Χριστὸς ἔθετο τὰς κλεῖς τῆς πίστεως, ἧς οὐ κατίσχυσαν ἀπ' αἰῶνος, οὐδ' ἂν κατισχύσωσι ταύτης μέχρι τῆς συντελείας τοῦ αἰῶνος, αἱ τοῦ ᾅδου πύλαι τὰ τῶν αἱρετικῶν δηλονότι στόματα, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις. Ταῦτα οὐχ ἧττον εἴποι τὶς ἂν κατενώπιον Θεοῦ, καὶ ἀνθρώπων πρὸς τοὺς παρόντας Γραικούς.

Ὁ αὐτὸς ἐν τῇ πρὸς Πασχάλιον τὸν Πάπαν ἐπιστολῇ, ταῦτα φάσκει. Ἄκουε ἀποστολικὴ κάρα, θεοπρόβλητε ποιμὴν τῶν Χριστοῦ προβάτων κλειδοῦχε τῆς οὐρανῶν βασιλείας, πέτρα τῆς πίστεως, ἐφ' ᾗ ᾠκοδόμηται ἡ καθολικὴ ἐκκλησία, Πέτρος γὰρ σὺ τὸν Πέτρου θρόνον κοσμῶν, καὶ διέπων. καὶ κατωτέρω. Δεῦρο δὴ ἀπὸ δυσμῶν ὁ χριστομίμητος ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος, πρὸς σὲ γὰρ εἴρηκε Χριστὸς, ὁ Θεὸς ἡμῶν, καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. καὶ μετά τινα. Ὑμεῖς οὖν ὡς ἀληθῶς ἡ ἀθολώτως καὶ ἀκαπηλεύτως πηγὴ ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας, ὑμεῖς ὁ πάσης (σημείωσαι) αἱρετικῆς ζάλης ἀνῳκισμένος, ὁ εὔδιος λιμὴν τῆς ὀρθοδοξίας. ὑμεῖς ἡ θεόλεκτος πόλις τοῦ φυγαδευτηρίου τῆς σωτηρίας.

Ὁ μακάριος Κύριλλος ἐν τοῖς Θησαυροῖς λέγει, ὅτι δεῖ ἡμᾶς, ὡς μέλη ἐμμένειν τῇ κεφαλῇ ἡμῶν. τῷ τῆς Ῥώμης ἀρχιερεῖ καὶ τῷ ἀποστολικῷ θρόνῳ ἀφ' οὗ ἡμέτερόν ἐστι ζητῆσαι τί πιστεύειν, καὶ τί δοξάζειν μέλλομεν καὶ κρατεῖν. ὅτι αὐτοῦ μόνου ἐστὶν ἐλέγχειν, ἐπιδιορθοῦν, ἐπιτιμᾶν, ἐπικυροῦν, διατιθέναι, λύειν, καὶ δεσμεῖν.

Ταῦτα οἱ θεῖοι πατέρες. ἀφίημι πολλοὺς ἄλλους, καὶ τὰς ἱερὰς καὶ οἰκουμενικὰς ὀνομάτας συνόδους, καὶ ταύτας εἰς μαρτυρίαν ἄγειν. ἔργον γὰρ τοῦτο πεποίηται ἀνδρὶ σοφωτέρῳ, καὶ παρὰ τῷ ἀρίστῳ Ἰωάννῃ Ματθαίῳ τῷ Καρυοφύλλῳ ἀρχιεπισκόπῳ Ἰκονίου, τῷ συλλέξαντι τὰ προνόμια, καὶ ἐξαί-

ρετα

ſaturabitur auris mea à vocibus auditionis, ait: Teſtor modò coram Deo, & hominibus, quod ſeipſos ſepararunt à corpore Chriſti, nimirum ſuprema Sede, in qua Chriſtus poſuit claues fidei, aduerſus quam non præualuerunt ab æterno, neque ipſi præualebunt vſque ad cõſumationem ſeculi portæ inferi. Nimirũ, hæreticorum iuxta pollicitationem illius, qui veraciſſimus eſt. Hæc non minus dixerit, aliquis coram Deo, & hominibus aduerſus pręſentes Gręcos.

Idem in epiſtola ad Paſchalem Papam aſſerit: Audi Apoſtolicum caput, paſtor ouium Chriſti à Deo promote, clauiger regni cœleſtis, petra fidei, in qua fundata eſt catholica Eccleſia, quippè Petrus es tu, qui Petri cathedram, ornas & gubernas. Et paulo infrà. Age igitur ab Occidente Chriſti imitator, exurge, & ne repellas in finem. Ad te enim Chriſtus Deus noſter dixit, & tu aliquando conuerſus confirmabis fratres tuos. Et poſt pauca. Vos igitur, vt reuera fons minimè turbidus, & ſyncerus à principio Orthodoxię, vos ſupra omnem turbinem hęreticum ſuperiores. ſerenus portus Orthodoxię vos vrbs à Deo electa refugij ſalutis.

Beatus Cyrillus in theſauris ait, quod oportet nos, vt membra inniti noſtro capiti, videlicet Romano Pontifici, & Apoſtolico throno, à quo noſtrum erit quęrere, quid credendum, quid opinandum, quid tenendum. Quoniam ipſius ſolius eſt redarguere, corrigere, repręhendere, confirmare, diſponere, ſoluere, & ligare.

Hęc Sancti Patres. omitto cõmemorare multos alios, & ſacras, & œcumenicas Synodos, eaſque in teſtimonium adducere. Etenim vir ſapientior, & in omnibus præſtantiſſimus Ioannes Matthæus Caryophylus Archiepiſcopus Iconienſis hoc onus ſubijt: Qui collegit

præ-

ρεῖα προτερήματα τοῦ Ῥώμης ἀρχιερέως ἐκ τῶν ἱερῶν συνόδων, καὶ ἀποσκορακίσαντι Νεῖλον τὸν Θεσσαλονίκης καὶ παῖδα ψευδόπλαστον δείξαντι τὸν ἀντίπαλον.

Τοῦτο μὲν τὸ ἔθος πάλαι ποτὲ τῶν προγενεστέρων μακαρίων ἀνδρῶν, ἐρειδόμενον ἐν τοῖς ἀψευδέσι λογίοις τῆς αὐτοαληθείας. τοῦτο ὁ Βαρλαὰμ οὐ δέχεται, μὴ καὶ τῷ λόγῳ, φησὶ, βοηθούμενον. ὡσανεὶ ἔλεγεν, ἄλογοι ἦσαν οἱ τοιοῦτον ἔθος φυλάττοντες. καὶ βούλεται ὁ Βαρλαὰμ γυμνὰ κεῖναι τὰ πράγματα. τὰ δ' εἰσὶ τεθεμελιωμένα ἐν ταῖς δεσποτικαῖς ἀποφάσεσιν.

Ὅτι γὰρ Πέτρος ὁρατὴ κεφαλὴ τῆς ἐκκλησίας μετὰ Χριστὸν τὸν ἀόρατον, καὶ πέτρα μετὰ τὴν πέτραν· καὶ μετὰ τὸν θεμέλιον, θεμέλιος ἀσάλευτος πλέον τοῦ οὐρανοῦ, ὁ γὰρ Κύριος φησὶν, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν (ὥστε τὸ, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω τὴν ἐκκλησίαν μου, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, καὶ, ἐδεήθην περὶ σοῦ ἵνα μὴ λείψῃ ἡ πίστις σου, καὶ, ποίμαινε τὰ πρόβατά μου, καὶ τὰ ἀρνία μου, οὐ μὴ παρέλθωσι.) καὶ προστάτης ἐστὶν ὁ ἀπόστολος, καὶ στρατηγὸς τῆς τοῦ Θεοῦ ἐκκλησίας, καὶ κορυφαῖος, καὶ προήγορος, καὶ ἐξάρχων τῶν ἀποστόλων, καὶ μόνος πάντων τῶν χριστιανῶν, καὶ ἐκκλησιῶν καθόλου ἀρχιερεὺς, εἰ καὶ τῆς Ῥώμης μερικὸς, τῶν ἄλλων ὄντων μόνον μερικῶν ἐπισκόπων, ἐκ τῶν ῥητῶν τῶν παλαιῶν ἱστορικῶν καὶ θείων πατέρων ἀριδηλότατα γνῶναι οὐκ ἀδύνατον. Αὐτίκα.

Εὐσέβιος ὁ Παμφίλου ἐν τῷ χρονικῷ τοῦ ἔτους μδ. ἀπὸ τῆς Χριστοῦ γεννήσεως. Ὁ Πέτρος φησὶν. ὁ ἀπόστολος τὸ γένος Γαλιλαῖος, τῶν χριστιανῶν ἀρχιερεὺς πρῶτος. σημείωσαι, οὐ γάρ φησι περὶ τοῦ Πέτρου Ῥωμαίων ἐπίσκοπος πρῶτος, καθάπερ φησὶ περὶ τοῦ Ἰακώβου τῆς τῶν Ἱεροσολύμων ἐκκλησίας ἐπίσκοπος πρῶτος ὑπὸ τῶν ἀποστόλων χειροτονηθεὶς. καὶ περὶ τοῦ Εὐοδίου, πρῶτος Ἀντιοχείας ἐπίσκοπος χειροτονεῖται Εὐόδιος. καὶ περὶ τῶν λοιπῶν ὁμοίως. Ἀλλὰ χριστια-

νῶν

præcipua priuilegia, & præeminētias Romani Pontificis è sacris concilijs, & prorsus confutauit Nilum Thessalonicensem, atque veluti puerum fictum ostendit.

Iste erat mos quondā beatorū priscorum Patrum, qui innititur veracissimis eloquijs ipsiusmet veritatis. Hunc morem Barlaam nō recipit, nisi, inquit, ratione nitatur; Quasi diceret, ratione carebant, qui talem consuetudinem seruabant. Sed vult Barlaam nudas res esse iudicandas, hæ verò Dominicis sententijs fundantur.

Quod enim Petrus sit visibile caput Ecclesiæ post Christum inuisibilē, & petra post petram, & post fundamētum, fundamentum immobile, magis quam cœlū, Dominus ait: cœlum, & terra transibunt, verba autem mea non præteribunt. Itaque illud, super hanc petram ædificabo Ecclesiam meam, &, portæ Inferi non præualebūt aduersus eā; & illud, Rogaui pro te, vt non deficiat fides tua; & illud, Pasce oues meas, pasce agnos meos, non transibūt. Et antesignanus est Apostolus Petrus & veluti exercitus Dux Ecclesiæ Dei, & supremus, & primus loquitur, & princeps Apostolorū, & solus omniū Christianorum, & Ecclesiarū vniuersè Pontifex, quamuis & singillatim Romanus; cum cæteri sint solū peculiares Episcopi, ex dictis antiquorū Historicorum, & Sā̄ctis Patribus clarissimè dignoscitur. Et in promptu probatio.

Eusebius Pamphili in Chronico anni 44. à Christi natiuitate: Petrus, inquit, Apostolus, natione Galilæus, & Christianorū Pōtifex primus. Nota, non dixit de Petro, Romanorū Pontifex primus, quemadmodū de Iacobo dicit, Hierosolymorū Ecclesiæ Episcopus primus ab Apostolis ordinatus. Et de Euodio dicitur, primus Antiochiæ Episcopus ordinatur Euodius; & de reliquis similiter: Sed Christianorū *Pō*tifex primus; ab eius potestate neminē Christianorū excipiens, cum alij Pōtifices,

νῶν ἀρχιερεὺς πρῶτος. οὐδένα χριστιανὸν ἐξαιρῶν τῆς αὐτοῦ ἐξουσίας, τῶν ἄλλων ἀρχιερέων μερικοὺς χριστιανοὺς ἐχόντων ὑπεξουσίους. Καὶ ἐν τῷ δευτέρῳ βιβ. τῆς ἐκκλησιαστικῆς ἱστορίας κεφαλαίῳ ιδ. ὀνομάζει τὸν Πέτρον καρτερὸν, καὶ μέγαν, τῶν ἀποστόλων καὶ τῶν λοιπῶν ἁπάντων προήγορον (τουτέστι πρῶτον ἀγορεύοντα, καὶ διὰ τοῦτο κορυφαῖον) καὶ οἷά τινα γενναῖον τοῦ χριστοῦ στρατηγόν.

Κύριλλος ὁ Ἱεροσολύμων ἐν τῇ β. κατηχήσει Πέτρος ὁ κορυφαιότατος, καὶ πρωτοστάτης τῶν ἀποστόλων, ὑπὸ παιδισκαρίου ἠρνήσατο τρὶς τὸν Κύριον, ἀλλὰ μεταμεληθεὶς, ἔκλαυσε πικρῶς. τὸ κλαῦσαι τὴν ἐγκάρδιον μετάνοιαν παρίστησι. καὶ διὰ τοῦτο οὐ μόνον ἔλαβε τὴν ἄφεσιν ἐπὶ τῇ ἀρνήσει, ἀλλὰ καὶ τὸ ἀποστολικὸν ἀξίωμα ἔσχεν ἀναφαίρετον.

Τοῦ ἁγίου Νίκωνος κανόνες εὑρίσκονται καὶ ὅροι, καὶ μερικὰ διηγήματα, προσήκοντα μοναχοῖς, ὅπου ὁ ἅγιος πραγματεύεται περὶ τῆς ἐξομολογήσεως.

Ὁ Πέτρος, φησὶ, μετὰ τὴν ἄρνησιν ἐκείνην τὴν χαλεπὴν, ἐπειδὴ ταχέως ἑαυτὸν ἀνέμνησε τῆς ἁμαρτίας, καὶ μηδενὸς κατηγοροῦντος ἐπέγνω τὴν ἁμαρτίαν, καὶ ἔκλαυσε πικρῶς, οὕτως ἀπενίψατο τὴν ἄρνησιν ἐκείνην, ὡς καὶ πρῶτος γενέσθαι τῶν ἀποστόλων καὶ τὴν οἰκουμένην ἐγχειρισθῆναι ἅπασαν.

Ὁ Ἅγιος Χρυσόστομος ἐν τῇ ξε. ὁμιλ. εἰς τὸ κατὰ Ἰωάννην ζητεῖ τί ἐστιν ἵνα συναγάγῃ τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν ἐξηγεῖται, ἵνα ποιήσῃ ἓν σῶμα, καὶ ἐπάγει. ὁ ἐν Ῥώμῃ καθήμενος τοὺς Ἰνδοὺς μέλος εἶναι νομίζει ἑαυτοῦ τί ταύτης τῆς συναγωγῆς ἴσον; καὶ πάντων κεφαλὴ ὁ Χριστός.

Βασίλειος περὶ κρίματος Θεοῦ, πρὸς τὸ τρίτον μέρος τοῦ τέλους, περὶ τοῦ Πέτρου φησὶν. Ὁ μακάριος Πέτρος ὁ πάντων μὲν τῶν μαθητῶν προκριθεὶς, μόνος δὲ πλεῖον τῶν ἄλλων μαρτυρηθεὶς, καὶ μακαρισθεὶς, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν πιστευθεὶς. Καὶ ἐν τῷ β. βιβ. κατ' Εὐνομίου. Πέτρον τὸν διὰ πίστεως ὑπεροχὴν ἐφ' ἑαυτὸν τὴν οἰκοδομὴν τῆς ἐκκλησίας δεξάμενον.

Ὁ Θεο-

Christianos particulares subditos habeant. Et in 2. libro Ecclesiasticę historię cap. 14. vocat Petrū potentē,hoc est,imperiū,Ecclesiæ obtinētem,& magnū Apostolorum & qui inter reliquos omnes primus loquitur,& ob id est supremus,& veluti quidā strenuus dux militiæ Christi.

Cyrillus Episcopus Hierosolymorum in 2.catechesi. Petrus,inquit princeps excellētissimus, & antesignanus Apostolorum coram Ancilla ter negauit Dominum, sed ad se rediēs, fleuit amarè. Fletus enim,veram & ex corde pœnitentiam designat. Atque ideo non solum negationis illius accepit condonationem, verùm etiam dignitatem Apostolicam non ablatam retinuit.

Sancti Niconis extāt Canones & definitiones,& particulares narrationes,quæ spectāt ad monachos in quodam loco agens Sanctus de confessione.

Petrus,inquit,post illā difficilem abnegationē, vbi statim peccatū in memoriā reuocauit, nemine arguente,& peccatū agnouit,& fleuit amarè,adeo abnegationē illam abstersit, vt etiam fieret primus Apostolorum, & illius curæ totus Orbis fuerit commissus & commendatus.

Sanctus Ioannes Chrysostomus hom. 65. super Ioannem quærit quid sit vt congregaret eos, qui sunt propè, & eos qui sunt longè? Interpretatur vt faciat vnum corpus: & statim infert, qui Romæ sedet Indos sua membra esse opinatur; quid hac coniunctione æqualius reperiri potest? & omnium caput est Christus.

Basilius de iudicio Dei circa tertiā partem versus finē de Petro ait: Petrus ille beatus qui & cæteris antelatus discipulis fuit,cuiq; magnificētius,quā reliquis omnibus datū testimoniū est, magisq;quam reliqui omnes,beatus appellatus,cui claues regni cœlestis cōmissæ, is,&c. Et in 2.l. aduersus Eunomiū.Petrū,inquit,qui propter eminentiam fidei, Ecclesiæ ædificationē in seipsum recepit.

Ο Θεολόγος ἐν τῷ λόγῳ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας, περὶ τῆς τάξεως τῶν ἀποστόλων φησίν. ὁρᾷς τῶν Χριστοῦ μαθητῶν πάντων ὄντων ὑψηλῶν, καὶ τῆς ἐκλογῆς ἀξίων, ὁ μὲν πέτρα καλεῖται καὶ τοὺς θεμελίους τῆς ἐκκλησίας πιστεύεται, ὁ δὲ ἀγαπᾶται πλέον, καὶ ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ ἀναπαύεται, καὶ φέρουσιν οἱ λοιποὶ τὴν προτίμησιν.

Ὁ ἅγιος Ἐπιφάνιος ἐν τῇ να. αἱρέσει, ἐξηγέζατο τὸν Πέτρον ἀρχηγὸν εἶναι τῶν αὐτοῦ μαθητῶν, ὡς πάντη σαφῶς ἀποδέδεικται. Καὶ ἐν τῇ νθ. αἱρέσει. καὶ ὁ ἀρνησάμενος πρὸς ὥραν ἅγιος Πέτρος, καὶ κορυφαιότατος τῶν ἀποστόλων ὃς γέγονεν ἡμῖν ἀληθῶς στερεὰ πέτρα θεμελιοῦσα τὴν πίστιν τοῦ Κυρίου ἐφ᾽ ᾗ ᾠκοδόμηται ἡ ἐκκλησία κατὰ πάντα τρόπον.

Καὶ ἐν τῷ ἀγκυρωτῷ. ναὸς Θεοῦ κληθήσονται καὶ οἱ ἅγιοι ἄνθρωποι κατοικήσαντες ἑαυτοῖς τὸ ἅγιον τοῦ Θεοῦ πνεῦμα, καθὼς μαρτυρεῖ ὁ κορυφαιότατος τῶν ἀποστόλων, ὁ καταξιωθεὶς μακαρισθῆναι ὑπὸ τοῦ Κυρίου ὅτι ὁ πατὴρ αὐτῷ ἀπεκάλυψε. τοίνυν ὁ πατὴρ ἀποκαλύπτει τὸν υἱὸν τὸν ἀληθινὸν αὐτῷ καὶ μακαρίζεται, καὶ ὁ αὐτὸς πάλιν ἀποκαλύπτει, τὸ ἅγιον αὐτοῦ πνεῦμα. ἔδει τὸν πρῶτον τῶν ἀποστόλων τὴν Πέτραν τὴν στερεὰν, ἐφ᾽ ἣν ἡ ἐκκλησία τοῦ Θεοῦ ᾠκοδόμηται, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, πύλαι δὲ αἱ αἱρέσεις καὶ οἱ αἱρεσιάρχαι. κατὰ πάντα γὰρ τρόπον ἐν αὐτῷ ἐστερεώθη ἡ πίστις ἐν τῷ λαβόντι τὴν κλεῖν τῶν οὐρανῶν, ἐν τῷ λύοντι ἐπὶ τῆς γῆς, καὶ λύοντι ἐν τῷ οὐρανῷ, καὶ δέοντι ἐπὶ τῆς γῆς, καὶ δέοντι ἐν τῷ οὐρανῷ. ἐν τούτῳ γὰρ ἐστι πάντα τὰ ζητούμενα λεπτολογήματα τῆς πίστεως εὑρισκόμενα. καὶ κατωτέρω. Ὁ ἀκούων παρὰ τοῦ αὐτοῦ, Πέτρε πίμαινε τὰ ἀρνία μου, ὁ πεπιστευμένος τὴν ποίμνην, ὁ καλῶς ὁδηγῶν ἐν τῇ δυνάμει τοῦ ἰδίου δεσπότου. καὶ τὰ λοιπά.

Ο Θεοδώρητος ἐν τῇ ἐπιστολῇ πρὸς Λέοντα ἐπίσκοπον Ῥώμης, ἥ τις ἐστὶ ριγ. Ἐγὼ δὲ, φησὶ, τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου περιμένω τὴν ψῆφον, καὶ ἱκετεύω καὶ ἀντιβολῶ τὴν σὴν ἁγιότητα. τὸ ὀρθὸν ὑμῶν καὶ δίκαιον ἐπικαλουμένῳ

κρι-

Cregorius Theologus in oratione de moderatione in disputationibus seruanda, de ordine Apostolorum ait: Vides quemadmodū ex Christi discipulis, magnis vtiq; omnibus, & excelsis, atq; electione dignis; hic petra vocetur atq; Ecclesiæ fundamēta in fidē suam accipiat, ille impensius ametur, & supra pectus Iesu requiescat ac reliqui discipuli eos sibi præferri æquo animo ferant.

Sāctus Epiphanius in 51. hæresi, Petrum, inquit, discipulorum principem elegit, vt perspicuè declaratum est. Et in 59. hæresi: Petrus Apostolrum princeps qui Dominū aliquādo negauit. Qui quidē solidę petræ instar nobis extitit, cui veluti fundamēto Domini fides innititur; supra quam Ecclesia modis omnibus extructa est.

Et in Ancorato, templum Dei vocabūtnr etiam Sācti homines, qui Sanctum Dei Spiritum in se ipsis habitare ferūt. Quemadmodum testatur princeps Apostolorum, qui dignus factus est, beatus prędicari à Domino, quod Pater ipsi reuelasset. Si itaq; Pater reuelat ipsi filium verum & beatus prædicatur, idē etiam rursus reuelat Sanctum eius Spiritum. Iste autē Dominus instituit eū primum Apostolorū, petram firmā, super quā Ecclesia Dei ędificata est, & portæ inferorū non pręualebūt aduersus illam. Portę autē inferorum sunt hęreses & hęresiarchæ. Iuxta enim omnem modum in ipso firmata est fides, qui accepit clauem cœlorum, & soluit in terra, & soluit in cœlo. & ligat in terra, & ligat in cœlo. In hoc enim omnes quæstiones, & subtilitates fidei inueniuntur. Et paulo infra, hic est qui audiuit ex ipso, Petre pasce agnos meos, cui creditum est ouile, qui benè deducit per virtutem Domini sui.

Theodoretus in epistola ad Leonē magnum Romanū Pontificem, quę est 113. Ego autem, inquit, Apostolicę vestrę Sedis expecto sentētiam. Et supplico & obsecro

κριτήριον ἐπαμῦναι καὶ κελεῦσαι δραμεῖν πρὸς ὑμᾶς. καὶ ἐπιδεῖξαι μου τὴν διδασκαλίαν τοῖς ἀποστολικοῖς ἴχνεσιν ἑπομένην. ἔστι γάρ μοι τὰ μὲν πρὸ εἴκοσι ἐτῶν συγγεγραμμένα, τὰ δὲ πρὸ ὀκτωκαίδεκα, τὰ δὲ πρὸ πεντεκαίδεκα, τὰ δὲ πρὸ δυοκαίδεκα. τὰ μὲν πρὸς Ἀρειανοὺς καὶ Εὐνομιανούς, τὰ δὲ πρὸς Ἰουδαίους καὶ ἕλληνας. τὰ δὲ πρὸς τοὺς ἐν Περσίδι μάγους, ἄλλα περὶ τῆς καθόλου προνοίας, ἕτερα δὲ περὶ Θεολογίας, καὶ τῆς θείας ἐνανθρωπήσεως ἑρμήνευταί μοι διὰ τὴν θείαν χάριν. καὶ τὰ ἀποστολικὰ συγγράμματα, καὶ τὰ προφητικὰ θεσπίσματα, καὶ ῥᾴδιον ἐκ τούτων καταμαθεῖν, εἴτε ἀκλινῆ τὸν κανόνα τῆς πίστεως διετήρησα, εἴτε τὴν τούτου παρέβην εὐθύτητα, Καὶ ἐν τῇ ἐπιστολῇ πρὸς Ρενάτον τῆς ἀποστολικῆς ἐκκλησίας πρεσβύτερον Καρδινάλιν, ἥτις ἐστὶ ριϛ. διὰ τοι τοῦτο, φησί, τὴν ὑμετέραν ἁγιωσύνην παρακαλῶ πεῖσαι τὸν ἁγιώτατον καὶ ὁσιώτατον Ἀρχιεπίσκοπον τῇ ἀποστολικῇ χρήσασθαι ἐξουσίᾳ, καὶ εἰς τὸ ὑμέτερον ἀναδραμεῖν κελεῦσαι συνέδριον, ἔχει γὰρ ὁ πανάγιος θρόνος ἐκεῖνος τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν τὴν ἡγεμονίαν διὰ πολλά, καὶ πρὸ τῶν ἄλλων ἁπάντων, ὅτι αἱρετικῆς μεμένηκε δυσωδίας ἀμύητος καὶ οὐδεὶς τἀναντία φρονῶν εἰς ἐκεῖνον ἐκάθισεν, ἀλλὰ τὴν ἀποστολικὴν χάριν ἀκήρατον διεφύλαξε. τὰ γὰρ παρ᾽ ὑμῶν κριθησόμενα στέρξομεν ὁποῖα ἂν ᾖ, τῇ ὑμετέρᾳ δικαιοκρισίᾳ θαῤῥοῦντες, καὶ ἀξιοῦμεν ἀπὸ τῶν ἐγγράφων κριθῆναι.

Ἐκ τῶν ῥημάτων τοῦ Θεοδωρήτου τέσσαρά τινα σημειωτέον. Πρῶτον μὲν ὅτι ὁ ἀποστολικὸς θρόνος πρωτεύων τῶν ἄλλων τὴν ἡγεμονίαν ἔχει πασῶν τῶν ἐκκλησιῶν τῆς οἰκουμένης. Δεύτερον δὲ ὅτι ὁ Θεοδώρητος οὐ μάτην ἐπεκαλέσατο τὸν ἀποστολικὸν θρόνον, τοῦ γὰρ Λέοντος ἀθῶον αὐτὸν ἀποφήναντος, ἡ ἐν χαλκηδόνι σύνοδος τοῦτον ἀπεδέξατο, ὡς δῆλον ἐστὶν ἐκ τῆς πρώτης πράξεως. εἰσίτω, φασί, καὶ ὁ εὐλαβέστατος Θεοδώρητος κοινωνήσων τῇ συνόδῳ, ἐπειδὴ καὶ ἀπεκατέστησεν αὐτῷ τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος Ἀρχιεπίσκο-

σκο-

vestram Sanctitatē, vt mihi appellāti iustū vestrum & rectum iudicium opem ferat, iubeat ad vos accurrere & ostendere meā doctrinā vestigia Apostolica sequentem. A me enim scripta sūt alia quidē ante viginti annos; alia verò ante decem & octo; alia ante quindecim; alia ante duodecim, partim quidē aduersus Arianos & Eunomianos; partim verò aduersus Iudæos & Gētes; partim verò aduersus Magos, qui sunt in Perside; alia rursum de vniuersa ac generali prouidētia; alia rursum à me per diuinam gratiā sunt explicata de Theologia & diuina humanæ naturæ susceptione; & scripta Apostolica & propheticæ prędictiones: & ex eis facile sciri potest, an seruauerim rectam atq; expletam fidei regulam, an rectitudinem eius transilierim. Et in epistola ad Renatū Ecclesiæ Romanæ Presbyterū Cardinalem, quæ est 116. Hac igitur, inquit, de causa tuam oro Sanctitatē, vt persuadeas Sanctissimo ac beatissimo Archiepiscopo, vt Apostolica vtatur auctoritate, & præcipiat ad vestrū conuolare Concilium. Habet enim sanctissima illa sedes omniū per Orbem Ecclesiarū principatū multis quidem de causis precipuè verò, quod hęretica labe immunis permāsit, & nullus qui cōtraria sentit veritati in illa vnquā sedit, sed Apostolicam gratiā integram & immaculatā seruauit. Quæ enim à vobis decernūtur cōtenti his erimus & illis acquiescemus, quęcūq; illa fuerint, vestro iusto iudicio cōfisi; & rogamus vt ex ijs, quæ scripta sunt iudicium proferatur.

: Ex verbis Theodoreti quatuor quædam notāda sunt. Primum quidē quod Apostolicus Thronus alijs eminēs curam gerit omnium Ecclesiarū Orbis. Secūdum verò, quod Theodoretus non frustra appellauit Apostolicum Thronū, cum enim Leo innocētem ipsum declarauerit, Synodus quæ Chalcedone celebrata est, hūc recepit, vt cōstat ex prima actione vbi aiunt. Ingrediatur & Reueren-

σκοπος Λέων. καὶ πάλιν, φασὶ, Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος τὸν οἰκεῖον ἀπολαβὼν τόπον παρὰ τοῦ ἁγιωτάτου Ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Ῥώμης, εἰσῆλθε νῦν κατηγόρου τάξιν ἐπέχων, ὅθεν ἀνάσχεσθε ὑπὲρ τοῦ μὴ σύγχυσιν γενέσθαι τῇ ἀκροάσει, τὰ ἀρχὴν λαβόντα περαιωθῆναι. καίτοι ἐν τῇ δευτέρᾳ λῃστρικῇ συνόδῳ τῇ ἐν Ἐφέσῳ ἦν καθῃρημένος. Τρίτον ἀποδίδωσι τὴν αἰτίαν διὰ τί ὁ ἀποστολικὸς θρόνος κέκτηται ταυτὶ τὰ προνόμια, ἔχει γὰρ φησὶν, ὁ πανάγιος θρόνος ἐκεῖνος τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν τὴν ἡγεμονίαν διὰ πολλὰ, καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅτι αἱρετικῆς μεμένηκε δυσωδίας ἀμύητος, καὶ οὐδεὶς τἀναντία φρονῶν εἰς ἐκεῖνον ἐκάθισεν, ἀλλὰ τὴν ἀποστολικὴν χάριν ἀκήρατον διεφύλαξεν. ὥστε τὸν Πάπαν οὐδέποτε σφαλῆναι συνέβη, οὔτε συμβήσεται. τοῦτο δὲ ἐξήρτηται ἐκ τῶν ἀψευδῶν λογίων τοῦ δεσπότου λέγοντος, ἐδεήθην περὶ σοῦ ἵνα μὴ λείψῃ ἡ πίστις σου. ὥστε φλυαροῦσιν οἱ τἀναντία λέγοντες, καὶ ἀδίκως οἱ ἀνατολικοὶ μόνοι κατέκριναν τὸν ὀρθόδοξον Ὠνόριον. Τέταρτον ὁ Θεοδώρητος ἀνατίθησι τῷ ἀποστολικῷ θρόνῳ τὰ αὐτοῦ συγγράμματα, καὶ περὶ τούτων φέρειν ψῆφον εἴτε τῇ ἀποστολικῇ διδασκαλίᾳ συμφωνοῦσι καὶ ὀρθῶς, εἴτε καὶ ἄλλως ἔχουσι. μᾶλλον μὲν οὖν ἀναπτύξας τὴν ὀρθόδοξον πίστιν καυχᾶται, σύμφωνος εἶναι τοῖς ἀποστολικοῖς δόγμασιν, οὑτωσὶ γράφων πρὸς Ῥενάτον. Ταῦτα καὶ τὰ τούτοις παραπλήσια διατελῶ διδάσκων. ταῦτα καὶ ἐν τοῖς γράμμασι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου Ἀρχιεπισκόπου τοῦ δεσπότου μου Λέοντος εὗρον ἐγκείμενα, καὶ τὸν τῶν ὅλων ὕμνησα δεσπότην, ὅτι τοῖς ἀποστολικοῖς αὐτοῦ δόγμασι συμφωνῶ. Ἔστι δὲ ὁ Θεοδώρητος τῷ ὄντι σοφώτατος ἀνὴρ καὶ τοιοῦτος εἶναι μαρτυρεῖται καὶ ὑπ' αὐτοῦ τοῦ Βαρλαάμ.

Ὁ δὲ Γρηγόριος, ὁ καὶ Θεοφάνης Κεραμεὺς, ἀρχιεπίσκοπος Ταυρομενείας τῆς Σικελίας ἐν τῇ κε. ὁμιλίᾳ εἰς τὸ, ἐξελθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, περὶ τοῦ Πέτρου οὕτω διεξέρχεται, λέγων. Τὴν περὶ αὐτοῦ τείνων τῶν πολ-

rendissimus Episcopus Theodoretus vt sit, particeps Synodi, quia & restituit ei Episcopatum sanctissimus Archiepiscopus Leo; & rursus: Theodoretus Reuerendissimus Episcopus proprium recipiens locum à Sãctissimo Episcopo inclytæ Vrbis Romæ, in locum nunc accusatoris ingressus est. Vnde patiamini ea quæ inchoata sunt finiri, vt sine aliqua confusione auditorium fiat. Atqui in secundo conciliabulo, quod habitum est Ephesi erat depositus. Tertium reddit causam, cur Apostolicus Thronus possidet hęc priuilegia; habet enim, inquit, Sanctissimus ille Thronus omniũ per Orbem Ecclesiarũ principatũ multis quidẽ de causis præcipuè verò quod hæretica labe immunis permansit; & nullus qui cõtraria sentit veritati in illo vnquã sedit, sed Apostolicam gratiam integram & immaculatam seruauit. Itaq; nunquam contigit errare Pontificem neq; in posterum continget. Istud verò pendet ex infallibilibus Eloquijs Saluatoris dicentis, rogaui pro te, vt non deficiat fides tua. Itaque nugãtur qui cõtraria asserunt, & immerito Orientales soli condemnarunt Orthodoxũ Honoriũ. Quartum Theodoretus Apostolico Throno imponit iudicare sua scripta, & de his ferre sententiam, si Apostolicæ doctrinæ conueniant, & rectè, an secus habeant. Immò verò explicata orthodoxa fide gloriatur omnino non dissentire ab Apostolicis dogmatibus, ita scribens ad Renatum: Hæc & his similia frequenter doceo: hęc etiam in litteris sanctissimi & beatissimi Achiepiscopi Domini mei Leonis scripta inueni, & omnium Dominum laudaui; quod Apostolicis eius dogmatibus consona sentio. Est autem Theodoretus reuera doctissimus vir & talem esse testatur etiam ipse Barlaam.

Gregorius, qui & Theophanes Cerameus, Archiepiscopus Tauromeniæ in Sicilia in 25. Codicis Vaticani

λῶν δόξαν ἀκηκοὼς, οἷον ἀποδοκιμάζων, οὐδεμιᾶς τούτων ἐπαφωμένης τῆς ἀληθείας, ἀνεξίκακος αὖθις ἐπερωτᾷ. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; εἶεν, φησὶν, ἡ μὲν ὑπόληψις τῶν πολλῶν οὕτω πολυσχιδής ἐστι καὶ ἀβέβαιος. ὑμεῖς δὲ οἱ περὶ ἐμοῦ πεῖραν εἰληφότες οὕτω μακρὰν, τίνα κατάληψιν ἐκ τῶν πραγμάτων ἐλάβετε; οἱ μὲν οὖν ἄλλοι μαθηταὶ πρὸς τὴν ἀπόκρισιν ἰλιγγίασαν. οἱ μὲν τὸν λογισμὸν ἴσως ταλαντευόμενοι, οἱ δὲ ὀφθῆναι προπετεῖς εὐλαβούμενοι. Πέτρος δὲ ἡ ἀκρότης τῶν μαθητῶν κοινὴ τῶν συμφοιτητῶν γίνεται γλῶσσα, καὶ τῷ λογισμῷ τῶν αἰσθητῶν πάντων ὑπεραρθεὶς, διέπτη τὸν ἀέρα, παρῆλθε τὸν αἰθέρα, κάτω λέλοιπε τοὺς ἀστέρας ὑπεράνω γέγονε τῆς ἀνάστρου σφαίρας, καὶ μετὰ τῶν ἀΰλων γενόμενος καὶ τοὺς πυρίνους τῶν σεραφὶμ ὑπερβὰς ποταμοὺς, καὶ μυηθεὶς παρὰ τοῦ πατρὸς τοῦ μονογενοῦς τὴν εὐγένειαν, τὴν θεολογικὴν ἐκείνην ἀφῆκε φωνὴν, σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὄντως οὐ σαρκὸς καὶ αἵματος, ἀλλ' οὐρανίου πατρὸς ἀποκάλυψις. σκόπει γὰρ ὅσος ἐν ἑνὶ ῥήματι κέκρυπται θεολογίας βυθός. ὁ μὲν γὰρ σωτὴρ ἐπύθετο, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου, διὰ τῆς προσθήκης τοῦ υἱοῦ τοῦ ἀνθρώπου, τὴν ἀνθρωπίνην φύσιν δηλῶν. ὁ δὲ Πέτρος τὸν αὐτὸν εἰδὼς καὶ υἱὸν ἀνθρώπου, καὶ υἱὸν τοῦ Θεοῦ, μίαν ὑπόστασιν ἐκ δυοῖν συντεθεῖσαν ἀφύρτως φύσεων, πρὸς τὴν τῆς Θεότητος φύσιν ἀνέθορε. σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὅσον τὸ ῥῆμα τοῦτο καταισχύνει τὸν ἀνθρωπολάτρην Νεστόριον, τὴν μιαρὰν γλῶτταν, τὸ βλάσφημον, καὶ φαυλίστειαν, τὴν ὀξεῖαν κατὰ τῆς εὐσεβείας μάχαιραν, τὴν τὸν ἕνα Χριστὸν εἰς δύο υἱοὺς τεμαχήσασαν. ὅπως δὲ καὶ τοὺς ὀδόντας συνθλάττει τῆς τῶν Ἀρειανῶν αἱρέσεως, ὡς πολυκέφαλον ὕδραν συγκόπτων τὴν ἀκέφαλον αἵρεσιν. τὰ γὰρ τῶν ἀκεφάλων καὶ τὰ Νεστορείου δόγματε ἐναντίω μὲν ἤστην, ἐναντιούσθων δὲ καὶ ἀλλήλοιν, καὶ ὑπάρχετον, θεολογικῶς εἰπεῖν, ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν ἀσέβειαν.

Νεστό-

& 45. Codicis Siculi homil., in illud, egressus Iesus in partes Cesareæ Philippi, de Petro sic disserit: Cum, inquit, de se aliorũ opinionẽ audiuisset, & veluti reprobasset, cum nulla eorũ veritatẽ attingeret, clementer rursus interrogat, Vos verò quem me esse dicitis? Age dum, inquit, concepta aliorũ multorũ opinio, cum in multas partes scindatur, & incerta sit; Vos verò de me qui experiẽtiam non paruam habuistis, quam depræhensionẽ ex rebus accepistis? Cæteri igitur discipuli ad responsionem exæstuarunt, partim quidẽ ipsorum mentẽ fortè in vtroque ancipitem habentes, partim, verò præcipites se esse timẽtes. Petrus verò Summitas discipulorũ, communis aliorũ fit lingua, & mente omnia sensibilia prętergressus, transcedit aera, pręterijt æthera, inferius reliquit stellas superior factus est Sphærę quę stellis caret, & vnà cum immaterialibus, & igneos fluuios Seraphim superans, & initiatus à Patre, vnigeniti nobilitatẽ theologicam illam vocem emisit, tu es Christus filius Dei viui. Non carnis profectò, & sanguinis, sed cœlestis patris reuelatio. Cõsidera verò quãta in vno verbo lateat theologię profunditas: Quippè Saluator interrogauit, quem me dicunt esse homines filium hominis? additione filij hominis, naturam humanam significat; Petrus autem, eundem esse sciens, & filium hominis, & filium Dei, vnam hypostasim ex duabus compositam incommixtam naturis, ad Deitatis naturam prosiliuit, tu es Christus filius Dei viui. Hoc verbum quanto dedecore afficit Nestorium, qui hominem latria prosequitur, impurissimam linguam, blasphemã & contemptricẽ, acutum aduersus pietatẽ gladium, vnũ Christum in duos filios diuidentẽ. Quam verò dentes conterat Arianorũ hæreseos: tanquam multicipitem Hydrã hæresim carentẽ capite concidens. Etenim Acephalorũ & Nestorij dogmata contraria cum sint, contra-

Νεστόριος μὲν γὰρ εἰς δύο διαιρεῖ τὸν ἕνα Χριστὸν, εἴς τε τὸν υἱὸν τοῦ Θεοῦ, καὶ τὸν τῆς Μαρίας· Ἀρμένιοι δὲ τὰς δύο τοῦ Χριστοῦ φύσεις εἰς μίαν συγχέουσιν. ἀμφότερα γοῦν ἡ τοῦ Πέτρου θεολογία διήλεγξε, τὸν αὐτὸν καὶ υἱὸν Θεοῦ καὶ υἱὸν ἀνθρώπου τρανῶς δογματίσασα. σκόπει δὲ καὶ τὴν τῆς θεολογίας ἀκρίβειαν. ἐπειδὴ γὰρ πολλοὶ χριστοὶ, καὶ πολλοὶ υἱοὶ, καὶ πολλοὶ Θεοὶ, εἷς δὲ ὁ φύσει καὶ ἀληθὴς, διὰ τοῦτο οὐκ εἶπε, σὺ εἶ χριστὸς, ἀλλ' ὁ χριστὸς, οὐδὲ υἱὸς, ἀλλ' ὁ υἱὸς, οὐδὲ Θεοῦ, ἀλλὰ τοῦ Θεοῦ τοῦ ζῶντος. ταῦτα γὰρ μετὰ τοῦ ἄρθρου εἰπὼν, γεγονώτερον τῆς μακαρίας καὶ μονοειδοῦς φύσεως ἐδήλωσε τὸ ἐξαίρετον. Τί γὰρ πρὸς αὐτὸν ὁ σωτὴρ; μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, τίνος ἕνεκεν μακαρίζων αὐτὸν καὶ τοῦ πατρὸς ἐμνημόνευσεν; υἱὸν αὐτὸν εἰπὼν Ἰωνᾶ; μονονουχὶ τοῦτο φησὶν, ὥσπερ αὐτὸς υἱὸς εἶ φύσει τοῦ σοῦ πατρὸς Ἰωνᾶ, οὕτω κἀγὼ φύσει, καὶ κατ' οὐσίαν υἱός εἰμι τοῦ Θεοῦ καὶ πατρὸς, μᾶλλον δὲ ἐπεὶ τὴν ἀποκάλυψιν οὐκ ἀπὸ σαρκὸς εἶπε γεγενῆσθαι καὶ αἵματος, ἀλλ' ἐκ τοῦ πατρὸς αὐτοῦ, τοῦ ἐν οὐρανοῖς. αὕτη δὲ ἡ ἀποκάλυψις δι' ἁγίου πνεύματος γέγονε. διὰ τοῦτο υἱὸν αὐτὸν ὀνομάζει τοῦ πνεύματος. Ἰωνᾶς γὰρ περιστερὰ ἑρμηνεύεται. συνήθες δὲ τῇ θείᾳ γραφῇ τούτῳ τῷ ὀνόματι τῆς περιστερᾶς καλεῖν τὴν τοῦ πνεύματος δύναμιν, ἧς τὰς πτέρυγας γενέσθαι αὐτῷ καὶ Δαβὶδ ὁ προφήτης ἐπεθύμησε. Καὶ κατωτέρω κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. σὺ, φησὶ, Πέτρος ὢν, πέτρα γενήσῃ τῆς κατὰ λόγον πίστεως, καὶ τῆς ἐδρασομένης ἐκκλησίας θεμέλιος, καὶ πρώτη τῆς τοῦ πνεύματος οἰκοδομῆς ἀφορμή. ἐπὶ τῇ ὁμολογίᾳ γὰρ ταύτῃ, ἣ ὡμολόγησας τὸν αὐτὸν εἶναι με υἱὸν Θεοῦ, καὶ υἱὸν ἀνθρώπου, ἐπὶ ταύτῃ τῆς ἐκκλησίας ὁ θεμέλιος στήσεται. Τοιαύτης γὰρ κρηπῖδος τεθείσης; καὶ τὰ λοιπὰ δόγματα ἀσφαλῶς οἰκοδομηθήσεται. Καὶ κατωτέρω. Ἀλλ' οἱ τῆς ἑλληνικῆς ἀπάτης τὴν τρύγα ῥεροφηκότες, καὶ κατὰ τῆς ὑγιοῦς ἡμῶν πίστεως πολλὰς

δυσ-

riantur etiã inuicem, & existunt, vt theologicè asseram, è diametro mala, & ęqualiter impia. Quippè Nestorius vnũ Christum in duos diuidit, in filiũ Dei,& filium Mariç. Armenij verò duas Christi naturas in vnam confundũt. vtraq, igitur Petri theologia redarguit,eundẽ,& filium Dei,& filiũ hominis clarè dogmatizans. Considera verò & theologię exactã discussionẽ; Quoniã enim multi Christi, & multi filij,& multi Dij, vnus autẽ est naturalis, & verus,propterea non dixit, Tu es Christus, sed tu es ille Christus, neq; filius, sed ille filius: neq; Dei, sed illius Dei viui;omnia enim cum dixisset,græcè cum articulo, clarius beatæ & vniformis naturæ significauit excellentiã. Quid igitur ad eũ Saluator? Beatus es Simon Bar Iona. Qua de causa beatũ illum prædicans etiã Patris cómemorationem fecit,filium appellans Ionæ? Propemodũ hoc dicit,quemadmodũ ipse es filius natura tui Patris Ionæ,sic etiam ego natura & secundum essentiam sum filius Dei Patris. Immò verò quoniam reuelationẽ non à carne dixit, & sanguine esse factã, sed à Patre suo cœlesti, hæc verò reuelatio per Spiritum Sanctum facta est, propterea ipsum filiũ appellat Spiritus. Ionas enim, columba exponitur: cósuetudo verò est,diuinæ Scripturæ, hoc nomine columbæ, Spiritus virtutem appellare, cuius alæ, vt etiam ipsi prophetæ Dauid fierent, exoptauit. Et paulo infrà. Et ego dico tibi,tu es Petrus,& super hãc petram ædificabo Ecclesiam meam. Tu,inquit,cum sis Petrus, petra fies secundum rationẽ fidei, & fundãdæ Ecclesiæ fundamentũ, & prima Spiritualis ędificij causa. Super hanc enim confessionẽ, qua confessus es eundem esse me & filiũ Dei & filium hominis, super hanc, inquã, Ecclesiæ fundamentum stabit. Tali enim base cóstituta & reliqua dogmata tutò ædificabuntur. Et paulo infra. Sed qui gentilium deceptionis fecẽ absorbuerunt & có-

tra

δυσφημίας, ὥς τινα βόρβορον ἐρευξάμενοι, πρὸς τοῖς ἄλλοις ληρήμασι καὶ τοῦτο εἰπεῖν ἐθρασύνθησαν, πῶς ὁ Πέτρος ἀξιωθεὶς τοιούτου μακαρισμοῦ, καὶ μαρτυρηθεὶς ὑπὸ Ἰησοῦ, ἐκ τοῦ πατρὸς δέξασθαι τὴν ἀποκάλυψιν, καὶ τὰς κλεῖς εἰληφὼς τῆς βασιλείας τῶν οὐρανῶν, κατὰ τὸν τοῦ πάθους καιρὸν ἠρνήσατο τὸν διδάσκαλον, φαύλης παιδίσκης τοῦτον μορμολυξάσης ὡς βρεφύλλιον. ταῦτα φάσκουσιν οἱ τῇ ἀληθείᾳ μαχόμενοι. Ἀλλ' ἡμεῖς ὡς βέλη νηπίων τὰς τοιαύτας πληγὰς ἀποκρουόμεθα. Φαμὲν γὰρ ὡς οἰκονομία ἦν ἡ ἐκ Θεοῦ παραχώρησις τῆς τοῦ Πέτρου ἀρνήσεως. ἐπειδὴ γὰρ ὑπὲρ τοὺς ἄλλους συμφοιτητὰς ἐκαυχήσατο συναποθανεῖν τῷ μυσταγωγῷ, οὐ πάνυ περισκεψάμενος τῆς σαρκὸς τὴν ἀσθένειαν, καίτοι τοῦ Κυρίου διαβεβαιοῦντος, ὡς πάντες σκανδαλισθήσεσθε, διὰ τοῦτο ἔδει καὶ αὐτὸν ἐλεγχθῆναι, ὡς ἄνθρωπος ἦν, δειλίᾳ σαρκικῇ ὑποκείμενος, καὶ τοῦ Κυρίου δειχθῆναι τὸν λόγον ἐπαληθεύοντα. καὶ τὴν ἄρνησιν προμηνύοντα. Καὶ μετ' ὀλίγα. Ἄλλως τε ἐπειδὴ αὐτὸς ἔμελλεν τὴν λογικῶν προβάτων τὴν προστασίαν εἰσδέξασθαι, καὶ τοῦ δεσμεῖν, καὶ λύειν τὴν ἐξουσίαν λαβεῖν, ἵνα μὴ βαρύς τις ᾖ καὶ ἀσύγγνωστος τοῖς ἁμαρτάνουσιν, ἀποτόμως καὶ ἀσυμπαθῶς ἐπάγων τὰ ἐπιτίμια, προμηθείᾳ κρείττονι, παραχωρεῖται πεσεῖν, ὡς ἂν ἐξ ἑαυτοῦ παιδευθῇ τοῖς πταίουσιν εἶναι μακρόθυμος, ἀνεξικάκως καὶ τοῖς ἄλλοις μεταδιδοὺς, ἧς αὐτὸς εἰλήφει χρηστότητός τε καὶ συγχωρήσεως. εἰ γὰρ μὴ ἦν οἰκονομία τοῦ Πέτρου ἡ ἄρνησις, οὐκ ἂν πρὸ τοσούτων γενεῶν ὁ θεσπέσιος Δαβὶδ τοῦτον προεμήνυσε, λέγων, ἐκ προσώπου Χριστοῦ, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. ὁ γὰρ νῦν ἐπαινέσας αὐτὸν, καὶ υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος ὁμολογηκὼς, ὄμνυε τότε μὴ εἰδέναι αὐτόν.

Ὁ Δαμασκηνὸς ἐν τῷ βίῳ τοῦ Βαρλαάμ. ἔφυγεν ὁ πολέμιος διάβολος αἰσχυνθεὶς τῇ μετανοίᾳ τοῦ Πέτρου. ὁ δὲ κορυφαῖος αὖθις ἦν, ὥσπερ διδάσκαλος τῆς οἰκουμένης χειροτονηθείς.

Ὁ Θεοφύλακτος ἐν τῷ κβ. κεφ. τοῦ κατὰ Λουκᾶν, εἰς ἐκεῖ-

tra sanam nostrã fidem multa conuicia, veluti quasdam sordes eructarunt, prӕter alias nugas, hoc etiam dicere ausi sunt: Quod Petrus dignus huiusce beatitudinis factus, & Christi testimonio, ex Patre accepisse reuelationem comprobatus, & claues regni cœlestis adeptus, tempore passionis, negauit Magistrum cum vilis puella hunc veluti puerulum deterruisset. Hæc obijciunt qui veritatem impugnant. Cæterum nos, vt sagittas paruulorum huiusmodi plagas aduersariorum existimantes, sic eas reijcimus. Dicimus enim, quod œconomia erat Dei, permissio negationis Petri. Quia enim plusquam alij Discipuli, gloriatus est, emori cum pręceptore, non valde considerans carnis imbecillitatẽ, cum tamen Dominus affirmaret, omnes scandalum passuros. Proptereà oportuit, & ipsũ redargui, quoniã homo erat, carnis imbecillitati subiectus, & Domini sermonem veracem esse ostendere, & negationem prædicentis. Et post pauca. Aliter, quoniam iste debebat recipere curam rationalium ouium, & ligandi, atque absoluendi potestatem, ne grauis quidam esset, & inexorabilis peccantibus, rigidè & seuerè inducens pœnitentię pœnas, diuina prouidentia permittitur cadere, vt à se ipso edoctus, lapsis esset patiens & clemens, & alijs pręberet eam benignitatem, & condonationẽ, quam ipse consequutus est. Si enim non esset œconomia Petri negatio, non ante tot generationes diuinus Dauid hoc pręd ixisset, dicens ex persona Christi, Et qui laudabant me, aduersus me iurabant. Etenim qui nunc ipsum laudauit, & filium Dei confessus est, tunc iurabat, se eum ne scire.

Damascenus in vita Barlaam; fugit hostis, Diabolus pudore affectus ob pœnitentiã Petri, is verò rursus erat princeps, tanquam magister totius Orbis erectus.

Theophylactus in 22. cap. Lucæ, in illud, tu verò conuer-

νο, σὺ δὲ ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. τὸ μὲν πρόχειρον νοῆσαι τοῦτ' ἐστὶν ὅτι ἐπειδή σε τῶν μαθητῶν ἔξαρχον ἔχω, μεθ' ὃ ἀρνησάμενός με, κλαύσεις καὶ εἰς μετάνοιαν ἔλθῃς, στήριξον τοὺς λοιπούς. τοῦτο γὰρ προσήκει σοι, ὡς μετ' ἐμὲ ὄντι τῆς ἐκκλησίας πέτρᾳ καὶ στηρίγματι. Ἐξηγεῖται δὲ καὶ ἄλλως. Νοήσειε δ' ἄν τις τοῦτο οὐ μόνον περὶ τῶν τότε ἀποστόλων εἰρῆσθαι, ὡς ἂν ὑποστηριχθῶσιν ὑπὸ τοῦ Πέτρου, ἀλλὰ καὶ περὶ πάντων τῶν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος πιστῶν. σὺ γὰρ ὦ Πέτρε ἐπιστρέψας, καλὸν ὑπόδειγμα γενήσῃ πᾶσιν εἰς μετάνοιαν, καὶ οὐδεὶς τῶν πιστευόντων εἰς ἐμὲ ἀπογνώσεται, ἀποβλέπων πρὸς σὲ τὸν ἀπόστολον μὲν ὄντα, ἀρνησάμενον δὲ, καὶ πάλιν τὰ πρωτεῖα πάντων καὶ τὴν τῆς οἰκουμένης ἐπιστασίαν λαβόντα διὰ τῆς μετανοίας.

Ἐν τοῖς μελῳδικοῖς ᾄσμασι τῆς ἑορτῆς Πέτρου καὶ Παύλου, Ποίοις εὐφημιῶν στέμμασιν ἀναδήσωμεν Πέτρον καὶ Παῦλον, τοὺς θεοκηρύκων πρωτοστάτας, τὸν μὲν, ὡς τῶν ἀποστόλων προεξάρχοντα, τὸν δὲ ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα. καὶ ἐν τῷ δ. μελῳδήματι, Τῷ τριττῷ τῆς ἐρωτήσεως, τοῦ Πέτρε φιλεῖς με; τὸ τριττὸν τῆς ἀρνήσεως ὁ Χριστὸς διωρθώσατο, διὸ καὶ πρὸς τὸν κρυφιογνώστην ὁ Σίμων, σὺ οἶδας ὅτι φιλῶ σε. ὅθεν πρὸς αὐτὸν ὁ σωτὴρ, ποίμαινε τὰ πρόβατά μου, ποίμαινε τὴν ἐκλογάδα μου, ποίμαινε τὰ ἀρνία μου, ἃ τῷ ἰδίῳ αἵματι περιεποιησάμην εἰς σωτηρίαν. Ὥστε τὸ ποίμνιον τοῦ Χριστοῦ, εἴτε πρόβατα, εἴτε ἐκλογάδες, δηλονότι πατριάρχαι, μητροπολῖται, καὶ ἐπίσκοποι, εἴτε ἀρνία ὑπὸ τοῦ Πέτρου, καὶ τῶν διαδόχων τοῦ Πέτρου ποιμαίνονται. οἱ δὲ ὑπό τούτων μὴ ποιμαινόμενοι, οὐκ εἰσὶ τῆς μάνδρας τοῦ Χριστοῦ καὶ τὴν ἄλλως ὀνομάζονται χριστιανοὶ, μὴ ὄντες ἐκ τοῦ ποιμνίου τοῦ Χριστοῦ. ἀλλ' ἐκ τῆς συμμορίας Φωτίου τοῦ ψευδοπατριάρχου, Παλαμᾶ, καὶ Μάρκου, καὶ Νείλου, καὶ Καβάσιλα τῶν ψευδομητροπολιτῶν, καὶ σχισματικῶν. καὶ τηνικαῦτα ἵνα μὴ κατ' οὐδὲν προκό-

ψαν-

uersus confirma fratres tuos. Planus, inquit, huius intellectus is est, quia te habeo principem Discipulorum, postquam negato me fleueris, & ad pœnitentiam veneris, confirma cæteros. Hoc enim decet te, qui post me Ecclesiæ petra es, & fundamentum. Addit & aliam expositionem Theophylactus; Posset autem aliquis istud intelligere dictum esse, non tantum de Apostolis, qui tunc erant, vt à Petro confirmarentur, sed etiam de omnibus fidelibus vsque ad consummationem seculi. Tu enim Petre conuersus, bonum exemplum pœnitentiæ eris omnibus, & nemo credentium in me, desperatione afficietur, in te respiciens. Qui cum Apostolus fueris. & negaueris, iterum receperis primatum omnium & præfecturam Orbis.

In melodicis Canticis festiuitatis principum Apostolorum Petri, & Pauli, habes: Quibus laudum coronis coronabimus Petrum, & Paulum? antesignanos Dei præconum. Alterum quidem, vt Apostolorum principem, alterum verò, tanquam qui plus alijs laborauerit. Et in 4. Cantico, terna interrogatione, scilicet, Petre amas me, ternam negationem Christus correxit. Idcirco & Petrus ad abscondita cordis scrutantem, Domine, inquit omnia nosti, nihil te latet, tu scis, quia amo te. Vnde ad eum Saluator, pasce oues meas, pasce selectos meos, pasce agnos meos, quos proprio sanguine insalutem acquisiui. Itaque Ouile Christi, siue sint oues videlicet Patriarchæ, Metropolitæ, & Episcopi, siue agni à Petro, & successoribus Petri pascuntur. Qui verò ab his non pascuntur, non sunt ex ouili Christi & temerè vocantur Christiani. Sed sunt ex classe Photij Pseudopatriarchæ, & societate Palamæ, Marci Ephesij, Nili, Cabasilæ Pseudometropolitarum & Schismaticorum, ac tandem (ne quid desit perfectionis) nostra

ψαντες λάψωσιν ἐν ταῖς ἡμέραις ἡμῶν Λουθήρου, Καλουΐνου, καὶ τοῦ παρόντος κακοπατριάρχου τροφίμου αὐτοῦ, καὶ τῶν λοιπῶν αἱρετικῶν.

Οὐ δὲ ἀρκεῖ φᾶναι τὸν Χριστὸν εἶναι ποιμένα, κεφαλὴν, θεμέλιον, καὶ τὰ τοιαῦτα. παρὰ ταῦτα γὰρ, ἅπερ κυρίως καὶ κατὰ πρῶτον λόγον ἐστὶν ὁ Χριστὸς, τὰ αὐτὰ κατὰ δεύτερον λόγον εἰσὶ καὶ ἄλλοι. Καὶ περὶ τοῦ Χριστοῦ φησὶν ὁ Παῦλος, ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς, ὁ δὲ Χριστὸς περὶ τοῦ Πέτρου σὺ κληθήσῃ Κηφᾶς, ὃ ἐστι μεθερμηνευόμενον Πέτρος, καὶ πέτρα. Ἄλλως γὰρ τοῦ Κυρίου ὡς πρώτου αἰτίου διὰ τῶν μυστηρίων τελοῦντος τὸν χριστώνυμον λαὸν, ἔδει τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν πάντως ματαίαν εἶναι, καὶ εἰς τὸ μηδὲν χωρεῖν, μὴ ὄντος μηδενὸς ἄλλου, εἰ μὴ μόνου τοῦ Χριστοῦ προεστῶτος.

Ὁ δὲ Θεολόγος Γρηγόριος περιγράφων τὸ μυστικὸν σῶμα τῆς ἐκκλησίας, κατὰ μίμησιν τοῦ Παύλου, ἐν τῷ λόγῳ περὶ ἐκκλησιαστικῆς εὐταξίας. Τάξις, φησὶ, καὶ ταῖς ἐκκλησίαις, τὸ μὲν εἶναί τι ποίμνιον, τὸ δὲ ποιμένας, διώρισε, καὶ τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι, καὶ τὸ μὲν οἷον εἶναι κεφαλὴν, τὸ δὲ πόδας, τὸ δὲ χεῖρας, τὸ δὲ ὀφθαλμὸν, τὸ δὲ, ἄλλό τι τῶν μελῶν τοῦ σώματος πρὸς τὴν τοῦ παντὸς εὐαρμοστίαν, καὶ τὸ συμφέρον, ἢ προεχομένων, ἢ προεχόντων. καὶ οὐκ ἀτιμίαν ἡγεῖται φέρειν τῷ Χριστῷ ὁ διδάσκαλος κεφαλὴν ὄντι, διότι ἄλλοι τῇ τοιαύτῃ προσηγορίᾳ ὡρίζονται. οἱ δὲ τὸν Πάπαν ἀρνούμενοι κεφαλὴν εἶναι, καὶ λέγεσθαι, αὐτοὶ οὐκ αἰσχύνονται καλεῖσθαι οἰκουμενικοὶ πατριάρχαι τὸ πᾶν ἀπολωλεκότες, καὶ τὸ χεῖρον τοῦ Χριστοῦ μάνδρας ἔξω τυγχάνοντες, καὶ κατάσκοποι τῶν τούρκων ὄντες κατὰ τῶν χριστιανῶν, καὶ μηδὲ πόδες ὑπάρχοντες τοῦ μυστικοῦ σώματος. καὶ κεῖται τῆς οἰκουμένης ὑποχείριοι ὄντες, καὶ ἀνδράποδα καταπεκειμένα τῶν ἀγαρηνῶν. καὶ τρισκαιδέκατοι τῶν ἀποστόλων, μηδ᾽ ὁτιοῦν ἁγιωσύνης μετέχοντες, ἀλλὰ τοῖς ἄλλοις τριάθλιοι ἐναριθμούμενοι, ἐπὶ τῇ ψευδοδεξουσίᾳ γαυριῶσιν.

Ὁ δὲ

ætate Lutheri, Caluini, & præsentis Cacopatriarchæ ipsius alumni, & reliquorum hæreticorum.

Nec satis est dicere, Christum solum esse pastorem, caput, fundamentum, & cætera huiusmodi. Preter hęc enim, quæ propriè & primariò est Christus, hæc eadem secundariò sunt & alij, atque de Christo ait Paulus, petra autem erat Christus; Christus verò de Petro, tu vocaberis Cephas, quod est interpretatum Petrus, & petra. Alioquin cum Dominus sit prima causa, qui per mysteria conficit populum Christianum, oporteret Ecclesiasticam hierarchiam, vanam & inutilęm esse atque ad nihilum redigi, cum nemo sit alius præter Christum, qui præsit.

At verò Gregorius Theologus describens mysticum corpus Ecclesiæ ad imitationem Pauli in oratione de moderatione in disputationibus seruanda: Ordo, inquit, in Ecclesijs quoque constituitur, vt alij oues sint, alij pastores; alij pręsint, alij subsint, ac pareant: alius velut caput sit, alius pedes, alius manus, alius oculus, alius aliud quoddam corporis membrum, ad totius Ecclesię concinnitatem. & vtilitatem, vel inferius, vel pręstantius. Et non censet doctor ignominiam afferre Christo caput existenti, quoniam alij hac appellatione exornantur. Qui verò negant, Papam esse & dici caput non eos pudet vocari œcumenicos Patriarchas, amissis omnibus, & quod peius est, cum extra caulas Christi permaneant, & sint exploratores Turcarum aduersus Christianos, neque pedes existant mystici corporis, & tamen Iudices Orbis se iactant, cum sint subditi, & mancipia cōdemnata agarenorum. Et decimi tertij Apostolorum se nominant, ne tantillum quidem Sanctitatis habentes, sed in felicissimi inter alios enumerantur, & falsa potestate gloriantur.

Ὁ δὲ Θεολόγος Γρηγόριος τὴν ἀφορμὴν λαβὼν παρὰ τοῦ Παύλου, οὕτως ἐφιλοσόφησεν ἐν οἷς λέγει ὁ Ἀπόστολος ἐν τῇ α. πρὸς Κορινθίους κεφ. ιβ. ἡ κεφαλὴ τοῖς ποσὶ χρείαν ὑμῶν οὐκ ἔχω οὐ δύναται εἰπεῖν· οὐ γὰρ ἁρμόζει τῷ Χριστῷ δυναμένῳ εἶναι κεφαλὴν αὐτῶν τῆς χρείας τῶν ποδῶν, ὥστε περὶ τοῦ Πέτρου δύνασθαι λέγεσθαι. ἔστι γὰρ ἡ ἐκκλησία ἓν σῶμα καὶ κεφαλήν τινα ὁρατὴν ἔχει τὸν Πέτρον, παρὰ τὸν ἀόρατον Χριστόν, ὡς δοκεῖ τῷ Παύλῳ καὶ Γρηγορίῳ τῷ οἰκουμενικῷ διδασκάλῳ, καὶ τοῦ κλεινοῦ Πέτρου τῷ ὑπερλάμπρῳ μαρτυρίῳ κάτω κάρα σταυρωθέντος καὶ ἑαυτῷ τοὺς οὐρανοὺς ἀνοίξαντος, δεῖ τὴν ἐκκλησίαν μὴ ἀκέφαλον εἶναι ἀλλὰ τὸν διάδοχον αὐτοῦ τῆς ἐκκλησίας κεφαλὴν εἶναι καὶ διαφημίζεσθαι.

Οὐδὲ ξένον ἔδοξε τῷ αὐτῷ Γρηγορίῳ. περὶ τῆς μακαρίας Γοργονίας τῆς ἀδελφῆς εἰπεῖν καὶ οὐδ' ὅτι κεφαλὴν ἔχει τὸν ἄνδρα διὰ τοῦτο τὴν πρώτην κεφαλὴν ἠγνόησεν, ἤγουν τὸν Χριστόν. Ἀνάγνωθι καὶ τὰ λοιπὰ τῆς ἑορτῆς, ἐν ᾗ εὑρήσεις κάλλιστα ἐγκώμια τοῦ πρωτοκορυφαίου, οἷον ἔστι κἀκεῖνα, σοὶ Χριστὸς πρώτῳ κληθέντι, καὶ σφοδρῶς ἀγαπήσαντι· ὡς προέδρῳ δικαίως τῶν ἀποστόλων πρώτῳ ἐμφανίζεται, ἀναστὰς ἐκ τοῦ μνήματος. καὶ ἐν ἄλλῳ τροπαρίῳ ἔχει, ἐγχειρίζει τὸ φίλτατόν σου ποίμνιον. πρὸς τούτοις ᾄδουσι, σὺ ἐπαξίως πέτρα προσηγορεύθης, ὅτι τὴν ἀκράδαντον πίστιν ὁ Κύριος τῆς ἐκκλησίας ἐκράτυνεν, καὶ ἀρχιποίμενα τῶν λογικῶν προβάτων κατέστησεν. ἐντεῦθεν κλειδοῦχον σε τῶν οὐρανίων πυλῶν, ὡς ἀγαθὸν ἐνεχείρισεν ἀνοίγειν πᾶσι τοῖς μετὰ πίστεως προστρέχουσιν. καὶ ἐν ἄλλῳ, χαίρετε Πέτρε καὶ Παῦλε δογμάτων τῶν θείων θεμέλιοι ἀρραγεῖς, καὶ ἀλλαχοῦ τὰ Ῥώμης περιφανῆ ἐγκαλλωπίσματα, καὶ πάλιν τοῦ σταυροῦ τὰ κέρατα, τουτέστιν ἡ ἰσχὺς καὶ ἡ δύναμις.

Ἄγε δὴ συμπεράνωμεν τῇ μαρτυρίᾳ τοῦ Νείλου τὴν ὑπεροχὴν τοῦ Ῥωμαίων ἀρχιερέως. Ὁ γὰρ Νεῖλος μετὰ τοῦτο πολλὰ ἐμέσας [illegible] ψευδόμενος, ἐν τῷ τέλει τοῦ βιβλίου αὐτοῦ δικαίως ταῦτα προστίθησιν, Κεφάλαιον τῶν [illegible] ἔστω, μεθ' ὃ

Gregorius verò Theologus arrepta occàsione ex paulo, sic est philosophatus: ex ijs in quibus dicit Apostolus in prima ad Corinthios c. 12. Non potest dicere caput pedibus, vestra opera non indigeo; non enim conuenit Christo, qui potest esse caput sine opera pedum, quapropter de Petro potest intelligi. Est enim Ecclesia vnum corpus caput visibile habens Petrum præter inuisibilem Christum, vt videtur Paulo,& Gregorio œcumenico doctori cum inclytus Petrus illustri martyrio deorsum capite fuerit confixus, & cœlos sibi aperuerit, oportet Ecclesiam non carere capite, sed successorem eius caput esse Ecclesiæ, & laudari.

Neque alienum visum est eidem Gregorio de Sancta Gorgonia sorore dicere,nec quia caput virum habebat, ideo primum caput ignorauit. idest, Christum. Legas etiam reliqua festiuitatis, in qua reperies egregia encomia Principis Apostolorum. Quale est illud,tibi Christus, qui primò vocatus est, & vehementer dilexisti,tanquam inclyto Præfecto Apostolorum, primo quoque apparuit resurgens ex mortuis, & clarissimum ouile committit. Ad hæc canunt: Tu meritò petra appellatus es quoniam fidem inconcussam Dominus Ecclesiæ confirmauit, & Archipastorem rationabilium ouium te constituit. Hinc clauigero cœlestiũ portarum egregio commisit aperire omnibus, qui cum fide tibi adhęrẽt. Sed Gręci non adhęrẽt Petro,& successoribus Petri. Et in alio cãtico: Saluete Petre, & Paule diuinorũ dogmatũ fundamenta immota. Et alibi, Romanę Vrbis celebratissima ornamenta Et rursus, Crucis cornua, scilicet virtus & potentia.

Concludam præsentem quæstionem de primatu Pontificis, ipsius testimonio Nili. Postquam enim Nilus aduersus primatum Romani Pontificis multa falsa euomuit, in fine libri se iustificans addit: Summa dictorum hęc est,

quam-

Πάπας σώζῃ τὴν τάξιν, καὶ μετὰ τῆς ἀληθείας ἕστηκε, καὶ τῆς πρώτης, καὶ κυρίως ἀρχῆς οὐκ ἀφίσταται, καὶ κεφαλὴ τῆς ἐκκλησίας, καὶ ἀρχιερεὺς ἄκρος, καὶ Πέτρου, καὶ πάντων τῶν ἀποστόλων διάδοχος καὶ δεῖ πάντας αὐτῷ πείθεσθαι, καὶ οὐδὲν ὃ τὴν τιμὴν ἐκείνου χωρεῖ. Ταῦτα μὲν ἔσωσαν ἡμῖν ὑπὲρ τῆς μείζονος προτάσεως, ἡμεῖς δὲ τὴν ἐλάττονα προσθήσομεν. ἀλλ' ὁ ἀρχιερεὺς σώζει τὴν τάξιν, καὶ μετὰ τῆς ἀληθείας ἕστηκε. οὔτε πώποτε ἐν τοῖς τῆς πίστεως δόγμασιν ἥμαρτεν οὔτε ἁμαρτάνειν δύναται, ὡς διὰ πολλῶν ἐδείξαμεν, ἄρα ἐκ τῆς πρώτης καὶ κυρίως ἀρχῆς οὐκ ἐκπέπτωκε, καὶ κεφαλή ἐστι τῆς ἐκκλησίας, καὶ ἀρχιερεὺς ἄκρος, καὶ Πέτρου, καὶ πάντων τῶν ἀποστόλων διάδοχος, καὶ δεῖ πάντας αὐτῷ πείθεσθαι, καὶ οὐδὲν ὃ τὴν τιμὴν ἐκείνου χωρεῖ. Τὸ δὲ παρὰ τῷ Νείλῳ ἑπόμενον, εἰ δὲ τῆς ἀληθείας ἀποχωρήσας, οὐ βούλεται πάλιν πρὸς ἐκείνην ἐπανιέναι, τὰ τῶν καταδίκων πείσεται. τοῦτο δὲ οὐχ ἧττον, οὐδὲ μᾶλλον ἐκείνοις, ἢ τῷ ἀρχιερεῖ, ἀλλὰ πάντως ἐκείνοις μόνοις τοῖς Γραικοῖς, φημὶ ἁρμόζειν, οἵτινες ἐν τοῖς δόγμασι τῆς πίστεως ἐκείνου καταδικάσαντες ἀτυχίαν, οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ πλειστάκις εἰς τὸν αὐτὸν ἔμετον ἐπανέστρεψαν, καὶ ἐλεεινὸν, δεινόν τε πτῶμα τοῦ σχίσματος, καὶ αἱρέσεων ἐγένοντο, μὴ πιστεύοντες τὴν ἐκπόρευσιν τοῦ πνεύματος κἀκ τοῦ υἱοῦ, τὴν ἀπόλαυσιν τῶν ἁγίων καθὸ ψυχαὶ, τὸ ἄζυμον ἐν τῇ ἱερουργίᾳ, τὴν ὑπεροχὴν τῶν διαδόχων τοῦ Πέτρου, τὸ πῦρ τὸ καθαρτήριον, καὶ τὰς ἄλλας φλυαρίας πιστεύουσιν, ἅσπερ ἐν τῷ ἑαυτοῦ νομοκάνονι ὁ Βλαστάρης, καὶ οἱ λοιποὶ, ὡς σφάλματα καὶ ἁμαρτήματα, καίπερ μὴ ὄντα, τοῖς λατίνοις ἀδίκως προστρίβουσιν καὶ οἴονται δύνασθαι δικαιοῦσθαι μετὰ τούτων τῶν ἁμαρτημάτων, ἅτινα ἡ Ρωμαϊκὴ ἐκκλησία οὐδέποτε συνεχώρησεν, οὔτε δύναται συγχωρῆσαι, ἅτε στάθμη οὖσα καὶ κανὼν ἐκ τῆς ἐπαγγελίας τῆς ἀψευδοῦς τοῦ Χριστοῦ τῶν δογμάτων τῆς ἀληθείας. οἱ δὲ ἄκροι τῆς Ρώμης ἀρχιερεῖς τοσοῦτον ἀπέχουσι τοῦ μὴ ἀρχιερατεύειν καὶ εἶναι γνησιωτάτοις

ἀρχι-

quamdiu quidem Papa ordinem seruat, & cum veritate stat, à primo & proprio principatu non remouetur, & caput est Ecclesiæ, & summus Pontifex, & Petri & reliquorum Apostolorum successor, omnesque ei obedire oportet, nihilque est, quod ipsius honorem capiat. Hæc seruiant nobis pro maiori propositione, addamus minorem; Sed Pontifex seruat ordinem, & cum veritate stat, neque errauit vnquã, neq; errare potest vt multis probauimus; igitur à primo & proprio principatu non cecidit, & caput est Ecclesiæ, & Summus Pontifex, & Petri, reliquorumque Apostolorũ successor, & omnes ei obedire debent, nihilque est, quod ipsius honoris sit capax. Quod autem sequitur apud Nilum, si verò cum semel à veritate recesserit, ad eam redire noluerit, damnatorum pœnis erit obnoxius. Istud verò, non dicam magis, & potius ipsis, quam Pontifici, sed penitus ipsis solis Græcis quadrat. Qui cum eum propter dogmata parui penderint, non semel, neque bis, sed sæpissimè ad eundem vomitum redierunt, & lapsi sunt in fœda & execranda schismata, & tetras hęreses; non credentes processionę̃ Spiritus Sancti etiam ex Filio, fruitionem Sanctorum, quatenus sunt animę, panem azymũ in sacrificio, excellentiam successoris Petri, & ignem purgatorium. Et putant, se posse iustificari cum istis erroribus quos Ecclesia Romana nunquam admisit, neque potest admittere, cum sit norma, & Canon ex promissione infallibili Christi, veritatis dogmatum. Et prætereà reliquas ineptias creduut, quas tanquam errores in suo nomocanone Blastarius, & reliqui immeritò Latinis infligunt. Summi verò Romani Pontifices tantum abest vt non fungatur Pontificia dignitate, & sint legitimi totius populi christiani Principes & Pastores, vt synceritatem & immaculationem Catholicæ & Apostolicæ Ecclesię non ali-

ter

ἀρχιποιμένας παντὸς τοῦ χριστωνύμου λαοῦ, ὥστε τὸ ἀκραιφνὲς, καὶ καθαρὸν, καὶ ἄσπιλον τῆς καθολικῆς ἀποστολικῆς ἐκκλησίας μὴ ἂν ἄλλως ἀποδεικνῦναι οἱ παλαιοὶ ἅγιοι τῶν πατέρων ἠβουλήθησαν, ὅτι μὴ Πέτρος, καὶ Παῦλος οἱ κορυφαῖοι τῶν ἀποστόλων τὴν Ρωμαϊκὴν ἐκκλησίαν ἐκ προστάγματος τοῦ Κυρίου ἐθεμελίωσαν. καὶ ὅτι ἐκ τῆς χρυσῆς σειρᾶς τῶν ἐφεξῆς ἀρχιεραρχούντων ἡ διαδοχὴ πώποτε οὐ διέλιπεν. οὕτω γὰρ φιλοσοφεῖ ὁ ἱερομάρτυς Εἰρηναῖος ἐπίσκοπος Λουγδούνου μαθητὴς πολυκάρπου ἐν τῷ γ. κεφ. τοῦ γ. βιβ. ὁ Ἐπιφάνιος Κύπρου, ὁ θαυμαστὸς Αὐγουστῖνος καὶ οἱ λοιποί.

ΚΕΙΜΕΝΟΝ.

Ἐπείτοιγε, φησὶν ὁ Βαρλαὰμ, ἐὰν μὴ οὕτω, ἀλλὰ τῷ ἔθει τὰ πράγματα κρίνουσι, πάνθ' οὕτως ἐξέσαι λύειν ἀμφοῖν. τουτέστιν ἕκαστος προβαλεῖται τὰ τῆς ἑαυτοῦ ἐκκλησίας κρατοῦντα. καὶ ταῦτα ἡγήσεται εἶναι κύρια, καὶ οὕτως οὐδέποτε ἀλλήλοις συμβήσονται.

ΑΠΟΚΡΙΣΙΣ.

Ἐνταῦθα δὲ σημειωτέον τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν μηδὲν ὅλως προνόμιον ἔχειν, ὃ μὴ παρὰ τῆς πρεσβυτέρας ἔλαβε Ρώμης. Καὶ πρῶτον μὲν ὁ Ανατόλιος ἐδεήθη τοῦ Λέοντος, ὅπως πρῶτος εἴη μετὰ τὸν Ρώμης. ὁ δὲ ἥκιστα πάντων συνεχώρησεν. ὡς ἔστιν ἰδεῖν ἐν τοῖς πρακτικοῖς τῆς ἐν χαλκηδόνι συνόδου. οἱ δὲ μέτεροι τολμῶσιν, ὡς κυρωθέντα τὸν κανόνα τὸν ὑπὸ τοῦ Λέοντος ἀποδοκιμαθέντα, τοῖς ὀρθοῖς κανόσιν ἐγκαταλέγειν, καὶ πανούργως ἐξαπατᾶν τοὺς ἐντυγχάνοντας. Εἶτα τῷ χρόνῳ ποτὲ, ὁ τῆς Κωνσταντινουπόλεως θρόνος τῇ σιωπηρᾷ συναινέσει τῶν ἄκρων ἀρχιερέων βεβαιωθεὶς ὑπὸ Ιννοκεντίου τρίτου ἐν τῇ ἐν Λατεράνῳ συνόδῳ αἰτιωθη, καὶ μάλιστα ἐν τῷ καιρῷ τῆς ἐν Φλω-

ter antiqui patres ostendere voluerint, quam quod Petrus & Paulus Principes Apostolorum Romanam Ecclesiam de mandato Domini fundauerint; Quod etiam ex aurea serie subsequentium pontificum nunquam successio defuerit. sic enim philosophatur Ireneus martyr Episcopus Lugdunensis, discipulus Polycarpi in tertio capite libri tertij; Epiphanius Cypri, Admirandus Augustinus, & reliqui.

TEXTVS.

SI enim, inquit Barlaam, non ita rem instituamus, sed ex consuetudine de rebus iudicemus, hoc pacto vtrique parti, quæuis dissoluere in promptu erit. Hoc est, vnusquisque proponet, quæ in eius Ecclesia tenent; & hæc censebit, esse rata; & sic nunquam inuicem conuenient.

RESPONSIO.

HOc loco verò Notandum est, Constantinopolitanam Ecclesiam, nullum omninò habere priuilegium, quod non acceperit à vetere Roma; Et primum quidem Anatolius rogauit Leonem, vt primus esset post Romanum, is verò nulla ratione concessit, vt est videre in actis Concilij Chalcedonensis. Nostrates verò, vt approbatum Canonem, quem Leo improbauit, audent inter probatos Canones enumerare, & malitiosè decipere, qui eos obuios habent. Deinde tempore procedente, Constantinopolitanus Thronus, tacito consensu Romanorum Pontificum stabilitus & etiam ab Innocentio III. renouatus fuit in Concilio Lateranensi, potissimum verò tempore Concilij Floren-

ἐν Φλωρεντίᾳ συνόδου Εὐγένιος τέταρτος ὁ Πάπας τῆς εἰρήνης τῶν ἐκκλησιῶν προμυθούμενος, συνεχώρησε τὸν Κωνσταντινουπόλεως εἶναι μετὰ τὸν Ῥώμης, τὸν δὲ Ἀλεξανδρείας τρίτον. ὁ δὲ τῆς πόλεως καὶ πολὺ πρότερον τὴν πρωτοκαθεδρείαν τούτων τῶν πατριαρχῶν ἑαυτῷ ἐσφετερίσατο, μὴ μόνον γε καὶ αὐτοῦ τοῦ Πάπα, ἐς τοσοῦτον αὐθαδείας, ὑπερηφανίας, καὶ τόλμης ἦλθεν, ὥστε τὸν ἑαυτοῦ εὐεργέτην, ὡς ἡ χάραξ τὴν ἄμπελον, ἐξηπατηκέναι, καὶ δίκην ἑωσφόρου οὐ μόνον βουληθῆναι ὅμοιος, ἀλλὰ καὶ ὑπὲρ τὸν ἑωσφόρον πρῶτος γενέσθαι, συναρπάσας μεθ' ἑαυτοῦ καὶ τοὺς ἄλλους ἀναξίους πατριάρχας Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων.

Καὶ μὴν ἐρεῖς ὁ Βαρλαὰμ ἀσπάζεται τοὺς πατέρας, καὶ τούτους ὀνομάσαι οὐκ ὀκνηρῶς ἔχει. λέγει γὰρ, πάσης ἀφεμένους προλήψεως, καὶ παραθεμένους παρὰ τὰ λόγια καὶ τὰς ἀποφάσεις τῶν διδασκάλων, κανόσι αὐτοῖς χρησαμένους, καὶ στάθμῃ πρὸς ταῦτα, καὶ τὰ ἑξῆς. Ὑφορῶμαι τὸν Βαρλαὰμ ταῦτα λέγειν, ὅπως ἐξαπατήσῃ πολλοὺς τῶν ἀμαθῶν μνείαν τῶν διδασκάλων ποιούμενος. ἡμεῖς δὲ τοὺς πατέρας καὶ διδασκάλους ὁποῖοι εἰσὶ, καὶ τί κηρύττουσιν ἤδη παρηγάγομεν. αὐτοὶ δὲ τούτους ἀναγνῶναι ἴσα καὶ ὄφεων ψαύειν φοβηθήσονται, ἵνα μὴ τὴν ἀλήθειαν γνωρίσαντες, ταύτην δέξασθαι προθυμηθήσωνται. κἀν τούτῳ μιμηταὶ γίνονται τῶν ἑβραίων, οἳ τὰς προφητείας οὐκ ἀρνοῦνται, αἳ δὲ περὶ τοῦ Χριστοῦ προσαγορεύουσι, ταῦτα δὲ οὐ δέχονται. οὕτως οἱ ἡμέτεροι ἄνω καὶ κάτω στρέφονται, καὶ διὰ γλώσσης ἔχουσι τοὺς ἀνατολικοὺς πατέρας. τῶν γὰρ τῆς δύσεως μακρὰν ἀπέχουσι, καὶ οὐδὲ ὀνομάσαι αὐτοὺς βούλονται. ὅταν δὲ τὰς μαρτυρίας τῶν ἀνατολικῶν ἴδωσι, ταύτας ἀρνοῦνται, καὶ οὐ δέχονται. ὥστε τῷ ὀνόματι τοὺς ἀνατολικοὺς προσίενται, τοῖς ἔργοις καὶ τῇ ἀληθείᾳ πόῤῥω τούτους ἀποδιοπομποῦνται. ἐς τοῦτο ἀμαθείας τὸ γένος ἔφθασε, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. ἔνιοι δὲ αὐτῶν καὶ τὴν Λατίνων γλῶτταν βέλτιον ἐπίστανται, ἢ τὴν ἰδίαν τὴν ἑλληνικὴν, ταῦτα ὑπὸ τῶν αἱρετικῶν ἅμα τοῖς σαθροῖς καὶ

ψυ-

tini Eugenius IV. Pontifex pacē Ecclesiarum procurās concessit, Constantinopolitanum esse post Romanū, Alexandrinum verò tertium. At verò Constantinopolitanus longè antea etiam sibi vsurpauerat præeminentiā horum Patriarcharum, immò & Summi Pōtificis, atq; in tantum arrogantiæ superbiæ, & audaciæ deuenit, vt benefactorē suū, sicut calamus quo sustētatur & fulcitur vitis (quod est in prouerbio) vitē deceperit; & instar Luciferi non solū voluerit esse similis, sed etiā plusquā Lucifer fieri primus, secum rapiens etiam reliquos indignos Patriarchas Alexandrinum, Antiochenum, & Hierosolymitanum.

At enim dices, Barlaam amplectitur Patres, & hos nominare nō negligit, Ait enim: Omni præsumptione, & cōsuetudine, quę ratione nō nitatur, seposita, nudas res iudicemus, eas cōferentes examinantesque ad sacrā scripturā, & declarationes doctorū vtentes ijs tanquā regulis, & norma, à qua non deflectamus. & quæ sequuntur. Suspicor, Barlaam hæc dicere, vt decipiat multos imperitorū, mentione doctorū facta. Nos verò Patres, & Doctores, quales sint & quid prædicent iā adduximus. Ipsi verò hos legere, nō aliter atq; serpētes tangere timebūt, ne veritatē agnoscētes, hanc recipere studeant. Atq; in hoc imitātur Hebræos, qui quidē prophetias non negāt, hæ verò de Christo prænūciant. At illud nō recipiunt. Ita etiā schismatici sursū ac deorsum vertunt se & nomināt Patres oriētales (nam ab occidētalibus lōgè absunt, & ne nominare quidē eos volunt) cum verò testimonia orientalium viderint, & inficiantur, & non recipiunt. Itaq; nomine tenus Orientales acceptant, factis autem & reuera longè eos reijciunt. Ad hoc imperitiæ natio peruenit; & dicentes se esse sapientes, stulti facti sunt. Nonnulli verò eorum, & Latinorum linguam melius norunt. quam propriam græcam; idque ab hæreticis vnà cum perni-

ψυχοφθόροις δόγματι διδαχθέντες.

Εἶτα τὸ χεῖρον, ὅταν ἐπιδείξωμεν αὐτοῖς ῥητὰ τοῦ εὐαγγελίου, οὕτως εἰώθασιν αὐτὰ ἐξηγεῖσθαι, οἷον φέρε εἰπεῖν, ὁ Χριστὸς φησὶν πρὸς τὸν Πέτρον, σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐπειδὴ τινὲς τῶν διδασκάλων κάλλιστα ἑρμηνεύουσιν ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Πέτρου, τὴν ἐκκλησίαν ἱδρύσθαι, ἐκ τούτων τῶν ῥημάτων πάντες οἱ αἱρετικοὶ ἀφορμὴν λαβόντες φασὶν αὐτοὺς ἔχειν τὴν ὁμολογίαν τοῦ Πέτρου, καίτοι τἀναντία φρονοῦντες. Ἀλλὰ τίς αὕτη ἡ ὁμολογία, καὶ ποῦ εὕρηται; ἐν τοῖς διαδόχοις τοῦ Πέτρου καὶ τῇ ἀποστολικῇ Ρωμαϊκῇ ἐκκλησίᾳ ὡς οἱ προσενεχθέντες πατέρες ἀπεφήναντο, ἢ ἐν τοῖς ἀλλοτρίοις καὶ ἐχθροῖς τῆς πίστεως; καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. οἱ αἱρετικοὶ πολυσχιδεῖς ὄντες ἀλλήλοις μάχονται, καὶ οὐδὲν ἧττον ἐμμονοῦσι κατὰ τῆς ἐκκλησίας ἐγείρουσιν, ἀλλ' οὐ κατισχύσουσιν αὐτῆς κατὰ τὸν ἀψευδῆ τοῦ λόγου λόγον. Ὅταν πάλιν λέγῃ σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, φασὶ, πᾶσι τοῖς ἀποστόλοις δεδωκέναι, ὥστε, τὸ, σοὶ σημαίνει, τὸ πᾶσιν ἄνευ οὐδεμιᾶς διαφορᾶς πρὸς τὸν μείζονα.

Καὶ δέδωκεν ὁ Χριστὸς πᾶσι τοῖς ἀποστόλοις τὴν ὁμοίαν ἐξουσίαν, ἣν δέδωκε τῷ Πέτρῳ, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον. καὶ αὐτὸς ἐξελέξατο τοὺς ἀποστόλους. καὶ ἀπέστειλεν αὐτοὺς, καθὼς ἀπέσταλκεν αὐτὸν ὁ πατὴρ μετὰ πάσης ἐξουσίας σπεῖραι τὴν πίστιν ἀνὰ πᾶσαν τὴν οἰκουμένην, καὶ οὕτως ἔδει ἀπ' ἀρχῆς ποιῆσαι τὸν Χριστὸν. καὶ ὁ κορυφαῖος Πέτρος οὐκ ἐξελέξατο εἰς ἀπόστολον τὸν Ματθίαν, ἀλλὰ φησὶ πρὸς τὸν Θεὸν, ἀνάδειξον ὃν ἐξελέξω. Ὁ δὲ Παῦλος πρὸς Γαλάτας φησὶ· Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρὸς. εἶχον οὖν οἱ ἀπόστολοι τὴν ἐξουσίαν, ἣν ἐκέκτητο ὁ Πέτρος, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον. ἀλλ' ἐκεῖνοι μὲν οἷον εἰπεῖν παρὰ τὴν τάξιν καὶ ἔξω τῆς τάξεως ἦσαν προσκαίρως ἕως αἱ ἐσώζετο

αὐτῶν

ciosis, & letiferis dogmatibus, edocti.

Deinde, quod peius est, cum ostenderimus ipsis dicta Euangelij, sic ea soliti sunt interpretari: Vt, verbi gratia Christus ait ad Petrum, Tu es Petrus, & super hanc petrã ædificabo Ecclesiam meam, & portæ inferi non prȩualebunt aduersus eam. Quoniam nonnulli Doctorum interpretantur, super confessione Petri, Ecclesiam esse fundatam, ex his verbis omnes hæretici, capta occasione aiunt, se habere confessionem Petri. Cum tamen cõtraria sibi inuicem sentiant. Sed quænam est hæc confessio? & vbi reperitur? in successoribus ne Petri, & Apostolica Romana Ecclesia, vt prædicti Patres enunciarunt, an in alienis & hostibus fidei? Et portæ inferi non prȩualebunt aduersus eam. Hæretici, quamuis multiplices sint, secum tamen pugnant, & nihilominus aduersus Ecclesiam excitati, concordant; sed non prȩualebunt aduersus eam, secundum veracissima verba verbi. Cum verò rursus dicit, tibi dabo claues regni cœlorum, aiunt, omnibus Apostolis dedisse. Quare illud, tibi, significat, omnibus sine vlla relatione ad maiorem.

Et dedit quidem Christus omnibus Apostolis similem potestatem, quam dedit Petro, sed non eodem modo. Et ipse elegit Apostolos, & misit eos, quemadmodum misit ipsum Pater, cum omni potestate ad disseminandam fidem per totum orbem. Atque ita oportebat à principio Christum facere. Et princeps Apostolorum Petrus non elegit in Apostolum Matthiam, sed ait ad Deum, ostende, quem elegeris. Item Paulus apud Galatas ait: Paulus Apostolus, non ab hominibus, neque per hominem, sed per Iesum Christum, & Deum Patrem. Habebant igitur Apostoli eandem potestatem, quam possidebat Petrus, sed non secundum eũdem modum; sed illi quidem, vt ita dixerim prȩter ordinem, &

extra

αὐτῶν ὁ βίος, μὴ μέντοι μετὰ διαδοχῆς καὶ μετὰ τῆς αὐτῆς ἀποστολικῆς ἐξουσίας. οὐ γὰρ ἔθιμον αἰτῆται ἄλλους ἀντ' αὐτῶν. ἔχομεν γὰρ αὖ δώδεκα πατριάρχας καὶ ἰσαποστόλους, καὶ μετὰ τοῦ Παύλου τὸν τρισκαιδέκατον. Ὁ δὲ Πέτρος οὐ προσκαίρως, ἀλλὰ μέχρι τῆς συντελείας τοῦ αἰῶνος μετὰ διαδοχῆς, καὶ τοὺς λεγομένους πατριάρχας τῆς Ἀλεξανδρείας, καὶ Ἀντιοχείας αὐτὸς κατέστησε, μὴ μέντοι μετὰ τῆς αἰωνίας αὐτῷ πρεπούσης ἐξουσίας, οὐ δὲ θέλων αὖ ἴσχυε τοῦτο δρᾶσαι, τὴν ἐκκλησίαν, ἣν μίαν καὶ μόνην ὁ Χριστὸς ἀπεφήνατο, δικέφαλον καθεστάναι, ὁποίαν μετὰ ταῦτα ὁ Ἀνατόλιος καὶ οἱ ἐν Χαλκηδόνι, εἰ καὶ μὴ πάντες ποιῆσαι ἐβούλοντο. τὰ ἴσα πρεσβεῖα (sic: προνόμια) τῷ Κωνσταντινουπόλεως συγχωροῦντες. Ὁ δὲ Πέτρος ὅσον εἶχεν ἐξουσίας, καὶ αἰτήκει εἰς τὸ κυβερνᾶν πᾶσαν τὴν Χριστοῦ ἐκκλησίαν, καὶ ὅλον τὸ ποίμνιον τὸ πᾶν τοῖς διαδόχοις κατέλιπε, καὶ ὁ Χριστὸς ὁμοίως. οὐ γὰρ ὁ Χριστὸς τὴν ἑαυτοῦ ἐκκλησίαν ᾠκοδόμησεν ἄχρι τῆς ζωῆς τοῦ Πέτρου ἀλλὰ μέχρι τῆς συντελείας τοῦ αἰῶνος. καὶ παρὰ ταῦτ' ἀρχηγὸς ἦν τῶν ἀποστόλων ὁ Πέτρος τὸ κηδεμονικὸν ἔχειν τῶν ἄλλων κατὰ τὸν θεῖον Χρυσόστομον. οἱ δὲ ἐπίσκοποι διὰ Πέτρου, ἀμέσως, ἢ ἐμμέσως λαβόντες ἔχουσι τὴν ἐξουσίαν. τὸ γὰρ λῦσαι τὰ ἁμαρτήματα, ἴδιόν ἐστι τοῦ Θεοῦ, τοῦτο ἐχαρίσατο ὁ Χριστὸς τῷ Πέτρῳ, ὡς ἀποδείκνυσι ὁ Χρυσόστομος ἐν τῇ νδ. ὁμιλ. τῇ κατὰ Ματθαῖον, ὁ Πέτρος τοῖς ἐπισκόποις, ὡς μαρτυρεῖ Γρηγόριος ὁ Νύσσης, οὗ τὴν μαρτυρίαν προὐθήκαμεν. Οἱ δὲ πατριάρχαι, ὅτι περ αὖ ἔχωσιν ἐκ τοῦ Πέτρου, ἢ τῶν διαδόχων τοῦ Πέτρου νομίμως ἔχουσι. Τανῦν δὲ οὐδὲν ὅλως ἔχουσι νεκροὶ ὄντες τοῦ μυστικοῦ σώματος, καὶ μὴ ἐπιγινώσκοντες τοὺς διαδόχους τοῦ Πέτρου. Πάλιν ὅταν ὁ Χριστὸς λέγῃ, ἐδεήθην περὶ σοῦ ἵνα μὴ λείψῃ ἡ πίστις σου ἐνταῦθα ὡς τῆς πίστεως ἐκλελοιπυίας, τὸν Ὀνώριον καὶ ἄκοντα αἱρετικὸν πλάττουσι.

Καὶ σημείωσαι ὅτι ταῦτα ἔχων τὰ προνόμια ὁ θρόνος τοῦ Πέτρου, οὐδέποτε ἔσφηλεν, οὐδὲ ἐκπέπτωκε τῆς ὀρθοδοξίας,

extra ordinẽ erant ad tempus, quamdiu durabat ipsorũ vita, non tamẽ cum successione. Non enim poterãt relinquere alios loco ipsorum. Quippè haberemus duodecim Patriarchas, imò Vicarios Christi, & Apostolorũ successores, & vnà cũ Paulo Tertiumdecimũ. At verò Petrus non ad tempus, sed vsque ad cõsummationẽ sæculi cum successione, & eos, qui reperiuntur Patriarchæ, Alexandrinũ, & Antiochenum, ipse cõstituit, non tamen cum suprema potestate quę ipsi cõuenit. Neq; volens potuisset istud efficere, Ecclesiã, quam vnã & solam Christus ostẽdit, bicipitẽ constituere, qualẽ posteà Anatolius, & Patres, qui Chalcedone fuerũt, quamuis nõ omnes, efficere voluerũt, dum æqualia priuilegia Cõstantinopolitano concedunt. Petrus verò quantũ habuit potestatis, & spectat ad gubernandã totã Christi Ecclesiam, & totũ ouile, totũ id Successoribus reliquit, & Christus similiter. Non enim Christus suam Ecclesiã ædificauit vsq; ad finẽ vitæ Petri, sed vsq; ad cõsummationẽ sęculi; & pręter hoc priuilegium, est Princeps Apostolorũ Petrus, & curã aliorũ habet secundũ Chrysostomũ. Episcopi verò per Petrũ, immediatè, vel mediatè acceperunt, quã habẽt potestatem. Etenim soluere peccata propriũ est Dei, id Christus donauit Petro, vt probat Chrysostomus in 44. homil. super Matthæũ: Petrus Episcopis, vt testatur Gregorius Nissenus, cuius locum attulimus supra. Patriarchæ autẽ quicquid habent, à Petro, vel successoribus Petri legitimè habent. In præsentia verò nihil omninò habent, cum sint mortui à mystico corpore separati & non agnoscãt Successores Petri. Rursus, quando Christus dicit, rogaui pro te vt non deficiat fides tua, hic tanquam, fide Petri deficiẽte, Honorium vel inuitum hæreticum fingunt.

Et nota, quod hæc priuilegia cum habeat Sedes Petri, nunquam errauit, neque recidit ab orthodoxia; aliorum

αἱ δὲ τῶν ἄλλων ἀποστόλων ἐκκλησίαι μὴ ἔχουσαι τὴν ὑπόσχεσιν τοῦ Χριστοῦ ἐκλελοίπασιν. εἰ γὰρ εἶχον, ἔτι καὶ νῦν μέχρι τοῦ σήμερον ὁ τῶν Ἱεροσολύμων θρόνος Ἰακώβου, ἔμενεν ἂν, τοῦ Ἰωάννου ἐν Ἐφέσῳ, τοῦ Ματθαίου ἐν τῇ αἰθιοπίᾳ, τοῦ Ἀνδρέου παρὰ τοῖς Σκύθαις.

Πάλιν ὅταν λέγῃ, καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου, οὗτοι τοὺς διαδόχους τοῦ Πέτρου ἐπὶ τὸ ἑαυτῶν σχίσμα καὶ αἱρέσεις τολμηρῶς πειρῶνται παρατρέψαι, καὶ ἐπὶ τὸ κακὸν ἐπιστηρίξαι, μὴ βουλόμενοι ἐν τοῖς ὑγιέσι δόγμασιν ὑπ᾽ αὐτοῦ στηριχθῆναι. ταῦτα ἐστὶ τὰ τερετίσματα τῶν σχισματικῶν καὶ αἱρετικῶν. καὶ περὶ τούτων ἅλις.

Ἵνα δὲ φανερῶς γνωρίσωμεν τὴν ἀνωτάτω ἐξουσίαν τοῦ ἄκρου ἀρχιερέως τῆς Ῥώμης, πάλιν αὖθις ἐξυπαρχῆς λέγωμεν καὶ ἐπισημειώμεθα. χρὴ γὰρ εἰδέναι, ὅτι ἄλλο ἐστὶν εἶναι ἀπόστολον, καὶ ἄλλο εἶναι ἐπίσκοπον, καὶ μαρτυρεῖ Παῦλος γενόμενος ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ δι᾽ ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρὸς, καὶ ὅμως ἐν ταῖς πράξεσι τῶν ἀποστόλων κεφ. ιγ. διὰ ἐπιθέσεως τῶν χειρῶν, Παῦλος μετὰ τοῦ Βαρνάβα χειροτονεῖται ἐπίσκοπος, καὶ τοιουτοτρόπως, ὅτι ὁ χρυσόστομος περὶ τοῦ ἀποστόλου φησὶν αὐτὸν μεταλλάξαι τὸ ἑαυτοῦ ὄνομα Σαῦλος ὁ καὶ Παῦλος. ὅτι δὲ Ἰάκωβος ὁ μικρὸς ὁ ἀδελφόθεος, εἷς ἦν τῶν δώδεκα ἀποστόλων, ἄλλως γὰρ τὸν ἀριθμὸν τῶν ἀποστόλων οὐκ ἂν σώζον ἑόρταζεν ἡ τοῦ Θεοῦ ἐκκλησία. τοῦτον Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης ἐχειροτόνησαν ἐπίσκοπον τῶν Ἱεροσολύμων. ἐκ τούτων δὲ συνάγεται καὶ τοὺς ἄλλους ἀποστόλους χειροτονηθῆναι ἐπισκόπους. ὅθεν Λέων ὁ μέγας ἐν τῷ γ. λόγῳ τῆς ἑαυτοῦ ἀναβάσεως, εἴ τι, φησὶ, μετ᾽ αὐτοῦ (τοῦ Πέτρου) κοινὸν εἶναι τοῖς ἄλλοις ἄρχουσιν ἐβούλετο, μηδέποτε, εἰ μὴ δι᾽ ἑαυτοῦ δέδωκεν, ὅτι ἂν τοῖς ἄλλοις οὐκ ἠρνήσατο. καὶ ἐν τῇ ἐπιστολῇ πθ. τούτου τοῦ ἔργου τὸ μυστήριον. οὕτως ὁ Κύριος πρὸς ἅπαντας τοὺς ἀποστόλους ἀνήκειν ἠθέλησεν, ὥστε ἐν τῷ μακαρίῳ Πέτρῳ πάντων τῶν ἀποστόλων κορυφαίῳ,

rum verò Apostolorum Ecclesiæ, cum non habeant pollicitationem Christi defecerunt. Si enim habuissent, adhuc in hanc vsque diem Hierosolymorum Thronus Iacobi remansisset, Ioannis in Epheso, Matthæi in Aethiopia, Andreæ apud Scythas.

Rursus quando dicit, & tu aliquando conuersus confirma fratres tuos, hi Successores Petri ad ipsorum schisma, & hæreses audacter conantur peruertere, & in malo confirmare, cum nolint in dogmatibus sanis fidei ab ipso confirmari. Hæ sunt cantilenę Schismaticorum, & Hæreticorum. & de his hactenus.

Vt autem manifestè declaremus supremam potestatem Summi Pontificis Romani, rursus à principio dicimus, & notamus, opus est enim scire quod aliud sit esse Apostolum, & aliud esse Episcopum; testaturque Paulus factus Apostolus non ab hominibus, neque per homines, sed per Iesum Christum & Deum Patrem, & nihilominus in Actibus Apostolicis capite decimo tertio. per impositionem manuum Paulus vnà cum Barnaba ordinatur Episcopus, & tali modo, quod Chrysostomus de Apostolo asserit, cum immutasset suum nomen, Saulus, qui & Paulus. Præterea Iacobus paruus Dei Frater, vnus erat ex duodecim Apostolis, aliter enim, numerum Apostolorum non integrum celebrasset Sancta Dei Ecclesia. Hunc Petrus & Iacobus, & Ioannes ordinarunt Episcopum Hierosolymorum. Ex his verò colligitur cæteros quoque Apostolos ordinatos fuisse Episcopos. Vnde magnus Leo in tertia oratione suæ ascensionis, si quid inquit, cum ipso (Petro) alijs Principibus commune esse voluit, nunquam nisi per ipsum dedit, quidquid alijs non negauit, & in epistola 89. huius muneris mysterium Dominus ad omnium Apostolorum officium pertinere voluit vt in Beato

κυριωτέρως ἐνθεῖναι. ἵνα δι' αὐτοῦ οἱονεὶ κάρας τὰ ἑαυτοῦ χαρίσματα πρὸς ἅπαν τὸ σῶμα ἐκχυθῇ. καθάπερ οὖν ὁ Χριστὸς τὴν ἑαυτοῦ μητέρα ἐν ταῖς γυναιξὶ μόνην ἐβάπτισε, καὶ τοῖς ἀνδράσι μόνον τὸν Πέτρον, ὁ δὲ τὸν Ἰωάννην ἐβάπτισεν, οὗτοι δὲ τοὺς λοιποὺς, ὅπερ μαρτυρεῖ Εὐόδιος ἐν τῇ ἐπιστολῇ τῇ ἐπιγραφομένῃ φῶς, ὡς φησιν Εὐθύμιος ἐν τῷ γ. κεφ. τοῦ κατὰ Ἰωάννην. καὶ Νικηφόρος ἐν τῷ β. βιβ. κεφ. γ., οὕτω καὶ τὸν Πέτρον μόνον, ὁ Χριστὸς ἐχειροτόνησεν, ἐν τῷ δείπνῳ πάντας τοὺς ἀποστόλους πρεσβυτέρους χειροτονήσας ἐν τῷ εἰπεῖν, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ εἰ μὴ ἐχειροτόνησε τὸν Πέτρον ἐπίσκοπον, οὐδένα εἴχομεν ἄν. διὸ καὶ Ἰούλιος ὁ Πάπας ἐν τῇ ἐπιστολῇ πρὸς τοὺς ἀνατολικοὺς οὐδεὶς φησιν ἑαυτῷ ἁρπάζειν ὀφείλει, ἃ μηδεὶς αὐτῷ δέδωκε. τούτου δὲ τοῦ ἐγκλήματος οὐκ ἂν ἦτε ἔνοχοι εἴπερ ὅθεν λαμβάνετε τῆς τιμῆς τὴν ἀφιέρωσιν, ἐκεῖθεν καὶ τῆς παραφυλακῆς ἁπάσης τὸν νόμον παρελαμβάνετε, καὶ ἡ καθέδρα τοῦ μακαρίου ἀποστόλου Πέτρου, ἥ τις ὑμῖν ἐστὶ μήτηρ τῆς ἱερατικῆς ἀξίας, ὑπῆρχε καὶ διδάσκαλος τῆς ἐκκλησιαστικῆς πολιτείας. Καὶ Ἰννοκέντιος ὁ πρῶτος ἐν τῇ ἐπιστολῇ πρὸς τὴν σύνοδον τὴν ἐν Καρθαγένῃ ἥ τις φέρεται ἐννενηκοστὴ πρώτη ἐν ταῖς ἐπιστολαῖς τοῦ ἁγίου Αὐγουστίνου, φάσκει, ἀφ' οὗ (Πέτρου) αὐτὴ ἡ ἐπισκοπὴ, καὶ πᾶσα ἡ ἐξουσία τούτου τοῦ ὀνόματος ἐβλάστησεν. ὁ αὐτὸς πρὸς τὴν σύνοδον τῶν Μιληβιτάνων, ἥ τις φέρεται ἐννενηκοστὴ τρίτη ἐπιστολὴ παρὰ τῷ Αὐγουστίνῳ. ὁσάκις ὁ λόγος τῆς πίστεως κωδωνίζεται, νομίζω πάντας τοὺς ἡμετέρους ἀδελφοὺς καὶ συνεπισκόπους μηδένα πρὸς ἄλλον, εἰ μὴ πρὸς Πέτρον τοῦ ἰδίου ὀνόματος καὶ τῆς τιμῆς αἴτιον ἀναφέρειν ὀφείλειν. Ἀνάκλητος ἐν τῇ α. ἐπιστολῇ, ἐν τῇ καινῇ διαθήκῃ, φησὶ, μετὰ Χριστὸν ἀρχὴν ἔλαβεν ἀπὸ τοῦ Πέτρου ἡ ἱερατικὴ τάξις, Ὁ ἱερομάρτυς Κυπριανὸς ἐν τῷ δ. βιβ. τῶν ἐπιστολῶν, ἐπιστολῇ η. τὴν Ῥωμαΐκὴν ἐκκλησίαν εἶναι, φησὶ, μητρόπολιν, καὶ ῥίζαν πάσης τῆς καθολικῆς ἐκκλησίας.

Γρηγόριος ὁ Νύσσης ἐν τῷ λόγῳ πρὸς τοὺς ἀχθομένους ταῖς ἐπιτιμήσεσι. Οὐδὲν ψεῦδος ἐν εὐαγγελίοις γέγραπται

Petro omnium Apostolorum summo principaliter collocaret, vt ab ipso quasi quodam capite dona sua velut in corpus omne defunderet. Quemadmodum igitur Christus suam matrem ex mulieribus solam baptizauit, sic etiam inter homines solum Petrum Baptismo tinxit, Petrus verò, Andream, Iacobum & Ioannem baptizauit, hi verò reliquos, quod testatur Euodius in Epistola quę inscribitur Lumen, vt ait Euthymius in tertio capite Ioannis, & Nicephorus in secundo libro, capite tertio, ita etiam Petrum solum Christus ordinauit, cum prius in cœna omnes Apostolos Sacerdotes ordinasset, quando dixit; hoc facite in meam commemorationem, & nisi ordinasset Petrum Episcopum, nullum Episcopum haberemus, vnde Iulius Papa in epistola prima ad Orientales rectè dixit, quam culpam incurrere non potuissetis, si vnde consecrationis honores accipitis, inde legem totius obseruantiæ sumeretis, & Beati Apostoli Petri sedes, quæ vobis Sacerdotalis mater est dignitatis, esset Ecclesiastica magistra rationis. & Innocentius Primus ad Concilum Cartaginense quæ est *91.* inter epistolas Augustini: à quo (Petro) ipse Episcopatus, & tota auctoritas nominis huius emersit. Proptereà, in epistola ad Concilium Mileuitanum, scribit, quæ est *93.* inter epistolas Augustini: Quoties fidei ratio ventilatur, arbitror omnes fratres & coepiscopos nostros, non nisi ad Petrum, idest sui nominis, & honoris Auctorem deferre debere. Anacletus in prima epistola dicit, in Nouo testamento post Christum à Petro Sacerdotalis cœpit ordo; Cyprianus in quarto lib. epistolarum epistola 8. Romanam Ecclesiam dicit esse Matricem & radicem totius Catholicę Ecclesiæ.

Gregorius Nyssenus in oratione ad eos qui pœnas quas imponunt pœnitentibus ægrè ferunt: Nihil falsi,

οὐδὲ περιέρρησις τοῦ Χριστοῦ ἐσφαλμένην ἔχει τὴν ἔκβασιν, διὰ Πέτρου ἔδωκε τοῖς ἐπισκόποις τὴν κλεῖδα τῶν ἐπουρανίων τιμῶν (σημείωσαι) γίνωσκε ὅτι λυθεὶς, λέλυσαι, καὶ δεθεὶς τοῖς ἀοράτοις δεσμοῖς κατασφίγγῃ. συμφωνεῖ τῷ Γρηγορίῳ ὁ θεῖος Χρυσόστομος ἐν τῇ νδ. ὁμιλ. τοῦ κατὰ Ματθαῖον. ἃ γὰρ, φησὶ, Θεοῦ μόνον ἐστὶν ἴδια, τὸ τὰ ἁμαρτήματα λῦσαι, ταῦτα αὐτῷ ἐπαγγέλλεται δώσειν. σημείωσαι ὅτι ὁ Πέτρος λύει τὰ ἁμαρτήματα, καὶ παρ᾽ αὐτοῦ ἔλαβον τὴν ἐξουσίαν οἱ ἐπίσκοποι, ὥς φησιν ὁ Νύσσης. Ἐπεὶ ἦν μία ποίμνη ἐστὶ τοῦ Χριστοῦ, εἷς ἐστὶν ὁ βλεπόμενος ποιμὴν, πρὸς ὃν λέγει ὁ Χριστὸς, Πέτρε ποίμανε τὰ πρόβατά μου. εἰ γὰρ ἦσαν δώδεκα ποιμένες, οὐκ ἂν εἴη ποίμνη, ὥστε ἀνάγκη φᾶναι τοὺς λοιποὺς τῶν ἀποστόλων παρὰ τοῦ Πέτρου λαβεῖν τὴν ποιμαντικὴν ῥάβδον τῶν ἐπισκόπων. καὶ τὸ μὲν εἶναι ἀποστόλους παρὰ τοῦ Χριστοῦ ἔλαβον, τὸ δὲ εἶναι ἐπισκόπους παρὰ τοῦ Πέτρου, ὁ δὲ Πέτρος παρὰ τοῦ Χριστοῦ. καὶ ὡς ἀπόστολοι τρεῖς χάριτας εἴτουν προνόμια εἶχον, πρῶτον, ἀμέσως εἶναι πεφωτισμένοι παρὰ τοῦ Θεοῦ, καὶ κηρύττειν τὸ εὐαγγέλιον, ὥστε δύνασθαι καὶ ἀθένειν γραφὴν συντιθέναι. καὶ τοῦτο ὁμολογοῦμεν μὴ ἁρμόζειν τοῖς διαδόχοις τοῦ Πέτρου. οὐ γὰρ ἀνάγκη καθ᾽ ἑκάστην γίνεσθαι ἀποκαλύψεις, καὶ θείας γραφάς. Δεύτερον θεμελιῶσαι τὴν πίστιν, ὅπου πρότερον οὐκ ἦν τεθεμελιωμένη, τῷ χειροτονῆσαι ἐπισκόπους, καὶ καθιστᾶν ἐκκλησίας.

Τρίτον οἱ ἀπόστολοι ἅτε τοιοῦτοι εἶχον ἐξουσίαν ἁπανταχοῦ τῆς γῆς, καὶ τοῦτο ἁρμόδιον ἐστὶ τοῖς διαδόχοις τοῦ Πέτρου. καὶ ἡ πεῖρα τοῦτο δείκνυσι παρὰ τοῖς Αἰθίοψιν Ἰνδοῖς, τῆς Σίνης, τοῦ Ἰαπῶνος, καὶ τῆς δυτικῆς Ἰνδίας ἐν ἀπείροις καὶ ἐπιμηκύστοις νήσοις. διὰ τοῦτο καλοῦνται οἰκουμενικοὶ ποιμένες καὶ ἀρχιερεῖς τῆς καθολικῆς ἐκκλησίας, ὡς ἔστιν ἰδεῖν ἐν τῇ γ. πράξει τῆς ἐν Χαλκηδόνι συνόδου, ἐν ᾗ ἀναγινώσκονται τρεῖς ἐπιστολαὶ τῶν Γραικῶν πρὸς Λέοντα τὸν μέγαν, μετὰ τοῦ ἐπιθέτου, τοῦ οἰκουμενικοῦ, καὶ ἐν τῇ αὐτῇ συνόδῳ ὁ Θεοδώριτος καὶ ὁ Μάξι-

aut mendacij scriptum est in Euangelijs, neque Christi prædicatio exitum fallacem habet. Per Petrum Episcopis dedit clauem cœlestium honorum (notæ) agnosce quod solutus, solutus es, & ligatus vinculis inuisibilibus constrictus es, concordat Diuus Chrysostomus cum Nysseno in quinquagesima quarta homilia secundum Matthæum, quæ enim, inquit, solius Dei propria sunt, peccata soluere, hæc ipsi pollicetur se daturum. Nota quod Petrus soluit peccata & ab ipso potestatem acceperunt Episcopi vt ait Nyssenus. Quoniam igitur vnum est Ouile Christi, vnus est visibilis Pastor ad quem Christus, ait, Petre pasce oues meas; Si enim essent duodecim Pastores nôn esset vnum Ouile, quare necesse est dicere reliquos Apostolos à Petro accepisse Pastoralem baculum Episcoporum, & esse quidem Apostolos accepérunt à Christo, esse verò Episcopos à Petro, Petrus verò à Christo, & tanquam Apostoli tres habebant gratias & priuilegia, primam immediatè esse illuminatos à Deo & prædicare Euangelium, vt etiam possent Diuinã scripturam componere. & hoc fatemur non quadrare successoribus Petri, non enim necesse est quotidie fieri reuelationes & Diuinam scripturam; Secundum fundare fidem vbi prius non erat, ordinando Episcopos & cõstituendo Ecclesias.

Tertiũ Apostoli, quippe tàles habebant potestatẽ vbique terrarũ, & hoc conuenit etiam successoribus Petri. experiẽtiaque id probat apud Aethiopas & Sinensia Regna, & Iaponica, & etiã Indiam occidentalẽ, ac ingentes Insulas. Propterea vocãtur Vniuersales Pastores, & Põtifices Ecclesiæ Catholicæ, vt est videre in 3. actione Cõcilij Chalcedonensis, vbi legũtur tres epistolæ Græcorum ad Leonem magnũ cum titulo Oecumenici, hoc est Vniuersalis & in eodem Concilio Theodoretus, &

Ma-

μος τῆς Ἀντιοχείας δεκτοὶ ἐγένοντο τῇ συνόδῳ, διότι ἐδέξατο αὐτοὺς Λέων ὁ μέγας. καὶ ὁ Ζωναρᾶς ἐν τῷ βίῳ τοῦ Ἰουστινιανοῦ γράφει, ὅτι Βιγίλιος τῆς Ῥώμης τὸν Ἄνθιμον τῆς Κωνσταντινουπόλεως πατριάρχην ἐκάθηρε, καὶ ἀντ' αὐτοῦ κατέστησε τὸν Μηνᾶν. καὶ τοῦτο ἀγνοῆσαι οὐκ ἐδυνάτο ὁ Νεῖλος. Ὁ δὲ τῆς Ῥώμης ἀρχιερεὺς ἐστὶν ἐπίσκοπος, ἀρχιεπίσκοπος, πατριάρχης, καὶ Πάπας. συγκρινόμενος μὲν τοῖς ἐπισκόποις, ἐστὶ πρῶτος ἐπίσκοπος, καὶ μετὰ τοῦτον ἔπειτα ὁ τῆς Οσίας, καὶ ξίτος ὁ τοῦ Πόρτου, παραβαλλόμενος δὲ τοῖς ἀρχιεπισκόποις, τῷ Ῥαβέννης, τῷ Μεδιολάνου, καὶ τοῖς λοιποῖς ἐστὶ πρῶτος ἀρχιεπίσκοπος, εἰ δὲ συμβάλλοιτο τοῖς πατριάρχαις τῷ Κωνσταντινουπόλεως, τῷ Ἀλεξανδρείας, τῷ Ἀντιοχείας, τῷ Ἱεροσολύμων, ἐστὶ πρῶτος πατριάρχης. ὡς δὲ πάπας ἐστὶν ἀσύγκριτος, μὴ ἔχων τὸν παραβαλλόμενον. οὐ γὰρ πολυκέφαλος ἡ ἐκκλησία, καὶ ἐστὶ πατὴρ πάντων τῶν πατέρων, καὶ ἀρχιποιμὴν πάντων τῶν ποιμένων, καὶ μόνη κεφαλὴ, πάσης τῆς ἐκκλησίας τὴν κηδεμονίαν ἔχων τῶν ἁπανταχοῦ ἐκκλησιῶν, καὶ τοποτηρητὴς τοῦ Χριστοῦ, καὶ γνήσιος διάδοχος τοῦ Πέτρου. τὴν δὲ Ῥωμαϊκὴν ἐκκλησίαν τῇ δοθείσῃ αὐτῷ ἐξουσίᾳ ἀνήγαγεν εἰς τὸ πρωτεῖον τοῦ ἀρχιερατικοῦ θρόνου. πέντε πρὸς τοῖς εἴκοσιν ἔτεσιν ἐν αὐτῇ διαπρέψας, καὶ καταλύσας τῷ λαμπρῷ μαρτυρίῳ τὸν βίον.

Οἶδα καὶ ἄλλους τούτῳ τῷ ὀνόματι χρωμένους, οἷον εἰπεῖν καὶ ὁ ἅγιος Ἐπιφάνιος περὶ τοῦ Ἀλεξανδρείας φησὶν ὁ πάπας Ἀθανάσιος, καὶ ἄλλοι περί τινων Ἀφρικανῶν οὐ μὴν τὴν σημασίαν τούτου τοῦ ὀνόματος ἀναχυρίζονται. ἅπαντες γὰρ ἐπιγινώσκουσι τὸν ἑαυτῶν γεραίτερον τὸν ἐπίσκοπον Ῥώμης. ὅθεν ὁ ἅγιος Ἰγνάτιος ὁ νέος θεοφόρος καὶ Κωνσταντινουπόλεως πατριάρχης ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος ἐν τῇ ὀγδόῃ οἰκουμενικῇ συνόδῳ κατὰ Φωτίου συγκροτηθείσῃ πρὸς Νικόλαον τὸν Πάπαν Ῥώμης τῆς ἐπιστολῆς οὕτως ἄρχεται.

Maximus Antiochenæ Ecclesiæ fuerunt recepti à Synodo eo quod Leo magnus ipsos acceptasset,& restituisset eis Episcopatus. Et Zonara in vita Iustiniani. Vigilius Romanus Pontifex Anthimũ Constantinopolitanum Patriarcham deposuerat, & in locum ipsius substituerat Menam, idque non poterat ignorare Nilus. Porro Romanus Pontifex est Episcopus, Archiepiscopus, Patriarcha, & Papa; collatus quidem cum Episcopis est primus Episcopus, & eum sequitur Episcopus Ostiensis, & tertius Portuensis; comparatus verò cum Archiepiscopis Rauennati, Mediolanensi, & reliquis, est primus Archiepiscopus. Si verò cõferatur cum Patriarchis, Cõstantinopolitano, Alexandrino, Antiocheno, & Hierosolymitano, est primus Patriarcha. vt verò Papa est incõparabilis, non habens qui conferatur cum illo, non enim est Ecclesia multorum capitum, & est Pater omnium Patrum, & Archipastor omniũ Pastorum & solus caput totius Ecclesię, curam & solicitudinem habens omnium vbique Ecclesiarum, & Vicarius est Christi, & legitimus successor Petri, Romanam verò Ecclesiam concessa sibi potestate in primatum Pontificij Throni euexit cum viginti quinque annis in ipsa conspicuus fuerit & illustri martyrio e vita migrando eam decorauit.

Noui etiam alios qui hoc nomine vtuntur; vt etiam Sanctus Epiphanius qui Alexandrinum Antistitem appellat Papam Athanasium, & alij nominant nonnullos Aphricanos. Non tamen significatum huius nominis propriè vsurpant. Quippe omnes agnoscunt proprium veterem ac præstantem Romanum Pontificem. Vnde S. Ignatius nouus Deifer & Cõstantinopolitanus Patriarcha tempore Basilij Macedonis in octaua Oecumenica Synodo aduersus Photium congregata, ad Nicolaum Romanum Pontificem sic initium exornat Epistolæ.

Igna-

Ἰγνάτιος ὁ τυραννηθεὶς καὶ πολλοῖς πειρασμοῖς προσομιληκὼς, καὶ οἱ σὺν ἐμοὶ τούτων τῶν καιρῶν πεῖραν λαβόντες, δέκα μητροπολῖται, δέκα πρὸς τοῖς
πέντε ἐπίσκοποι, ἡγουμένων δὲ, καὶ πρεσβυτέρων, καὶ ἑτέρων μοναχῶν πλῆθος
ἄπειρον τῷ δεσπότῃ ἡμῶν τῷ
ἁγιωτάτῳ, καὶ μακαριωτάτῳ προέδρῳ, καὶ πατριάρχῃ πάντων τῶν θρόνων, καὶ τοῦ κορυφαίου διαδόχῳ καὶ οἰκουμενικῷ Πάπᾳ, καὶ τοῖς ὑπ' αὐτὸν ἁγιωτάτοις ἐπισκόποις καὶ πάσῃ τῇ σοφωτάτῃ
τῶν Ῥωμαίων ἐκκλησίᾳ ἐν Χριστῷ
χαίρειν.

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, κατὰ τὸ λόγιον, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὰ συμβεβηκότα μοι κακὰ καὶ τὴν τῶν διωκόντων με βαρβάρων ἀπήνειαν; ἐν ψύχει γάρ με καὶ γυμνότητι, καὶ λιμῷ, καὶ παντίοις ἄλλοις κακοῖς, ἐξήτασαν οἱ ἀλάστορες. δεκαπέντε ἡμέρας ἐν καταψύχῳ καὶ τόπῳ καὶ χρόνῳ ἔν τινι παρ' αὐτοῖς ἀπορρήτῳ ἐγκατακλείσαντες δωματίῳ ἀδαπανόντε καὶ ἀνεπισκόπητον κατεδέσμευσαν, καὶ ταῦτα νόσῳ βαρείᾳ προκατειλημμένον. αἰκίζοντές τε δεινῶς καὶ πᾶν μέλος συνθλῶντες ῥάβδοις, ὅθεν δὲ ταῦτα μοι συνεκέρασεν ἰδοὺ γράφω.

Προϋπῆρχον ἐν πάλῃ καὶ μάχῃ πρὸς τὸν τοῦ βασιλέως θεῖον Βάρδαν τὸν τυραννήσαντα, καὶ παίων τοῖς τοῦ πνεύματος λόγοις οὐκ ἐπαυόμην, ἀντετυπτόμην δὲ ταῖς ἀπειλαῖς καὶ ἐπιβουλαῖς. Ἡ δὲ αἰτία ὅτι ἤλεγχον τοῦτον διὰ τὴν Ἡρωδιακὴν χαμαιτυπίαν, καὶ μὴ πειθόμενον, ἔξω ἐθέμην τῆς ἐκκλησίας. ἐπὶ τούτοις ὁ κρατῶν ποτὲ μὲν ἐδυσώπει, ποτὲ δ' ἠπείλει δεινά. εἰ μὴ πείθοιμι δέξασθαι τὸν θεῖον αὐτοῦ, ὡς δὲ τούτῳ πεισθεὶς ὁ κρατῶν ἠβουλήθη τὴν μητέρα, καὶ τὰς ἀδελφὰς ἐξοστρακίσαι τῶν βασιλείων, ἐγχειρεῖται μοι

κεῖραι

Ignatius Tyrannide oppreſſus, multis ęrumnis conflictatus, iuxtaque mecum infelicium temporum Metropolitani decem, & quindecim Epiſcopi, Cœnobiarcharum inſuper & Presbyterorum, Monachorumque infinita multitudo, Sanctiſſimo Domino noſtro & Beatiſſimo Præſidi Patriarcharum Patriarchæ, Sancti Petri Principis Apoſtolorum ſucceſſori Papæ œcumenico, Epiſcopisq; illius Sanctiſſimis, & Sapientiſſimæ Eccleſiæ Romanæ Vniuerſæ in Domino Salutem.

QVis dabit capiti meo, vt eſt in ſacris literis, aquã, & oculis meis fontem lacrymarum, & deplorabo mala quæ acciderunt mihi, & eorum qui me perſequuntur barbaricam immanitatem, frigore enim, & nuditate, fameque & extremis malis omnibus infeſti me hoſtes, & alaſtores exagitarunt. Quindecim ipſos dies acerrimo frigore, locoq; gelidiſſimo, ergaſtulo me occulto tenebricoſoq; rebus deſtitutum omnibus incluſerunt, vinculisq; conſtrinxerunt, morbo iam alias graui laborantem, crudelem inſuper in modum cruciarunt, omneſque artus meos verberibus afflixerunt. Cauſam porrò, ex qua hæc mala in me redundarunt, ecce iam totam expono.

Verſabar in paleſtra & lucta cum Imperatoris auunculo imperium affectãte Barda, quẽ ego gladio Spiritus ſeu verbo Dei euerberare non deſinebam, qui cõtra me minacijs, inſidijſq, appetebat. Argumẽtum & cauſa reprehenſionis erat Herodiacum in Barda exemplũ & inceſtus. Bardam enim cõtumacem, neq; reſipiſcentem ab Eccleſia reieci. Deinde Imperator ipſe quidoq; pro illo

χεῖρας αὐτὰς, ἐγὼ δὲ οὐκ ἐπιθόμην διὰ τὸ τῶν γυναικῶν περὶ τὴν κουρὰν ἀκούσιον. διὰ ταῦτα γοῦν καὶ τῆς ἐκκλησίας ἀπηλάθην, εἶτα καὶ ἐτυπτήθην, καὶ ἐξωρίσθην, καὶ δέδεμαι, καὶ κέκλεισμαι περὶ τῆς τῶν καθ' ὑμᾶς κριτῶν ἐνδημίας. καὶ οἱ σὺν ἐμοὶ δὲ ταῦτα πεπένθασιν. αἱ δὲ παρ' ἡμῶν δοθεῖσαι τοῖς ἐπισκόποις ἔγγραφοι πίστεις, ἤγουν ἐπιστολαὶ διὰ τοῦ πρεσβυτέρου Λαυρεντίου, καὶ τῶν δύο Στεφάνων τοῦ τε ὑποδιακόνου. καὶ τοῦ λαϊκοῦ. οὓς καὶ ἐνορκώσαμεν ταῖς χερσὶ τῆς σῆς ἁγιότητος αὐτὰς ἀποδοθῆναι, ἄπρακτοι μεμενήκασιν, ὡς δὲ παραστῆναι ἐκελευόμεθα εἰς τὸ Καϊαφαϊκὸν ἐκεῖνο κριτήριον, ἐκράξαμεν ἐπὶ τῆς ὑμῶν ἁγιότητος προσκαλούμενοι κριθῆναι. ἀλλ' οὐδεὶς ἦν ὁ ἀκούων. μετὰ τοῦτο μετάκλητοι πάλιν γενόμενοι ἠρωτήσαμεν πῶς κελεύετε ἡμᾶς ὦ πατέρες πρὸς ὑμᾶς παραγενέσθαι, ὡς μοναχοὺς ἢ καταδίκους, ἢ ὡς κριθησομένους; ἀντέπεμψαν ἡμῖν, ὡς ἐστὲ ἄξιοι. ἐφορέσαμεν οὖν τὰς ἱερατικὰς στολὰς, καὶ οὕτως ἐχωροῦμεν πρὸς τὸ συνέδριον, ἢ μᾶλλον εἰπεῖν λῃστήριον, καὶ ὡς πλησίον ἐγεγόναμεν, πέμψας ὁ τύραννος ἐπὶ τοῦ λεωφόρου τὴν ἱερὰν ἀπέδυσε στολήν. εἶτα ὡς ἔνδον τοῦ νεῶ συνωθίσθημεν, ἀπεστέλλοντο πρὸς ἡμᾶς οἱ προρρηθέντες τρεῖς τῶν κριτῶν ὑπηρέται ὅ τε Λαυρέντιος. καὶ οἱ δύο Στέφανοι. καὶ εἶπον τί ὅτι κατεγνωσμένος ἐπὶ τοσαύταις αἰτίαις καὶ καθῃρημένος τὴν ἱερὰν ἐτόλμησας περιβαλέσθαι στολήν; ἀποστάντες οὖν με τῶν σὺν ἐμοὶ βίᾳ, μόνῳ τῷ κρατοῦντι παρέστησαν. καὶ ὁ κρατῶν εὐθὺ ὕβρεσι πλύνει με. ἐμοῦ δὲ φιλανθρωποτέρας τὰς ὕβρεις τῶν βασαίων εἰπόντος, μικρὸν κατέπαυσε τὸν θυμόν. καὶ εἰς ξυλόστρωμνον καθεσθῆναι με ἐκέλευσεν, ἢ διαλόγου μεταξὺ γεγονότος, Ρωμυάλδον, ἢ Ζαχαρίαν ἐζήτουν προσαγορεῦσαι τοὺς σοὺς τοποτηρητὰς, καὶ ἐνδοθέντος μοι προσηγόρευσα. οὓς καὶ ἠρόμην τὴν ἐπιδημίας τῆς σφῶν αἰτίαν, οἱ δὲ εἶπον τοποτηρηταὶ ἐσμὲν Νικολάου Πάπα Ῥώμης, καὶ ἀπεστάλημεν κρῖναι τὰ κατὰ σέ. πάλιν ἠρόμην εἰ γράμματα κεκομίκασι τῆς ἁγιωσύνης σου,

deprecabatur, quandoq; atrociter minabatur, nisi auunculum in gratiam reciperem. Postquam verò impulsus à Barda statuit matrē cum sororibus à Palatio submouere, præcepit mihi vt illas attonderē, quas ego inuitas tondendas non existimaui. Has ergo ob causas à throno deturbatus sum, & pulsatus atq; eliminatus, & in custodia, vinculisq, cum ijs, qui mecum fuere, senseruntq, eadem passis, detentus ante Iudicū vestrorum aduentum. Cum autē ad vos literas, quibus Episcopos statū rerum omniū docebant, per Laurentiū Presbyterum, & duos Stephanos dedissemus (quorum alter Subdiaconus alter laicus erat) illos etiam sacramento adegimus, vt eas ipsi manu sua tuæ Sanctitati porrigerent, nihil egere. Nos verò vt iussi sumus ad tribunal, Caiphano non absimile cōparere, ad Sanctitatis tuæ iudicium magno clamore prouocauimus. Sed non erat qui nos audiret. Alio deinde tempore rursus citati rogauimus. Quomodo nos ò Patres iubetis comparere, an vt monachos & damnatos an vt damnandos? Qui renunciarunt perinde, vt digni vobis videmini. Sacro igitur ornatu induti ad Concilium immo latrocinium dicas, processimus, cumq; iam prope ab essemus submisit tyrannus in publicam viam vt sacras vestes poneremus. Cumq; iam ad templū protrusi essemus, tres iudicū viatores, & duo illi sęui Stephani ad nos mittūtur qui ad me: Quid tu, inquiūt tot ob crimina damnatus, ex auctoratusq; sacrā stolam tamē ausus es induere? Ergo me per vim à meis auulsum solum ad Imperatorem sistūt, qui me cōtumelijs ex templo onerat. Respondente porrò me, cōuitia paulò mitiora esse tormētis, paululum repressit furorē iussitq; in ligneo scamno me sedere, collato interim Cōsilio, rogaui vt Rodoaldū, & Zachariā legatos tuos liceret mihi salutare, factaq; potestate, eos cōsalutaui, atq; interrogaui quid adessent? legati inquiūt

 sumus

οὐδὲ εἶπον μὴ ἔχειν. διὰ τὸ μηδὲ πρὸς πατριάρχην ἔρχεσθαι. ἀλλὰ πρὸς τὸν ἀπὸ τῆς οἰκείας συνόδου καθαιρεθέντα· καὶ ἕτοιμοί ἐσμεν τὰ κατὰ κανόνας πράττειν, οὐκοῦν ἔφην ἐγώ, πρότερον ἐκ μέσου τὸν μοιχὸν ποιήσατε. εἰ δὲ μὴ τοῦτο δύνασθε, οὐδὲ κριταί ἐστε. ἐκεῖνοι δὲ ἀντέφησαν πάλιν δείξαντες τῇ χειρὶ τὸν κρατοῦντα, οὕτως θέλει ἐκεῖνος. ἐπὶ τούτοις πρὸς παράκλησιν μετέπεσον οἱ περὶ τὸν βασιλέα, καὶ τὴν ἀπόταξιν ἐζήτουν ποτὲ μὲν παραινοῦντες, ποτὲ δὲ καὶ ἀπειλοῦντες. ἀλλ' οὐκ ἔπειθόν με· διὸ καὶ πρὸς τοὺς μητροπολίτας ἐτράπησαν, ἄλλους ἄλλως διαβάλλοντες καὶ αἰτιώμενοι, ὅτι τὴν ἀπόταξιν τὴν ἐμὴν τάχα αὐτοὶ ἔφερον. καὶ πῶς πάλιν ζητοῦσι με πατριάρχην, καὶ πρὸς οὓς οἱ μητροπολῖται ἀντεῖπον, ὅτι δύο κακῶν προκειμένων τοῦ τε βασιλικοῦ θυμοῦ καὶ τῆς τοῦ πλήθους ἐπαναστάσεως, τὸ κουφότερον ἐξελεξάμεθα τότε. ἀλλ' ὑμεῖς οἱ περὶ τὸν βασιλέα ἀπόδοτε τὸν θρόνον τῷ πατριάρχῃ, καὶ περὶ ἡμῶν μὴ φροντίσητε. ἀλλ' ἐν τούτοις πάλιν πρὸς παράκλησιν ἐχώρουν οἱ βασιλικοὶ αἰτοῦντες ἐμὲ καθαρῶς ἀποτάξασθαι. καὶ οὕτως τὸν μοιχὸν τὴν ἐκκλησίαν ἀδεῶς κατέχειν. ὡς δὲ οὐκ ἐπειθόμην, ἀπῆλθεν ἡ ἡμέρα ἐκείνη. ἐπὶ τούτοις διελύθη τὸ σύστημα. τὸ αὐτὸ δὲ ἐπὶ πολλὰς ἡμέρας ἐποίουν. ὡς δὲ τοῦ σπουδαζομένου ἀπέτυχον, ἐπὶ ἕτερον μηχανῆς εἶδος τρέπονται. καὶ τοὺς προῤῥηθέντας τῶν κριτῶν λειτουργοὺς πέμψαντες εἰς τὸ συνέδριον προσκαλοῦνταί με, ἐγὼ δὲ ἔφην, ὅτι κἀκεῖ οὐκ ἔρχομαι. οὐδὲ γὰρ οἶδα ὑμᾶς τοὺς κριτὰς καὶ βαθμὸν ἐκκλησιαστικόν τι πράττοντας, ἐπεὶ οὐδὲ τὸν ἐπιβήτορα ἐκ μέσου πεποιήκατε, ἀλλὰ μᾶλλον καὶ συνεσθίετε τούτῳ καὶ τὰ δῶρα αὐτοῦ μακρόθεν ἐδέξασθε. καὶ γὰρ τὴν Ῥαιδεστὸν ὑμῖν αὐτὰ ἀπηντήκασιν ἱμάτιά τε, καὶ φελόνια, καὶ ἐγκόλπια, ὑμᾶς κριτὰς τοιούτους οὐ δέχομαι, ἀλλὰ πρὸς τὸν Πάπαν με ἀπάγετε κἀκεῖθεν τὴν κρίσιν ἀσμένως δέχομαι. Τοῦτο καὶ οἱ σὺν ἐμοὶ πάντες ἐξεβόησαν. εἶτα τὰς προδηλωθείσας ἐπιστολὰς ἀναγνῶναι ἐζητήσαμεν αὐτούς.

κανο-

ſumus Nicolai Papæ Romani cauſæ tuæ cognoſcendæ gratia miſſi. Quærenti rurſum, an à Sanctitate tua literas haberent, reſponderunt nullas ſe habere, eò quod, inquiũt, non ad Patriarcham, ſed iam in prouinciali Cõcilio ſuo damnatum veniremus parati omnia ex Canonũ decretis definire. Quamobrem, inquam, non prius adulterum ex medio remouetis? quod ſi facere non poteſtis, iudices non eſtis, qui manu Imperatorem indigitantes ita imperat, inquiunt, ille. Deinde Palatini ad me cõuerſi ſolantur, exiguntque nunc blandiendo, nunc minitando abdicationẽ; ſed fruſtra fuerunt. Ergo ad Metropolitanos verſi alios alijs, atque alijs calumnijs & criminationibus inſectati ſunt, cur qui prius exauctorationem meã probauiſſent, nunc denuò me Patriarcham peterẽt? Quibus Metropolitæ, duobus, inquiũt, malis propoſitis, ita nempe Imperatoris ac populi ſeditione, minus ſcilicet elegimus. Enimverò vos Palatini Proceres reddite nũc Patriarchæ noſtro dignitatẽ ſuam, & de nobis nihil laborate. Hic rurſum Regia factio me impellit, vt mea volũtate ſponteq; animi me Patriarchatu abdicem, adulteroq; Eccleſiam ſecurò occupandã tradam: Recuſante me cum dies abijſſet, cõuentus eſt dimiſſus. Idem poſteà cum fruſta ſæpius tentaſſent, ad alias artes ſe conuertũt, ſupraq; nominatos Iudicũ miniſtros ad me allegant, atq; ad cõciliabulum citãt. Ego verò, inquio, non compareo, neq; video Iudices quidquam ex præſcripto Eccleſię facturos, Photio tyranno non eiecto, qui cum etiam cõmunicaſſent, atque ad menſam accubuiſſent, muneraque ab illo iam diu accepiſsẽt. Ad Rhædeſtũ enim Vrbem vobis miſſæ veſtes, phelonia, torques. Huiuſcemodi ergo Iudices non agnoſco: ad Papam prouoco, illius Iudicium lubens ſubibo. Hæc vnà mecum Symmiſtæ mei magna voce clamitarunt. Deinde declaratas antea epiſtolas legi

peti-

κανονικαὶ γὰρ ἀποδείξεις ἐν αὐταῖς ἐνεφέροντο. τοῦ Ιννοκεντίου Πάπα ὑπὲρ τοῦ ἐν ἁγίοις χρυσοστόμου. ὅτι οὐ δεῖ Ιωάννην εἰς τὸ δικαστήριον εἰσελθεῖν, πρὶν αὐτὸν εἰς τὸν οἰκεῖον ἀποκαταστῆσαι θρόνον. καὶ ὁ ἐν Σαρδικῇ κανὼν δ. ὡς ἐάν τις ἐπίσκοπος καθαιρεθῇ, καὶ λέγῃ πάλιν ἔχειν ἀπολογίας, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ἀντικαταστῆναι, πρὶν ἂν τὸν τῆς Ρωμαίων ἐκκλησίας ἐπίσκοπον, ὅρον περὶ τούτου ἐξενεγκεῖν. καὶ ἕτερα δὲ πολλὰ τοιαῦτα ταῖς ἐπιστολαῖς ἐνεγέγραπτο, ἃ δὲ ζητῆσαι σε δυσωποῦμεν πατέρων καὶ προέδρων αἰδεσιμώτατε, καὶ φιλαδελφότατε καὶ ἀναγνῶναι. ἐπεὶ δὲ καὶ ἔτι ἐνέκειντο ζητοῦντες, ἐλθεῖν ἡμᾶς πρὸς αὐτούς. καὶ ταύτην πεποιήκαμεν τὴν ἀπολογίαν. ὡς ἔοικε πατέρες μου, οὔτε κανόνας ἀνέγνωτε, οὔτε ὅρον ἐκκλησιαστικὸν οἴδατε. ὅρος γάρ ἐστι τοιοῦτος, ἵνα ὁ καλούμενος ἐπίσκοπος ἀπὸ συνόδου, διὰ δύο ἐπισκόπων καλῆται. καὶ τοῦτο γίνεσθαι δὶς, καὶ τρὶς. ὑμεῖς δὲ διὰ δύο, διακόνου, καὶ λαϊκοῦ ἡμᾶς προσκαλεῖσθε. καὶ ἡμεῖς μὲν τοιαῦτα ἀπελογούμεθα. ἐκεῖνοι δὲ παρήγαγον μάρτυρας τοὺς λέγοντας ἑτοίμους εἶναι ὀμόσαι, ὡς ἀψήφιστος προεβλήθην, καὶ ἐχειροτονήθην, πρὸς ὅπερ ἐγὼ πάλιν ἀντεῖπον. τίνες οὗτοι; καὶ τίς πιστεύσει αὐτοῖς; ποῖος δὲ κανὼν παρακελεύεται μάρτυρας τὸν κρατοῦντα παράγειν; οὐκοῦν, εἰ ἐγὼ οὐκ εἰμὶ ἀρχιερεὺς οὐδὲ σὺ βασιλεὺς, οὐθ' οὗτοι ἐπίσκοποι, ἀλλ' οὐδ' ὁ μοιχὸς, πάντες γὰρ ὑμεῖς τῶν ἀναξίων μοι χειρῶν καὶ εὐχῶν ἐστὲ ἀποτέλεσμα. εἰ ἐκ τῆς ἐκκλησίας ἦν ὁ μοιχὸς συνήνεσα ἂν καὶ ἑκὼν αὐτῷ. νῦν δὲ ἀλλότριον, πῶς καταστήσω ποιμένα τῶν τοῦ Χριστοῦ προβάτων; πολλὰ τούτῳ τὰ ἐναντία πρόσεστιν. ἓν μὲν ὅτι ἐκ τῶν ἀκοινωνήτων, καὶ ἀναθεματισμένων ἐστὶν, οὐ μόνον δὲ παρ' ἡμῶν τοῦτο πεπόνθασι καὶ τῶν λοιπῶν θρόνων, ἀλλὰ καὶ παρὰ τῆς ὑμῶν ἐξουσίας ἐπιτιμηθέντες διὰ τοῦ φαύλου Ζαχαρίου, μὴ ἔχειν αὐτοὺς ἐξουσίαν λειτουργῆσαι, ἢ χειροτονῆσαι, οἱ τοὐναντίον ἅπαν πεποιήκασι πρὶν λυθῆναι αὐτούς, ἕτερον δὲ, ταξιώτης ἦν καὶ

ἐκ

petiuimus, quæ Canonicas Innocentij Papæ pro Diuo Chrysostomo sanctiones cõtinebant; Ioanni Concilium adeũdum non esse, priusquam loco suo thronoq; restitutus esset. Et in Sardicensi Concilio Canon quartus; si quis Episcopus fuerit depositus, dicatque se habere iustam sui defensionem non sufficiat in eius locum alius, quam de eo Romanæ Pontifex Ecclesiæ decernat. Hæc & alia id genus multa illis epistolis continebantur, quæ vti quæras, legasque te Patrum, & Antistitum honoratissime, fratrumque amantissime rogamus. Cum verò nihilominus adhuc nos vrgerent vt ad se veniremus, ita testati sumus. Vt apparet Patres mei, neque Canones legistis, neq; decretum Ecclesiasticum nostis. Lex enim ista est, vt citatus à Synodo Episcopus, per duos Episcopos vocetur, & hoc iterum atque tertiò. Vos autem per duos me accersistis, Diaconum alterum, alterum politicum. Atque nos quidem hæc excusabamus, illi verò testes produxere qui dicerent se paratos esse iureiurando confirmare, me non ritè & lege creatum, consecratumq; esse. Hic ego, qui, inquam, illi? quis illis credat? quis verò Canon decernit vt Imperator testes producat? Nũquid si ego Archiepiscopus non sum, nec tu Imperator es, neque illi Episcopi, neque ille mœchus? omnes enim vos indignis manibus meis, precibusque estis consecrati. Si Photius adulter ab Ecclesia non esset exclusus, annuisse forte sponte, nunc verò alienum ab Ecclesia, quomodo Pastorẽ ouium Christi constituam? multa huic aduersantur, primum ex ijs quod sit qui ab Ecclesia damnati, & anathemate præcisi, qui quidem id non à nobis dũtaxat passi sunt, sed ab alijs quoque Patriarchis, & ab ipsa vestra potestate cum illis propter impium Zachariam interdictum esset, ne sacris operarentur, neue communicarent, aut sacris quemquam initiarent. Qui tamen his cõ-

traria

ἐκ λαϊκοῦ τάγματος, καὶ πρὶν γενέσθαι πρόβατον ποιμὴν ἐσχημάτισεν. ἔτι γε μὴν ὅτε καὶ παρὰ ἀναθεματισθέντος, καὶ καθαιρεθέντος ἐχειροτονήθη. ἀλλὰ καὶ ὅτε τοὺς μητροπολίτας ἔπεισε συνελθεῖν αὐτῷ ἀπῃτήθη παρ' αὐτῶν ἰδιόχειρον περὶ ἐμοῦ, καὶ ἔγραψεν ἐνωμότως, μηδὲν πράττειν παρὰ τὸν ἐμὸν λόγον ὡς οἰκείου πατρός. καὶ οὔπω τεσσαράκοντα ἡμέραι μετὰ τὴν χειροτονίαν παρῆλθον, καὶ καθῄρησέ με δημοσίως καὶ ἀνεθεμάτισε μὴ παρόντα. κατέθλασαν δὲ καὶ τοὺς δακτύλους τοῦ ἀρχιεπισκόπου Κυζίκου κατ' ἐπιτροπὴν αὐτοῦ, καὶ ἥρπασαν ὡς ἐνόμισε τὸ ἴσον τοῦ ἰδιοχείρου αὐτοῦ, καὶ αὐτὸν δὲ ἐκεῖνον καθῄρησε. καὶ οὓς μὲν κακῶς διέθετο ἐφ' ᾧ πατῆσαι τὸ πρός με χειρόγραφον. οὓς δὲ δώροις ἐδεξιώσατο. ἀλλ' ὁ τύραννος πρὸς ταῦτα μὴ ἀποκριθεὶς ἀντεπέφερε τοὺς προθυμουμένους ὀμόσαι, ὅτι ἀψήφιστος προεβλήθην, καὶ ἐχειροτονήθην. ἐγὼ δὲ πρὸς τοὺς παρόντας ἐπισκόπους ἀνέκραξα. δέξασθε πατέρες τοῦ ταπεινοῦ γέροντος μίαν δέησιν καὶ δεῦτε πρὸς ἡμᾶς. λαβόντες οὖν με μόνον, οἵ τε κριταὶ καὶ ὁ τύραννος, καὶ τῶν λοιπῶν ὑποδιαστήσαντες πάλιν ἐξήταζόν με περὶ τῶν προτέρων. ὡς δὲ οὐδὲν ἤνυον, πρὸς ἀπειλὰς ἐχώρουν. εἶτα κατέλειψαν τοὺς ἐπισκόπους οἱ δήμιοι σὺν ἐμοὶ καὶ ὑπεχώρησαν. καὶ οἱ ἐπίσκοποι τοῖς αὐτοῖς ἐνεχείρουν, ἐγὼ δὲ ἔλεγον ὅτι χρὴ αὐτοὺς μαθεῖν τὰ κατ' ἐμὲ, καὶ τότε ἀπαιτεῖν με ὃ ἀπαιτοῦσι πόθεν δὲ μαθεῖν ἔχουσιν, ἢ ἀπ' ἐμοῦ μόνου, ἄλλος γὰρ οὐ τολμᾷ ἀπὸ τοσούτου πλήθους τῶν ἡγουμένων, τῶν ἱερέων, τῶν μοναχῶν τε καὶ λαϊκῶν πεπαρρησιασμένως λαλῆσαι. Εἶδον γὰρ ἐκεῖνοι τὸν μητροπολίτην Ἀγκύρας ἀνακράξαντα τὴν ἀλήθειαν ἐν τῷ συνεδρίῳ, ὅπως αὐτόχειρ ὁ βάρβαρος τῷ κολεῷ τοῦ ξίφους κατὰ κεφαλῆς ἔπληξε, καὶ αἵματος τὴν ἐκείνου στολὴν ἔπλησε, καὶ εἰς τοὺς λοιποὺς ὅσα ἔπραξε τὰ δεινὰ τοῦτο εἶπον ἐγὼ, καὶ συνθεμένων ἐκείνων τῇ ὑστεραίᾳ ἐλθεῖν, διέστημεν ἀπ' ἀλλήλων οἴκαδε. καὶ μετὰ δεκάτην ἡμέραν τῷ Καϊαφαϊκῷ συνεδρίῳ ἀνάρπαστόν με παρέ-

στησαν

traria omnia, priusquam censura solueretur, factitarunt. Alterū erat Photium forēsem, seu militarē ac politicum prius creatū esse Pastorē quam fuisset ouis. Præterea eūdem ab excommunicato, & exauctorato consecratum. Quando deinde Metropolitanis persuasit, vt suas partes sequerētur, dedit postu ātibus Chirographum de me, & iuratus scripsit nihil se cōtra meas rationes, veluti Patris factur ū. Nec omnino dies quadraginta ab eius inauguratione fluxerunt, cum ille me publicè quamuis absentē exauctorauit, & anathemate damnauit. Archiepiscopo quoq; Cyziceno mādato Photij, digiti fracti, exemplūq; chirographi surreptum, ipse de throno eiectus est. Alios verò vexādo, alios donis placādo adduxit vt chirographū, quod de me scripserat delerēt. Ad quę tyrannus respondit nihil, sed subornatos ad iuramentum contra me edendū, perinde quasi non ritè, sanctèq; ordinatus essem testes produxit. Hic ego pręsētes Episcopos magna voce appellaui. Admittite Patres, abiectissimi senis vnicam hāc petitionē atq; huc ad nos venite. Ergo reuocatū me à reliquis, legati Iudices, Principesq; rogarunt denuò vt iuri meo renunciarē atq; cederē, Recusanti minitari cæperūt. Tum carnifices illi Episcopos reliquerūt, qui mecum steterāt, & se subduxerūt. Episcopi verò rursū agere mecū instituerūt (de libello nēpe renunciationis) quibus ego respondebā oportere illos statū meæ causæ cognoscere, ac tum demū à me exigere, quod peterēt, nèc illos aliunde, nisi à me solo res meas posse discere, quod aliorū nemo præ tāta multitudine pręposītorū Sacerdotum, Monachorum & laicorū accederet liberè apertèq; quod sētiret proferre. Viderant. Enim Ancyrannū Metropolitanū, dū in cōcilio liberius pro veritate loqueretur à nefario parricida, vagina gladij secūdum caput ita vulneratū, vt vestē suam totā sanguine perfunderet. Vi-

στησαν. καὶ ὅσας μοι τότε πληγὰς ἐπέθεντο τί χρὴ λέγειν; ἐν ἑπτὰ γὰρ οὕτω κολαφθέντα ἡμέραις ἄσιτον, ἄϋπνον, ἀκάθιστον διαμεῖναι ἐβίασαν. ταῦτα ἐν ὀλίγῳ ἐδήλωσα, σὺ δὲ ἁγιώτατέ μου δεῖξον ἐν ἐμοὶ σπλάγχνα οἰκτιρμῶν καὶ κατὰ τὸν μέγαν Παῦλον εἰπὲ καὶ αὐτὸς, τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; ἐνθυμήθητι τοὺς πρὸ σοῦ πατριάρχας, λέγω δὴ Φλαβιανὸν, Ἰούλιον, Ἰννοκέντιον, Λέοντα, καὶ ἁπλῶς τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγωνισαμένους. καὶ ζήλωσον τούτους, καὶ εἰς τὴν ἡμῶν τῶν ἀδικηθέντων τοσαῦτα ἐκδίκησιν διαναστῆθι.

Ἄλλη δὲ ἐπιστολὴ φέρεται ἐν τῇ τρίτῃ πράξει τῆς συνόδου ἔχουσα οὕτως.

Τῷ θεοτιμήτῳ
ΗΓΑΠΗΜΕΝΩ ΜΟΙ ΑΔΕΛΦΩ
καὶ συλλειτουργῷ Νικολάῳ τῷ ἁγιωτάτῳ Πάπᾳ
τῆς πρεσβυτέρας Ρώμης Ἰγνάτιος ἐλέῳ Θεοῦ
Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως
νέας Ρώμης.

ΤΩν ἐν τοῖς μέλεσιν ἀνθρώπων παρυφισταμένων τραυμάτων τε καὶ μωλώπων πολλοὺς ἰατροὺς ἡ τέχνη προεχειρίσατο. τῶν ἐν τοῖς μέλεσι δὲ τοῦ Χριστοῦ καὶ Θεοῦ, καὶ Σωτῆρος τῆς πάντων ἡμῶν κεφαλῆς, καὶ νυμφίου, τῆς καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας ἕνα καὶ μόνον ἐξῃρημένον τε καὶ καθολικώτατον ἰατρὸν, αὐτὸς ὁ θεαρχικώτατος, καὶ παναλκέστατος λόγος προεχειρίσατο, τὴν σὴν δηλονότι ἀδελφικὴν, καὶ πατρικὴν ὁσιότητα. δι' ὧν φησι Πέτρῳ τῷ τιμιωτάτῳ, καὶ κορυφαιοτάτῳ τῶν ἀποστόλων, σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ πάλιν σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας, καὶ ὃ ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἂν λύσῃς ἔσται λελυμένον. τὰς δὲ τοιαύτας μακαρίας φωνὰς, οὐ κατά τινα πάντως ἀπο-

ἀπο-

derát item quæ in alios immaniter idē auſus fuiſſet. Hæc ego cum cómemoraſſem illi conuentū in ſequentē diem indixerūt. Nos ſeparati in diuerſo domicilio deducti ſumus. Poſt decimū verò diē me ad Caiphanū tribunal raptū adſtiterūt, teſteſq; qui me non legitimè creatū dicerēt appoſuere. Quid hic dicam me tot plagis afflictū? ſeptēdiali inedia peruigilia ſtationeq; perpetuò cruciarūt. Hæc sūma cauſę cōpendio expoſita. Tu ſanctiſſime Domine oſtende in me viſcera miſerationum tuarū, & cum magno Apoſtolo & ipſe dicas. Quis infirmatur, & ego nō infirmor? intuere maiores tuos Patriarchas. Fabianū inquam, Iuliū Innocentiū, Leonē, & omnes deniq, pro fide & veritate viriliter pugnātes, illoſq; æmulare, & vindex in iudicium pro nobis tam indigna paſſis exurge.

Extat & alia epiſtola in tertia actione Synodi Chalcedonenſis, quæ ita ſe habet.

Diuino honore afficiendo
ET AMANTISSIMO FRATRE
Nicolao comminiſtro Sanctiſſimoque papę antiquæ Romæ Ignatius miſericordia Dei Archiepiſcopus Conſtantinopolitanus nouæ Romæ.

AD artus humani corporis plagis, & vulneribus ſaucios curandos, medendi ars magnā medicorū copiā ſuppeditauit, in membris autē Chriſti Dei, ac Saluatoris omniū capitis, ac ſponſi Catholicæ, & Apoſtolicæ Eccleſiæ vnū tantū ac ſolum ſelectū ac Catholiciſſimum medicū, tuam nempe fraternā, paternamq, ſanctitatē, ſupremum Dei verbum, quod omniū eſt medela morborū, cōſtituit, cum Petro ſupremo ſanctiſſimoq; vertici Apoſtolorū dixit: Tu es Petrus. & ſuper hāc petrā ædificabo

ἀποκλήρωσιν τῷ κορυφαίῳ μόνῳ περιέγραψεν, ἀλλὰ δι' αὐτοῦ καὶ πρὸς πάντας τοὺς κατ' ἐκεῖνον ἱεράρχας τῆς πρεσβυτέρας Ῥώμης παρέπεμψε. καὶ τούτου χάριν ἔκπαλαι καὶ ἀνέκαθεν ἐν ταῖς ἀναφυείσαις αἱρέσεσι καὶ παρανομίαις ἐκριζωταὶ τῶν πονηρῶν ζιζανίων γεγόνασιν, οἱ τοῦ ἀποστολικοῦ θρόνου ὑμῶν διάδοχοι. καὶ νῦν δὲ ἡ σὴ μακαριότης ἀξίως διατεθεῖσα τῆς δεδομένης σοι χριστόθεν ἐξουσίας, τοὺς τῆς ἀληθείας ἀντιπάλους κατέβαλε, καὶ τὸν διὰ θυρίδος εἰς τὴν αὐλὴν τῶν προβάτων λῃστρικῶς εἰσελθόντα καὶ καταλαζονευσάμενον τοῦ Θεοῦ τοσοῦτον, ὥστε καὶ σύνοδον ἀναπλάσαι κατὰ τῆς σῆς ἀνεπιλήπτου ἱεραρχίας, καὶ πρὸς τὸν Ῥῆγα λανθανόντως ἐκπέμψαντα. τῇ χειρουργίᾳ τῆς ἱεραρχικῆς καὶ ἀποστολικῆς σου ἐξουσίας τοῦ κοινοῦ τῆς ἐκκλησίας ἐξέτεμες σώματος. καὶ τοὺς ἠδικημένους ἡμᾶς ὡς φιλάδελφος ἐδικαίωσας δικαίως, καὶ τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ δι' ὧν ἔγραψας ἀπεκατέστησας. ὁ γὰρ θεοπρόβλητος ἡμῶν βασιλεὺς τῇ γνώμῃ καὶ ψήφῳ τῆς σῆς ὁσιότητος ἐξυπηρετούμενος, ὡς τέκνον ὑμῶν πιστότατον ἑκατέρῳ τὰ κατ' ἀξίαν ἀπένειμεν. ἀνθ' ὧν ἀπαίτων τῷ Θεῷ τὰς εὐχαριστηρίους εὐχὰς πέμψαντες, πεπόμφαμεν Ἰωάννην τὸν εὐλαβέστατον μητροπολίτην Συλαίου. ἅμα μὲν ἀνθ' ἡμῶν ἀπολογησάμενον, ἅμα δὲ καὶ περὶ τῶν ἐφεξῆς ἐκκλησιαστικῶν διοικήσεων ληψόμενον τὰς δοκούσας Θεῷ καὶ τῇ ὑμετέρᾳ σοφίᾳ διατάξεις. διττῆς γὰρ οὔσης τῆς τοῦ ἱερατικοῦ καταλόγου χειροτονίας, καὶ τῶν μὲν ἐξ ἡμῶν αὐτὴν δεδεγμένων, καὶ χειρογραφησάντων ὑπὲρ ἡμῶν αὐθαιρέτως. τῶν δὲ παρὰ τοῦ ἀνοσιωτάτου καὶ παλαμναίου Φωτίου, ἄλλων μὲν ἑκόντων, ἄλλων δὲ βιαζομένων παρ' ἐκείνου. περὶ τούτων ἀξιοῦμεν δοῦναι διάταξιν. ἔτι γε μὴν ζητοῦμεν καὶ τοποτηρητὰς τῆς ὑμετέρας μακαριότητος ἐπισκόπους ἀξιολόγους ἐλθεῖν ἵνα σὺν αὐτοῖς καλῶς καὶ προσηκόντως, διοικήσωμεν τὴν καθ' ἡμᾶς ἐκκλησίαν.

Ecclesiam meã & portæ inferi non præualebũt aduersus eã. Et rursũ tibi dabo claues regni cœlorũ & quod ligaueris super terram. ligatũ erit in cœlis:& quod solueris, erit solutũ. Huiusmodi beatas voces nõ solũ Apostolorũ Principi hęreditarias transcripsit, & assignauit, sed per ipsũ ad omnes Romanæ Sedis Põtifices illi successore trãsmisit. Hinc retrò olimq; semper cũ hæreses & sceleſra pullularent, noxias illas herbas, & Zizania Apostolicæ Sedis vestrę successores extirparũt. Et nũc tua beatitudo dignè cõstituta, accepta a Christo potestate, veritatis hostes fudit & latronũ more in Christi ouile per fenestam ascendentẽ, contraq; Deum adeo se surrigẽtem, vt aduersus sacrosanctam & inculpatam tuam potestatẽ Synodum refingeret, & clãculũ Regẽ per Legatos sollicitaret, medica manu sacrosanctæ & Apostolicæ auctoritatis à cõmuni Ecclesiæ corpore præcidisti, & nos ab illo per scelus oppressos, vt amantissimus frater rectè innocẽtes pronũciasti, nostræq; nos Ecclesiæ per Legatos restituisti. Nam à Deo electus Imperator noster amãtissimus filius vester tuę sanctitatis sentẽtiam & decretũ exequutus, vtrũq; me inquam & Photiũ pro ęquitate causę tractauit. De quibus omnibus Deo votis ritè persolutis, Virũ religiosissimũ Ioannẽ Syllei Metropolitã misimus, qui & nostrã causam tueretur, & simul rerũ Ecclesiasticarũ deinceps administrandarũ rationẽ, quę Deo, & vestrę Sapiẽtię probaretur, acciperet. Etenim cũ geminus sit sacrorũ hominũ Syllogus aliorũ quidẽ qui se à nobis initiatos ostẽdũt, quiq; pro nobis spõte animi chirographa cõscripserunt. Aliorũ verò qui ab execratissimo, & cruẽto cordibus Photio, vel lubẽtes, vel coacti sũt cõsecrati, ęquũ putamus vt de his aliquid decernatur. Demũ petimus vt vestrę Sanctitatis Legati pręstãtissimi ad nos mittantur, quibus cũ Ecclesiæ nostrę statũ cõponamus.

TEX-

ΚΕΙΜΕΝΟΝ.

Ἐπεὶ δὲ τελευταῖον καὶ λογισμῷ πρὸς τὸ προκείμενον ἐχρήσασθε συντόμῳ, καὶ ἀπὸ τῆς τοῦ Θεοῦ δικαιοσύνης ἐπεχειρήσατε, γινώσκειν ὑμᾶς ἀναγκαῖον, ὅτι καὶ ἡμῖν οὐχ ἥκιστα δυνατὸν λογισμοῖς τισὶ πρὸς ἅπερ ἡμεῖς λέγομεν χρήσασθαι, καὶ αὐτὰ τἀναντία συναγαγεῖν, ὧν ὑμεῖς συμπεραίνετε, ἀπό τε τῆς φιλανθρωπίας τῆς τοῦ Θεοῦ ὁρμώμενοι. προσέτι δὲ καὶ ἀπὸ τῆς τῶν ἐκεῖσε διαφόρων μονῶν ἀνάγκης, καὶ τῶν τῆς ἀπολαύσεως ἐκείνης βαθμῶν, ἥτις ἐξ ἀνάγκης ἀπαιτεῖ μὴ κεκαθάρθαι πάντας ἐπίσης. ἔτι δὲ ἐξ ἄλλων λόγων πολλῶν, ὧν τοὺς μὲν πλείους ἐν καιρῷ ἀποδώσομεν, εἰ δεήσει. τανῦν δὲ ὀλίγα τινὰ περὶ τούτων εἰπόντες, τὸν λόγον καταπαύσομεν ἐπὶ τούτοις. φαμὲν γὰρ μᾶλλον προσήκειν τῇ ἀγαθότητι τοῦ Θεοῦ τὸ ὀλίγον ἀγαθὸν μὴ παριδεῖν, ἢ τὴν σμικρὰν ἁμαρτίαν δίκης ἀξιοῦν. ἀλλὰ τὸ ὀλίγον ἀγαθὸν ἐν τοῖς μεγάλα ἡμαρτηκόσιν, οὐδεμιᾶς ἀμοιβῆς ἐπιτυγχάνει διὰ τὴν τῆς πονηρίας πλεονεξίαν, οὐδ᾽ ἄρα τὸ ὀλίγον κακὸν ἐν τοῖς μεγάλα κατωρθωκόσι προσήκει δίκης τυχεῖν. διὰ τὸ τὰ βελτίω νικᾶν. εἰ γὰρ τὸ μᾶλλον δοκοῦν οὐκ ἔστι, σχολῇ τό γε ἧττον ἂν εἴη. οὐδ᾽ ἄρα καθαρτήριον προσήκει νομίζειν.

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα ὁ Βαρλαὰμ δύο τινὰ προφέρει, ἓν μὲν ὅτι δύναται καὶ αὐτὸς λογισμοῖς τισι χρήσασθαι, πρὸς ἅπερ λέγουσιν οἱ Γραικοὶ καὶ τἀναντία συναγαγεῖν, ὧνπερ συμπεραίνουσιν οἱ Λατῖνοι ἀπό τε τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ τῆς τῶν ἐκεῖσε διαφόρων μονῶν ἀνάγκης, καὶ τῶν τῆς ἀπολαύσεως βαθμῶν, ἥτις ἐξ ἀνάγκης ἀπαιτεῖ μὴ κεκαθάρθαι πάντας ἐπίσης. ὑπόσχεται δὲ καὶ ἄλλους λόγους ἐρεῖν ἐν καιρῷ, οὓς δηλονότι τανῦν ἀφίησιν. ἕτερον δὲ φησὶ, μᾶλλον προ-

TEXTVS.

CVm verò ad extremum etiam ratiocinationis ope ad propositam quęstionē vsi sitis, & à iustitia Dei argumētum duxeritis, necesse est, vt intelligatis quod & nobis nihilo impossibilius sit rationibus quibusdā ad ea quę nos dicemus cōfirmanda, & quidē contraria ijs quę vos cōcluditis inferre, à Dei benignitate erga homines ortis, ac prętereà de diuersarū apud eum mansionū, necessitate ac fruitionis illius diuinæ gradibus, quæ quidē fruitionis inęqualitas, necessariò postulat, vt nō ex ęquo omnes sint purgati. Ex alijs etiā multis rationibus quarum plures, suo tempore reddemus, si opus fuerit. Nunc verò cum pauca quędam ex ijs dixerimus, de his finē faciemus Dicimus .n. magis esse cōsentaneum diuinę bonitati, exiguum bonum non cōtemnere, quam exiguum peccatum punire velle. Atqui exigūum bonum in ijs qui grauia peccata cōmiserūt, nullum præmium, siue compensationem sequitur, propter peccatorum vim, atque abundantiā, ergo neq; exiguum peccatū in ijs qui multa bona opera fecerunt, pœnam meretur; quia quę meliora sunt, hoc est. virtutes vincūt. Si enim id quod videtur, magis non est, nullo modo id, quod minus est, erit. Ergo neque purgatorium ignem esse credendum est.

RESPONSIO.

HOc loco Barlaam duo quędā profert; alterū quidē quod potest & ipse rationibus quibusdā vti ad ea, quæ Græci dicunt, & contraria colligere ijs quæ cōcludunt Latini, à benignitate Dei, & à necessitate diuersarū mansionum, quę illic sunt & à gradibus illius fruitionis, quę de necessitate requirit nō omnes ęqualiter esse purgatos

προσήκει τῇ ἀγαθότητι τοῦ Θεοῦ τὸ ὀλίγον ἀγαθὸν μὴ παριδεῖν, ἢ τὴν σμικρὰν ἁμαρτίαν δίκης ἀξιοῦν, ἀλλὰ τὸ ὀλίγον ἀγαθὸν ἐν τοῖς μεγάλα ἡμαρτηκόσιν οὐδεμιᾶς ἀμοιβῆς ἐπιτυγχάνει διὰ τὴν τῆς πονηρίας πλεονεξίαν. οὐδ' ἄρα τὸ ὀλίγον κακὸν ἐν τοῖς μεγάλα κατωρθωκόσι προσήκει δίκης τυχεῖν διὰ τὸ τὰ βελτίω νικᾶν. εἰ γὰρ τὸ μᾶλλον δοκοῦν οὐκ ἔστι, σχολῇ γ', τὸ ἧττον ὂν εἴη, οὐδ' ἄρα πῦρ καθαρτήριον προσήκει νομίζειν.

Ὑπὸ τῆς ἄγαν σοφίας ὁ Βαρλαάμ, οὐκ οἶδε τί καταφάσκει, τί ἀποφάσκει, τί ἀρνεῖται, τί συγχωρεῖ, ὅμοιος ἀνδρὶ μαινομένῳ ξίφος ἔχοντι καὶ σκιαμαχοῦντι, ἢ μᾶλλον εἰπεῖν καθ' ἑαυτοῦ τὸ ξίφος ὠθοῦντι. ἡμεῖς μὲν γὰρ οἱ πιστεύοντες πῦρ τὸ καθαρτήριον, καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἐπιγινώσκομεν, καὶ τὰς διαφόρους μονὰς ἐξ ἀνάγκης ὁμολογοῦμεν. καὶ τοὺς διαφόρους βαθμοὺς τῆς ἀπολαύσεως κηρύττομεν. ἥ τις ἀπόλαυσις ὡς αὐτός φησιν ἐξ ἀνάγκης ἀπαιτεῖ μὴ κεκαθάρθαι πάντας ἐπίσης. ἡμεῖς δὲ φαμέν, ἐξ ἀνάγκης ἀπαιτεῖ κεκαθάρθαι πάντας ὁμοίως, φάσκοντος τοῦ ἠγαπημένου μαθητοῦ ἐν τῇ ἀποκαλύψει, μὴ δύνασθαι εἰς τὴν οὐράνιον πατρίδα εἰσιέναι πᾶν κοινοῦν καὶ ποιοῦν βδέλυγμα, καὶ ψεῦδος, καὶ ταῦτα πάντα μὴ ἐναντιοῦσθαι ἀλλήλοις, κἂν αὐτὸς ἐν τούτοις ἐναντιότητάς τινας μάτην φαντάζεται.

Σημείωσαι πρῶτον, ὅτι τὰ ἁμαρτήματα κατὰ τὸ παρὸν διχῶς διαιροῦμεν. (οὐ γὰρ περὶ τῆς προπατορικῆς ἁμαρτίας τανῦν ὁ λόγος) ἄλλα λέγονται συγχωρητικὰ, οὐχ ὅτι τὰ λοιπὰ εἰσὶν ἀσυγχώρητα, οὐδὲν γάρ ἐστιν ἁμάρτημα, ὃ διὰ μετανοίας μὴ δύναται ἐξαλειφθῆναι. ἐκτὸς τὸ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἤγουν ἡ ἀμεταμέλεια καὶ ἀμετανόησις, ὁποῖόν ἐστι τῶν Γραικῶν, ὁμολογούντων μὲν τὸ πνεῦμα εἶναι πνεῦμα Χριστοῦ, ὡς καὶ τοῦ πατρὸς, οὐδὲ ἀντιστρεφόντων τῶν ὀνομάτων, οὐ γὰρ λέγεται ὁ πατὴρ, οὐδὲ ὁ υἱὸς τοῦ πνεύματος, καθάπερ λέγεται τὸ πνεῦμα τοῦ Θεοῦ καὶ πατρὸς, καὶ

τὸ

gatos. Pollicetur vero, & alias rationes se dicturum suo tempore, quas nimirū nūc missas facit. Alterum verò, inquit, magis cōuenire bonitati diuinæ, paucū bonum non despicere, quā paruū peccatum dignū ducere pœna. Sed parū boni in ijs, qui magna peccata fecerunt, nullā retributionē cōsequitur propter excessū malitię. Neque igitur parū malū in ijs, qui magna, & pręclara gesserunt, decet pœnā consequi; eo quod quæ pręstantiora sunt, vincūt. Si enim quod magis videtur nō est, frustra quod minus est, esset. nō igitur Ignē purgatoriū decet existimare.

Præ nimia Sapientia Barlaā nescit quid affirmet, quid neget, quid inficietur, quid cōcedat, similis homini furēti, gladiū gestanti, & vmbras verberanti, seu vt magis dicam, cōtra se ipsum gladiū impellēti. Nos enim, qui credimus ignē purgatoriū, & benignitatē Dei agnoscimus, & diuersas mansiones de necessitate fatemur, & diuersos gradus fruitionis prędicamus. Quę fruitio, vt ipse asserit, de necessitate requirit, non omnes æqualiter esse purgatos. Nos verò fatemur, de necessitate requirit, æqualiter omnes esse purgatos. Cum discipulus dilectus dicat in Apocalypsi, non posse in cœlestem patriam ingredi omne commune, & faciens abominationem, & mendacium; Et hæc omnia non aduersari inuicem. Quamuis ipse in his contrarietates quasdam frustra videre imaginatur.

Nota primùm, quod peccata in præsentia dupliciter diuidimus, (nō enim de originali peccato nūc sermo est) alia dicūtur synchoretica, nō quod reliqua sint, quæ cōdonari non possunt; nullum enim est peccatum quod per pœnitētiam nō possit obliterari, excepto quod in Spiritum Sanctum cōmittitur, scilicet, impœnitētia, quale est peccatū Græcornm, qui nolunt agnoscere Sūmum Pōtificē esse caput Ecclesiæ, & qui confitentur quidē Spiritum, esse Spiritum Christi, quēadmodū & Patris, neq; re-

τὸ πνεῦμα τοῦ υἱοῦ. ἀρνούμενοι δὲ ἐκπορεύεσθαι αὐτὸ ἐκ τοῦ υἱοῦ, καθάπερ ἐκ τοῦ πατρὸς ἢ διὰ τοῦ υἱοῦ. καίτοι τοῦ Δαμασκηνοῦ λέγοντος ἐν τῷ γ. κεφ. περὶ θείων ὀνομάτων, τὸ δὲ πνεῦμα τὸ ἅγιον (οὐχὶ τὰ χαρίσματα) ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρὸς μὲν δι' υἱοῦ ἐκπορευομένη, ὡς οἶδεν αὐτὸς, οὐ μὴν γεννητῶς. καὶ τοῦ ἁγίου Κυρίλλου φάσκοντος, καὶ προχεῖται τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρός. τὸ δὲ προχεῖται ὁ αὐτὸς διδάσκαλος ἑρμηνεύει ἐν τῇ ἐξηγήσει τοῦ συμβόλου, φάσκων προχεῖται ἤγουν ἐκπορεύεται. προχεῖται δὲ λέγεται ὥσπερ ὕδωρ κατὰ τὸ ῥηθὲν ὑπὸ Ἰωάννου, ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.

Συγχωρητικὰ οὖν λέγονται διότι εὐκόλως λύονται, καὶ οὐκ εἰσὶ τοιαύτης φύσεως, ὥστε δύνασθαι τὴν θείαν χάριν ἀφανίσαι καὶ γενέσθαι τὸν συγχωρητικὰ ἁμαρτήματα ἐργαζόμενον ἐχθρὸν τοῦ Θεοῦ. ἅτινα διαφόροις τρόποις ἐξαλείφονται. δηλονότι ῥαντισμῷ τοῦ ἡγιασμένου ὕδατος, εὐλογίαις τῶν ἐπισκόπων, καὶ ἱερέων, εἰκόνων προσκυνήσει, τῷ λαμβάνειν τὸ ἀντίδωρον, καὶ ταῖς παραπλησίαις εὐλαβείαις. τούτων δὲ ἐνταῦθα μὴ συγχωρηθέντων, ἐν τῇ ἑτέρᾳ ζωῇ καθαρισθήσονται, εἴτε διὰ πυρὸς, εἴτε καὶ ἄλλως, διάφοροι γὰρ ὀπτασίαι ἐφάνησαν. Αἱ δὲ καλοῦνται πρὸς θάνατον ἁμαρτίαι, ὅτι θνήσκειν τὴν ψυχὴν πνευματικῶς παρασκευάζουσιν, αἵπερ οὖσαι ἧττον καὶ μᾶλλον βαρεῖαι τινὲς ἀναμφιβόλως δέονται τοῦ πυρὸς τοῦ καθαρτηρίου. ἐπεὶ δὲ ἡμεῖς κατὰ τοῦ Βαρλαὰμ τοῦ τὰ μικρὰ πταίσματα περὶ οὐδενὸς τιθεμένου, τὴν ἀπόδειξιν τοῦ πυρὸς τοῦ καθαρτηρίου ποιούμεθα, ληψόμεθα ἐπὶ παραδείγματος τὰ βαρύτερα τῶν ἁμαρτημάτων περὶ ὧν τοὺς αὐστηροὺς κανόνας τῶν ἐπιτιμίων τῆς πενταετίας, ἑπταετίας, δεκαετίας, καὶ ἔστιν ὅτε δι' ὅλου τοῦ

βίου

ciprocari fatētur nomina,nō enim dicitur Pater,neq; Filius Spiritus Sancti, quēadmodum dicitur Spiritus Sanctus,Spiritus Dei, & Patris,& Spiritus Filij; negant verò procedere ipsum ex Filio, quēadmodū ex Patre,vel per Filium;cum tamē Damascenus dicat in 13. c. de diuinis nominibus, Spiritus verò S. (non dona) manifestatiua arcanorū Deitatis, vis Patris, ex Patre quidē per Filium procedit,vt nouit ipse,non per generationē.Et S. Cyrillus asserat, & effunditur Spiritus ex Filio,quēadmodum profectò & ex Patre. Illud verò, effunditur, vel effluit, idē Doctor interpretatur in expositione Symboli dicēs, effunditur, idest, procedit. Effunditur verò dicitur,tanquam aqua iuxta dictum Ioannis, qui sitit,veniat ad me, sicut dixit scriptura,flumina de ventre illius fluent aquæ viuæ, hoc autem dixit de Spiritu, (non solum de donis) quem accepturi erant qui credebant in ipsum.

Synchoretica igitur dicūtur, quoniam facili negotio soluūtur,& nō sunt huiusmodi naturæ,vt possint diuinam gratiā destruere, & eum,qui synchoretica peccata committit,inimicū Dei constituere. Quæ quidē diuersis modis delētur, nimirū aspersione aquæ benedictæ, benedictionibus Episcoporū,& Sacerdotū,imaginum adoratione, eo quod accipiāt panem eulogicū,& similibus deuotionibus.His verò in hac vita nō cōdonatis in altera vita expiātur siue per ignē siue alio modo.Alia verò peccata appellātur ad mortē, quoniam emori animam spiritualiter præparāt. quæ magis & minus sunt grauia & nōnulla eorum sine dubio indigēt igne purgatorio. Quoniā verò nos cōtra Barlaam qui parua peccata & venialia pro nihilo ducit, probationem ignis purgatorij, agimus, accipiemus in exemplum grauiora peccata; de quibus extāt austeri Canones pœnarum, quinquennij, septennij, decennij,& aliquando per totam vitam quos Sancti Patres

βίου οἱ θεῖοι πατέρες συνήθως. θῶμεν γοῦν τινὰ βαρέως ἡμαρτηκέναι, καὶ δεξάμενον τὸ ἐπιτίμιον τῆς δεκαετίας φθάσαι τοῦ τοῦδε βίου ἀπελθεῖν, μήπω πληρώσαντα τὸν κανόνα, τοῦτον ὁ Θεὸς μὴ ἔνοχον ποιήσας τοῦ αἰωνίου πυρὸς διὰ τὴν μετάνοιαν, καὶ ἐξαγόρευσιν, βούλεται ὅπως κολασθῇ διὰ τοῦ προσκαίρου πυρός. καὶ ἔστιν ἄφατος ἡ φιλανθρωπία τοῦ Θεοῦ μεταλλάξαντος τὸ διηνεκὲς εἰς τὸ πρόσκαιρον.

Ἔτι σημείωσαι, ὅτι ἐάν τις ποιήσῃ πάσας τὰς δικαιοσύνας ἐπὶ πλεῖστον χρόνον, ὕστερον δὲ ἁμαρτήσῃ ἐν τῷ ὑστέρῳ τούτων πρὸς θάνατον ἁμαρτημάτων, γεγονὼς ἐχθρὸς τοῦ Θεοῦ, ἠφάνισε πᾶσαν τὴν δικαιοσύνην αὐτοῦ, καὶ προσεκτήσατο ἀδικίαν, δεομένην καθαρθῆναι διὰ μετανοίας ἱκανῆς ἢ ἐν τῇ παρούσῃ ζωῇ, ἢ ἐν τῷ μέλλοντι αἰῶνι. εἰ ὅλως ὁπωσδήποτε μετενόησεν. εἰ γὰρ ἀμετανόητος ἔμεινε, πάντως ἐν τῷ ᾅδῃ εἰς τὸν αἰῶνα κολασθήσεται. καὶ ἐξεναντίας, ἐάν τις πᾶσαν ἀδικίαν ἐνεργήσῃ σχεδὸν δι' ὅλου τοῦ βίου, ὕστερον δὲ ἀληθῶς μετανοήσῃ, ἐξήλειψε πᾶσαν ἀνομίαν, καὶ ἀναλόγως κατὰ τὴν τῆς καρδίας αὐτοῦ συντριβὴν ἐνίοτε καὶ πᾶσαν τιμωρίαν. ὥστε οὐ δεῖ συγκρίνειν πλεονεξίαν πονηρίας, καὶ ὑστερότητα μετανοίας, καὶ ἀγαθῶν ἔργων ὀλιγότητα. οὐδ' ἀνάπαλιν, πλῆθος καλῶν ἔργων, καὶ μετὰ ταῦτα ἀρχὴν μετανοίας. ὁ δὲ Βαρλαὰμ συγκεχυμένως φθέγγεται, μὴ διακρίνων ὕστερον καὶ πρότερον, καὶ τὴν ἄφεσιν τῆς ἁμαρτίας, καὶ τὴν τιμωρίαν, ἥ τις μετὰ τὴν ἄφεσιν, ὡς ἐπιτίμιον ἐναπομένει. καὶ χρὴ πληρωθῆναι τὸν κανόνα εἴτε ἐνταῦθα, εἴτε ἀλλαχοῦ. Ὅτι δὲ οὐδὲν συμπεραίνει ὁ Βαρλαάμ, ἐπανάλαβε τὴν περίοδον αὐτοῦ καὶ ἐν τῷ τέλει ὅπου αὐτός φησιν, οὐδ' ἄρα πῦρ καθαρτήριον προσήκει νομίζειν. φάθι καὶ αὐτός, οὐδ' ἄρα εἱρκτὴν, σκότος, ἀνίαν, ὀδύνην, καὶ στεναγμὸν, ὧν εὔχονται τοὺς κεκοιμημένους ἀπαλλαγῆναι, προσήκει νομίζειν. εἰ γὰρ ταῦτα προσήκει νομίζειν, ἅπερ συγχωρεῖ ὁ Βαρλαάμ, διὰ τί μὴ καὶ τὸ πῦρ τὸ καθαρτήριον;

composuerunt. Ponamus igitur aliquem grauiter peccasse, & admissa pœna decennij, prius ex hac vita discedere, nōdum adimpleto canone pœnitentiæ; hunc Deus non faciens reum ignis æterni propter pœnitentiam, & exomologesim, nihilominus vult, vt puniatur per ignem ad tempus. Et est ineffabilis Dei benignitas, qui commutauit sempiternum in temporaneum.

Præterea nota, quod si quis faciat omnes iustitias per multum temporis, posteà verò peccauerit vnum ex illis postremis peccatis ad mortem, factus inimicus Dei, perdidit omnem iustitiam, & acquisiuit iniustitiam quæ indiget, vt per pœnitentiam sufficientem purgetur, vel in præsenti vita, vel in futuro sæculo, si omninò quomodocunque pœnitentiam egit. Si enim impœnitens mansit, & decessit, omninò in Inferno in æternum punietur. Et è contrario, si quis omnem iniustitiam operatus fuerit fermè per totam vitam, posteà verò reuera pœnitentiam egerit, deleuit omnem iniquitatem, & analogicè secundum cordis sui contritionem, aliquando & omnem pœnam. Itaq; nō oportet cōparare excessum malitiæ & posteritatē pœnitentiæ, bonorumque operum paucitatem, neque contra, multitudinem bonorum, operum, & deinde principium pœnitentiæ. Barlaam autem confusè loquitur non distinguens prius, & posterius, & dimissionem peccati, atque pœnam, quę post remissionem vt pœna remanet; & opus est adimpleri Canonem, vel hìc, vel alibi. Quod verò hihil cōcludat Barlaam, resume periodum ipsius, & in fine, vbi ipse ait: non igitur ignem purgatorium opus est censere, dic & ipse: non igitur, carcerem, tenebras, molestias, dolores, & singultus, à quibus rogant, mortuos liberos fieri, opus est censere. Si enim hæc decet existimare, quę concedit Barlaam, cur non etiam ignem purgatorium?

Ad

Πρὸς τούτοις ὁ Βαρλαὰμ νομίζει πάντας τοὺς ἀνθρώπους εἶναι ἢ μετὰ πολλῶν καὶ μεγάλων κατορθωμάτων, καὶ μικροῦ καὶ ὀλίγου πταίσματος, ἢ μετὰ πολλῶν καὶ μεγάλων ἀδικημάτων, καὶ μετὰ μικρᾶς ἀγαθοεργίας. Τὸ δ' οὐχ οὕτως ἔχει διαφέρειν ὄντων τῶν ἀνθρώπων. καὶ τὸ μὲν πρῶτον πιθανόν ἐστι τὰ μεγάλα κατορθώματα ὄντος τοῦ ἀνθρώπου ἐν τῇ χάριτι τοῦ Θεοῦ, δύνασθαι σβέσαι τὰ μικρὰ πταίσματα. Τὸ δὲ δεύτερον, μὴ ὄντος τοῦ ἀνθρώπου ἐν τῇ χάριτι τοῦ Θεοῦ, εἰς οὐδὲν λογίζεται. εἰ δὲ τὸ μικρὸν ἀγαθὸν εἰργάσατο ὁ ἄνθρωπος φίλος ὑπάρχων τοῦ Θεοῦ, πρὶν πρᾶξαι τὴν πολλὴν ἀδικίαν, προσκαίρῳ τινὶ εὐεργεσίᾳ ἀνταμείβεται τοῦτον ὁ Θεός. τὴν δὲ πλεονεξίαν τῆς πονηρίας, ἀμετανοήτου μένοντος, αἰωνίῳ πυρὶ, καὶ ἄλλοις βασάνοις μετὰ τὸ πολυειδὲς τῆς ἁμαρτίας κολάζει ὁ Θεός. ἀψευδὲς γάρ ἐστι τὸ τοῦ σωτῆρος, ὅτι καὶ τὸ ποτήριον τοῦ ψυχροῦ δοθὲν εἰς ὄνομα μαθητοῦ διὰ χριστὸν, μισθὸν ἔχει. καὶ τὸ διδόναι λόγον περὶ ῥήματος ἀργοῦ ἀληθές ἐστιν. ὅθεν οὐ ξυνίημι, τί βούλεται ἐκεῖνα τὰ ῥήματα, τὸ σμικρὸν ἀγαθὸν ἐν τοῖς φαύλοις οὐκ ἀντίμειψιν δύναται ποιεῖν ἀγαθῶν, ἀλλὰ διαφορὰν ἀπολαύσεως. εἰ γὰρ ποιεῖ διαφορὰν ἀπολαύσεως, αὐτῷ τούτῳ ποιεῖ ἀντίμειψιν ἀγαθῶν. Τὸ δὲ λέγειν ἐξ ἀνάγκης μὴ ἐπίσης κεκαθάρθαι τοὺς σωζομένους, ψευδέστατόν ἐστι.

Ἀλλ' ἴσως τοῦτ' ἔφησεν ὁ Βαρλαάμ. εἰ γὰρ πάντες ἦσαν κεκαθαρμένοι ἐξίσου, πάντως ἂν ἔλαβον πάντες τὰς αὐτὰς μονὰς, τοὺς αὐτοὺς βαθμοὺς τῆς μακαριότητος. οὐκ ἔστι δέ.

Μανθανέτω γοῦν ὁ Βαρλαάμ, ὅτι ἡ κάθαρσις ἀφορᾷ τὴν κηλῖδα τῆς ἁμαρτίας, ἥτις ἀπὸ παντὸς ἡμαρτηκότος ἀφαιρετέα ἐστίν. ἡ δὲ διαφορὰ τῶν μονῶν, καὶ ὁ μείζων, ἢ ἥττων βαθμὸς τῆς μακαριότητος, ἐξήρτηται τῆς ἀγάπης καὶ τῶν καλῶν ἔργων, λέγοντος τοῦ ἀποστόλου ἐν τῇ α. πρὸς Κορινθίους κεφ. ιγ. ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν,

καὶ

Ad hęc, Barlaam existimat, omnes homines esse vel cum multis, & magnis meritis, & paruo, & exiguo lapsu, vel cum multis & maximis sceleribus, & cum paruis bonis operibus. Hoc autem non ita se habet, diuersis existentibus hominibus. Et illud primum verisimile est, magna merita pręclarè gesta, existente homine in gratia Dei posse extinguere exigua peccata. Secundum verò, non existente homine in gratia Dei ad nihilum reputatur. Si verò parùm boni operatus fuit homo amicus existens Dei antequam egisset multam iniquitatem, temporanea quadam benignitate remunerat eum Deus, excessum verò malitię impœnitente manente, æterno igne, & alijs pœnis secundum varias species peccati, Deus punit. Infallibile enim est illud Saluatoris, quod & poculū aquę frigidę nomine discipuli exhibitū propter Christum mercedē habuit. Et illud, reddere rationē de verbo otioso, verū est. Vnde non intelligo quid sibi velint illa verba exiguū bonū in malis non potest retributionē efficere, sed tantū differentiā fruitionis, si enim differentiā efficit fruitionis, hoc ipso facit bonorum retributionem.

At fortassis hoc dixit Barlaam. Si.n. homines purgati æqualiter essent, profectò, omnes vtiq; reciperent easdē mansiones, eosdēq; gradus beatitudinis, non est verò ita.

Discat igitur Barlaam, quod purgatio respicit maculā peccati, quę ab omni peccatore auferenda est; diuersitas verò mamsionū, & maior, vel minor gradus beatitudinis pēdet ex charitate & bonis operibus, dicente Apostolo in prima ad Corinth. cap. 13. Si linguis hominū loquar, & Angelorum, charitatē autem non habeam, factus sum velut ęs sonans, aut cymbalū tinniens. & si habuero prophetiā, & nouerim mysteria omnia, & omnē scientiā; & si habuero omnē fidē ita vt montes transferam, charitatem autē nō habuero, nihil sum. Etsi distribuero in cibos pau-

pe-

καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω οὐθέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ ἐὰν παραδῶ τὸ σῶμα μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ὥστε ὁ ἔχων μείζονα ἀγάπην, ἔχει μείζονα βαθμὸν εὐδαιμονίας. ὁ ἥττονα ἀγάπην, ἥττονα βαθμὸν, καὶ διάφορον μονήν. καὶ ταῦτα τοῦ Χριστοῦ ἀφιέντος τῇ πόρνῃ τὰ πολλὰ ἁμαρτήματα διότι ἠγάπησε πολύ.

Ὁ δὲ ἑπόμενος παράγραφος, Ἔτι ὡς ἔχει τὸ ὀλίγον ἀγαθὸν ἐν τοῖς τ' ἄλλα φαύλοις, οὕτω τὸ ὀλίγον κακὸν ἐν τοῖς τ' ἄλλα ἀγαθοῖς. ἀλλὰ τὸ ἀγαθὸν ἐν ἐκείνοις οὐ δύναται ἀγαθῶν ἀνταπόδοσιν παθεῖν, ἀλλὰ μόνον διαφορὰν ἀπολαύσεως. οὐκ ἄρα πῦρ καθαρτήριον νομιστέον. Ὁ αὐτός ἐστι, καὶ ζήτει ἐκ τῶν εἰρημένων τὴν λύσιν.

ΚΕΙΜΕΝΟΝ.

Ἔτι, ἡ τῆς αἰωνίου κολάσεως δικαιοσύνη κατὰ τοῦτο μάλιστα δείκνυται, κατὰ τὸ ἀμετάβλητον τῆς τῶν ἡμαρτηκότων θελήσεως· τῇ γὰρ ἀΐδῃ (λέγε αἰωνίῳ· οὐ γὰρ εὑρίσκεται ἀΐδης ἐπὶ ταύτης τῆς σημασίας) πονηρίας θελήσει, καὶ ἀΐδιος ὀφείλεται δίκη. ὥσπερ καὶ τοὐναντίον κατὰ τὸ ἀκόλουθον δὴ, εἰ ἡ τοῦ πονηροῦ ἀκίνητος ἀϊδίως θέλησις ἀϊδίῳ δίκῃ κολάζεται, ὅς δὴ εὐθύνεται οὐδ' ἀμεταβλήτην θέλησιν ἕξει, εἰ γὰρ ἀπὸ τοῦ πονηροῦ, αἰωνίῳ δίκῃ τηρεῖται. εἰ δὲ τοῦ ἀγαθοῦ, τίς χρεία κολάσεως, ὧγε στεφανοῦν προσήκει; ἀλλὰ μὴν τοὺς τούτῳ καθαιρομένους τῷ πυρὶ, θέλησιν ἀμετάβλητον ἔχειν φατὲ καὶ ὑμεῖς. οὐκ ἄρα πυρὶ τούτους ἀνάγκη καθαίρεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἐνταῦθα οἴεται ὁ Βαρλαὰμ τοὺς κολαζομένους τῷ προσκαίρῳ πυρὶ τῷ καθαρτηρίῳ ἀμετάβλητον θέλησιν ἔχειν,

κατὰ

perũ omnes facultates meas,& ſi tradidero corpus meũ, ita vt ardeam,charitatẽ autẽ non habuero nihil mihi prodeſt . Itaq; qui habet maiorẽ charitatem,habet maiorem gradum felicitatis,qui habet minorem,minorem gradum & diuerſam manſionẽ,cum pręſertim Chriſtus dimiſerit peccatrici multa peccata,quoniam dilexit multum .

Sequens verò Paragraphus (Præterea quẽadmodũ ſe habet exiguũ aliquod bonũ in ijs,qui cætera mali sũt;ita exiguũ malũ in ijs qui,cæteroqui boni ſunt.ſed exiguum bonũ in illis non poteſt bonorũ retributionẽ efficere, ſed tantũ differentiã fruitionis . Non eſt igitur putandũ purgatoriũ ignẽ eſſe.) Idẽ eſt, & ex dictis quęre ſolutionẽ .

TEXTVS.

PRæterea , æterni ſupplicij æquitas in hoc maximè oſtẽditur,poſt immutabilẽ eorũ,qui peccarunt voluntatẽ(ideſt quod habeant ij , qui peccarũt immutabilẽ voluntatẽ.)Perpetuę.n. peccãdi voluntati,perpetua etiã debetur pœna; quemadmodũ etiã è cõtrario,per conſequẽs certè,ſi eius.qui malus eſt immota perpetuò voluntas,perpetuà pœna punitur,qui vtiq;corrigitur,immutabilẽ etiã voluntatẽ non obtinebit.Si enim à malo æternæ pœnæ ſeruatur, (hoc eſt, ſi is qui eſt malus æterna pœna punitur.)Si verò à bono,(hoc eſt,ſi verò eſt bonus,)quid neceſſe eſt,punire eũ,quẽ coronare cõuenit ? Atqui eos, qui hoc igne purgantur, voluntatem immutabilẽ habere dicitis etiã vos . Non igitur igne eos purgari neceſſe eſt.

RESPONSIO.

HOc loco putat Barlaam , eos, qui puniuntur temporaneo igne purgatorio , immutabilem volunta-

κατὰ τοὺς βασανιζομένους ἐν τῷ ᾅδῃ αἰωνίως. καὶ ἔστι κατά τι ἀληθές. μὴ γὰρ ὄντες ἐν τῇ στάσει τῶν ὁδοιπόρων, οὐχ οἷοί τε εἰσὶν ἐργάζεσθαι ἔργα μισθαποδοσίας ἄξια. ἔστι δὲ ἡ διαφορὰ, ὅτι οἱ ἀμετανόητοι θανόντες, ὁποῖοι εἰσὶ πάντες οἱ αἰωνίως κολαζόμενοι, οὐ δύνανται μὴ θέλειν ἀείποτε τὴν πονηρίαν, διὸ καὶ ἀΐδιος ὀφείλεται αὐτοῖς ἡ δίκη. οἱ δὲ ὄντες ἐν τῷ καθαρτηρίῳ, ἀποθέμενοι ἐν τούτῳ τῷ βίῳ διὰ τῆς ἐξομολογήσεως τὰς αὐτῶν ἁμαρτίας, ἐν τῇ μελλούσῃ ζωῇ λείπεται αὐτοῖς πληρῶσαι τὸν κανόνα καὶ κατά τι τιμωρηθῆναι.

Ὥστε βέβαιοι εἰσὶ μὴ δύνασθαι μεταβάλλεσθαι εἰς τὸ κακὸν ὥσπερ οὐδὲ οἱ αἰωνίως κολαζόμενοι εἰς τὸ καλόν. κἀκεῖνοι μὲν φίλοι ὄντες τοῦ Θεοῦ, ἀγαπῶσι καὶ δοξάζουσιν ἐν ταῖς αὐτῶν τιμωρίαις τὸν Θεὸν, βεβαίαν ἔχοντες ἐλπίδα ῥυσθῆναί ποτε τῆς ποινῆς καὶ ἀπολαῦσαι τὰ αἰώνια ἀγαθά. οὗτοι δὲ αὐτὸν βλασφημοῦσιν. Ὁ δὲ Βαρλαὰμ ψευδεῖς συγκρίσεις καὶ ἀναρμόστους πλάττων, οὐδὲν ὑγιὲς συμπεραίνει. ζητητέον οὖν παρ' αὐτοῦ, ἐὰν αἱ τῶν κεκοιμημένων ψυχαὶ, περὶ ὧν τηροῦσι τὰς λειτουργίας, καθειργμέναι ἐν εἱρκτῇ καὶ ζόφῳ καὶ τοῖς ἄλλοις ἀνιαροῖς κατὰ τὴν αὐτοῦ παρομοίωσιν τυγχάνωσιν ἀμετάβλητοι, ἢ οὔ; εἰ μὲν εἰσὶν ἀμετάβλητοι καὶ ὅμως καρποῦνται ὠφέλειαν ἐκ τῶν θυσιῶν, κἀκ τῆς ἐλεημοσύνης, καὶ τῶν λοιπῶν εὐποιιῶν, οὐκ ἄρα θαυμαστὸν, εἰ καὶ αἱ οὖσαι ἐν τῷ καθαρτηρίῳ ψυχαὶ ἀμετάβλητοι εἰσὶ, καὶ οὐδὲν ἧττον ἐκπληρώσασαι τὸν κανόνα, σώζονται. εἰ δὲ εἴποις; μεταβάλλονται, ἄρα δύνανται ἑαυταῖς βοήθειαν δοῦναι, καὶ οὐ δέονται τῶν παρ' ἡμῶν εὐποιιῶν. ὅπερ ψευδέστατόν ἐστι, μὴ δυναμένων οὐδὲν ἀγαθὸν πρᾶξαι ἔξω οὐσῶν τοῦ σώματος. εἰ μὴ εἴποις αὐτὴν τὴν κόλασιν τοῦ πυρὸς τοῦ καθαρτηρίου τέλος ἔχειν, καὶ πληρωθείσης τῆς τιμωρίας τὰς ψυχὰς ἐλευθεροῦσθαι. Εἰ δὲ ἐρωτᾷς, ἀγαθοὶ εἰσὶν οἱ κολαζόμενοι τῷ πυρὶ τῷ καθαρτηρίῳ; τὸ αὐτὸ ἐρώτα καὶ περὶ τῶν ψυχῶν, αἵτινες κολάζονται τῇ εἱρκτῇ, καὶ ταῖς λοιπαῖς στενοχωρίαις. ἢ τὸ αὐτὸ ἀπόκριναι περὶ αὐτῶν αἵτινες μέντοι σώζονται:

ΚΕΙ-

tem habere ad eũ modũ, quo qui æternè in inferno puniuntur. Et eſt ſecundũ quid verum. Cum enim non ſint in ſtatu Viatorum, non poſſunt efficere opera retributionis digna. Eſt autem differentia quod qui impœnitentes moriũtur, non poſſunt non velle perpetuò malitiam, propterea & perpetua debetur ipſis pœna. Qui verò degunt in Purgatorio in hac vita prius per exomologeſim, depoſitis ſuis peccatis, in futura vita reſtat ipſis explere canonem pœnitentiæ, & ſecundum quid puniri. Quare certiſſimi ſunt, non poſſe ſe mutari in malum, quemadmodum neque qui æternè puniuntur in bonum. Et illi quidem amici exiſtentes Dei amãt Deum, & in ſuis ſupplicijs illum laudant, certam ſpem habentes aliquando liberari à pœnis, & æternis bonis frui, Iſti verò Deum ipſum blaſphemant. Barlaam autem falſas comparationes fingens nihil ſani cõcludit. Quærendum igitur ab eo, ſi dormientium animæ, pro quibus offeruntur ſacrificia

conluſæ in carcere, & obſcuritate, ac alijs moleſtijs ſecundum ſimilitudinem ipſius, exiſtunt immutabiles, vel non? Si enim ſunt immutabiles, & tamen vtilitatem conſequuntur, ex ſacrficijs, atque eleemoſynis, & reliquis bonis operibus, non igitur mirum, ſi & quæ exiſtunt in purgatorio animę immutabiles ſunt, & nihilominus expleto canone pœnitentiæ ſaluantur. Si verò dixeris, immutantur; ergo poſſunt ſe ipſas iuuare, & non indigent à nobis bonis operibus, quod falſiſſimum eſt; cum nihil poſſint boni agere extra corpus, exiſtentes: niſi dixeris, ipſam punitionem ignis purgatorij finem habere, expletaque punitione animas liberari: At ſi quæras, ſint ne boni qui puniũtur igne purgatorio? Idem quæras de animabus quæ puniuntur carcere cæteriſque anguſtijs. Et Idem reſpondeas pro ipſis, quæ tamen ſaluantur.

ΚΕΙΜΕΝΟΝ.

Ἔτι εἰ τὸ τέλειον ἔπαθλον τοῖς καθαροῖς τῇ καρδίᾳ καὶ τῇ ψυχῇ, τὸ ἰδεῖν τὸν Θεὸν, τούτου δὲ οὐχ ὅμοιοι πάντες ἐπιτυγχάνουσιν, οὐδ' ἄρα τῆς αὐτῆς καθάρσεως εἰσὶν ἅπαντες, οὐδ' ἄρα χρεία τοῦ καθαρτηρίου πυρὸς, εἴπερ ἔν τισιν ἐλλιπὴς ἡ κάθαρσις ᾖ. καὶ γὰρ οὐκ ἦσαν ἅπαντες ἐπίσης κεκαθαρμένοι διὰ τοῦ αὐτοῦ πυρὸς, καὶ πρὸς θεοπτίαν ὁμοίως ἔχοντες. τοῦτο δὲ καὶ ἐπὶ τοῦ τῆς νομοθεσίας ὄρους συμβολικῶς τε καὶ τυπικῶς ἐγένετο. τότε γὰρ οὐ πάντες τῆς αὐτῆς φαίνονται στάσεώς τε, καὶ τάξεως, ὁ μὲν τῆς, ὁ δὲ τῆς, πρὸς μέτρον, οἶμαι τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος κατὰ τὸν θεολόγον Γρηγόριον.

ΑΠΟΚΡΙΣΙΣ

Οὐ λέγομεν πάντας τὸν αὐτὸν τρόπον διὰ πυρὸς καθαρίζεσθαι, ἀλλὰ κατὰ τὴν ποσότητα καὶ ποιότητα τῶν πταισμάτων ἔστι καὶ διὰ πυρὸς προσκαίρου βασανίζεσθαι, βαρέων ὄντων τῶν ἁμαρτημάτων, καὶ μὴ διὰ πυρὸς παιδεύεσθαι, ἐλαφρῶν ὄντων τῶν πταισμάτων. καὶ θεωρίας τινὰς διηγεῖται Γρηγόριος ὁ Διάλογος τῶν μὴ αἰκιζομένων διὰ πυρός. Ὁ δὲ Βαρλαὰμ οἴεται, πᾶσαν ἡντιναοῦν κάθαρσιν μὴ ἂν ἄλλως γίνεσθαι δύνασθαι, εἰ μὴ διὰ πυρός. ὅπερ οὐκ ἀληθεύεται. σφάλλεται δὲ κἀκεῖνο λέγων, ἐξ οὗ ἕπεται τὸ αὐτῷ προλεχθέν. τοῦ γὰρ Γρηγορίου τοῦ θεολόγου ἐν β περὶ θεολογίας λόγῳ σχεδὸν ἐν ἀρχῇ ἀλληγορικῶς κάλλιστα ἐξηγουμένου τὴν ἀνάβασιν εἰς τὸ ὄρος τοῦ Μωϋσέως καὶ τῆς γερουσίας, καὶ τὴν διαφορὰν τῆς στάσεως καὶ τάξεως τῶν ἀνιόντων, καὶ πλησίον τοῦ ὄρους, ἢ καὶ πόῤῥω ἑστηκότων, καὶ ἐπάγοντος, κατὰ τὴν ἀξίαν τῆς καθάρσεως, καὶ νοοῦντος κάθαρσιν, οὐ μόνον τὸ μὴ ἔχειν λύμην ἁμαρτίας, ἀλλὰ καὶ κτῆσιν ἀρετῆς (οἱ γὰρ ἐγγύτερον πλησιάζοντες

TEXTVS.

INſuper ſi perfectum præmium eorum, qui ſunt puri corde & animo, eſt videre Deum, hoc verò nõ ęqualiter omnes cõſequuntur; neq; par eſt omnium purgatio. Nullus ergo vſus erit purgatorij ignis. Omnes enim eſſent æqualiter purgati per eundem ignem, & ex æquo apti ad videndum Deum. Hoc verò etiam in monte vbi lex data fuit. ſignificatiuè, ac figuratè factum fuit. Tunc enim non omnes eiusdẽ apparuerũt ſtatus, atq; ordinis, ſed hic quidem huius, alter verò alterius, pro ratione, ac modo ſuę quiſq; purgationis, iuxta Gregoriũ Theologũ.

RESPONSIO.

NOn dicimus, omnes eodem modo per ignem purgari ſed ſecũdum quantitatem, & qualitatẽ erratorũ. fieri poteſt vt ad tempus purgetur aliquis per ignẽ, ſi grauia ſint peccata, & nõ purgetur per ignẽ, ſi ſint leuia. Atq; viſiones quaſdam narrat Gregorius Dialogus eorũ qui nõ puniebantur per ignem. Barlaam autem exiſtimat, quamcunque purgationem non poſſe aliter fieri, quàm per ignem. Quod non verificatur. Errat autem, & illud aſſerẽs, ex quo ſequitur, quod prædixit. Cum enim Gregorius Theologus in 2. oratione de Theologia fermè à principio allegoricè egregiè exponat aſcenſum Moyſis ad montem, & ſenatus & differentiam ſtatus, & ordinis aſcendentium & propè montem, vel longè manentium, & inferat, ſecundum dignitatem purgationis, & intelligat pugationem, non ſolum non habere immunditiam peccati, ſed & acquiſitionem virtutis. (qui enim propius accedebant, & qui longius, magis, & minus ſanctitatis participes erant; qui verò intra nebulam erant ſan-

ζοντες καὶ οἱ πορρωτέρω μᾶλλον καὶ ἧττον τῆς ἁγιωσύνης μετεῖχον, οἱ δὲ τῆς νεφέλης εἴσω γενόμενοι, ἦσαν οἱ ἁγιώτεροι καὶ πολλαῖς ἀρεταῖς κεκοσμημένοι, καὶ τοῦτο τὸ κατὰ τὴν ἀξίαν τῆς καθάρσεως κατὰ τὸ ἀπὸ τοῦ σωτῆρος ῥηθὲν, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται) ὁ Βαρλαὰμ ὁμωνυμίᾳ χρώμενος, ἐπειδὴ φαμὲν, πάντας τοὺς δεομένους καθάρσεως ἐξίσου καθαίρεσθαι, (οὐ γὰρ οἷόν τε ἐστὶν εἰσιέναι εἰς τὸ ὄρος κυρίου τὸ ὂν μετὰ κηλῖδος) νομίζει πάντας τοὺς καθαιρομένους τῆς αὐτῆς καὶ ἴσης καὶ ὁμοίας ἀντιδόσεως ἐπιτυγχάνειν. Τὸ δ' οὐχ οὕτως ἔχει, οἱ γὰρ ἐνταῦθα καθαίροντες ἑαυτοὺς μετανοίᾳ καὶ κακουχίᾳ τοῦ σώματος, προαιρετικῶς, οὐδενὸς ἀναγκάζοντος, ἀλλ' ἑκόντες τοῦτο πράττουσι καὶ ἔργα ἑαυτοῖς μυρία κατορθώματα θησαυρίζουσιν. οἱ τοιοῦτοι οὐδ' ὅλως πεῖραν λαμβάνουσι τοῦ καθαρτηρίου, ἀλλ' οἱ ὀφείλοντες δι' ἔνδειαν τοῦ κανόνος πρόσκαιρον τιμωρηθῆναι, ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον. Οἱ γοῦν ἐν τῷ καθαρτηρίῳ ἐπιπόνως κολαζόμενοι, ἄκοντες πάσχουσι καὶ οὐκ ἀξιοῦνται μισθοῦ, μὴ πληρώσαντες ἀκριβῶς τὸν κανόνα, πλὴν εἰ μή τις αὐτοῖς βοηθήσηται διὰ θυσίας, νηστείας, προσευχῆς, καὶ ἐλεημοσύνης. ἵνα δὲ σαφὲς τοῦτο γένηται, ἐρωτητέον τὸν Βαρλαὰμ, γνώμην ἔχει, τὰς ψυχὰς τῶν κεκοιμημένων δι' εἱρκτῆς καὶ ζόφου καὶ τῶν ἄλλων ἀνιαρῶν καθαιρομένας ἐξίσου κολάζεσθαι, καὶ μετὰ ταῦτα τῶν αὐτῶν καὶ ἴσων δωρεῶν ἀπολαύειν, ἢ διαφορὰν εἶναι κολάσεως καὶ ἀνταμοιβῆς; οὐ γὰρ οἶμαι αὐτὸν καὶ σκαιὸς καὶ ἀμαθέστατος ὑπάρχει, τὸ πρῶτον νοεῖν καὶ ἐρεῖν.

ΚΕΙΜΕΝΟΝ.

Εἶτα παράγει τὸν αὐτὸν Γρηγόριον, ὅς τις τὸν περὶ τοῦ πάσχα λόγον θεωρητικῶς, καὶ ἀναλογικῶς ποιούμενος, ἐλθὼν εἰς τὸ μέρος, ἐν ᾧ φησὶν, οὐκ ἐξοίσομεν δ' οὐδὲν, οὐδὲ εἰς τὸ πρωῒ καταλείψομεν. ἀποφαίνεται ῥητῶς οὕτω καὶ κα-

ſanctiores, & multis virtutibus ornati; idque eſt illud, ſecundum dignitatem purgationis, iuxta dictum Saluatoris, beati mundi corde, quoniã ipſi Deum videbunt.) Barlaam æquiuocatione vtens, quoniam dicimus, omnes, qui indigẽt purgatione, ex æquo purgari, (non enim fieri poteſt, vt aliquid in montem Domini aſcendat, & ingrediatur, quod nõ eſt ſine macula) exiſtimat, omnes, qui purgantur, eandem, & æqualem, ac ſimilem retributionem conſequi. At hoc non ita ſe habet; qui enim hìc ſe purgant metanœa, & caſtigatione corporis, ſpontaneè, nemine cogente, ſed volentes id agunt, & facile ſibi infinita merita congerunt. Iſti tales omnino non experiuntur ignem purgatorium; ſed qui debent puniri ad tempus propter defectum canonis pœnitentiæ, hic quidem magis, ille verò minus. Qui igitur in purgatorio laboriosè puniuntur, inuiti patiuntur, & non ſunt digni retributione, non diligenter expleto canone pœnitentię; niſi ſiquis eos iuuerit per ſacrificia, ieiunia, orationes, & eleemoſynas. Vt autem id clarè fiat, interrogandus eſt Barlaam, vtrum ſentiat, animas dormientium, quę per carcerem, caliginem, & alias moleſtias purgantur ex ęquo purgantur; Et deinde ijſdem & ęqualibus largitionibus fruantur: An differentia ſit punitionis, & retributionis? Non enim reor, quamuis ineptus, & imperitiſſimus ſit, primum intelligere & aſſerere.

TEXTVS.

DEinde adducit illum magnum Gregorium Theologum qui de Paſchate contemplatiuè, atq; analogicè ſermonem faciens, cum ad eam partem venit, in qua dicit, non efferemus autem quidquam, neque poſtridianum relinquemus. Expreſsè apertèque ita ſtatuit

καθαρμὸς, ὅτι μὴ ὑπὲρ τὴν νύκτα ταύτην ἐστί τις κάθαρσις. νύκτα μὲν τὸν ἑκάστου παρόντα βίον ἀποκαλῶν, καὶ μηδεμίαν κάθαρσιν μετὰ αὐτοῦ (λέγε μετὰ αὐτὸν) εἶναι παραχωρεῖ.

ΑΠΟΚΡΙΣΙΣ.

Νύκτα τὸν παρόντα βίον ἀποκαλεῖ ὁ Γρηγόριος. καλῶς ἐν τούτῳ ὁ Βαρλαάμ, ὁ δὲ συμπεραίνει μετὰ τὴν παροῦσαν ζωὴν, μηδεμίαν εἶναι κάθαρσιν, τοῦτο διεστραμμένως ἑρμηνεύει. εἰ γὰρ οὐδεμία κάθαρσις, οὐκ ἄρα εἱρκτὴ, οὐ ζόφος, οὐ λύπη, οὐκ ὀδύνη, οὐ στεναγμὸς, ἐξ ὧν ἀπαλλαγῆναι τὰς ψυχὰς τῶν κεκοιμημένων εὔχονται. οὐκ ἄρα ὀρθῶς ἑρμηνεύει τὴν κάθαρσιν ὁ Βαρλαάμ. Ὁ δὲ θεολόγος κάθαρσιν νοεῖ τὸ βάπτισμα, ἐπεὶ γὰρ ἐν τοῖς αὐτοῦ καιροῖς οἱ πλεῖστοι τῶν χριστιανῶν οὐκ ἐλάμβανον τὸ βάπτισμα εἰ μὴ μέλλοντες ἀποθνήσκειν, καὶ ἐν ἐσχάτῳ γήρᾳ, ὁ ἅγιος παραινεῖ μὴ ἀναμένειν καὶ προσδοκᾶν τὸ γῆρας, οὐ γὰρ μετὰ τὴν νύκτα καὶ τὸν θάνατον, ἀβαπτίστοις μένουσιν ἐστί τις κάθαρσις. διὸ καὶ ἐπάγει λέγων. καὶ τὸ τῆς ἀναβολῆς οὐκ ἐπαινετὸν τοῖς τοῦ λόγου μεταλαμβάνουσι. καὶ περὶ τούτου λόγον εἰς τὸ ἅγιον βάπτισμα ἐξέδωκε κάλλιστον. ἐν ᾧ φησὶ, βαπτισθῶμεν σήμερον, ἵνα μὴ αὔριον βιασθῶμεν, καὶ μὴ ἀναβαλλώμεθα τὴν εὐεργεσίαν ὡς ἀδικίαν, μηδὲ ἀναμείνωμεν πλεῖον γενέσθαι κακοὶ, ἵνα πλεῖον συγχωρηθῶμεν. Καὶ πάλιν. ὡς ἔστιν ἄτοπον χρήματα μὲν προσαρπάζειν, ὑγείαν δὲ ἀναβάλλεσθαι, καὶ σώματα μὲν προκαθαίρειν, ψυχῆς δὲ κάθαρσιν ταμιεύεσθαι. Καὶ αὖθις. ἀλλὰ φοβῇ μὴ διαφθείρῃς τὸ χάρισμα, καὶ διὰ τοῦτο ἀναβάλλῃ τὴν κάθαρσιν, ὡς δευτέραν οὐκ ἔχων; (οὐ γὰρ δὶς βαπτίζεται ὁ χριστιανὸς, ὡς οἱ αἱρετικοὶ ἀναβαπτίζουσι). Καὶ τελευταῖον. εἰ δέ σοι μηδὲν ποιήσαντι, μηδὲ πραγματευσαμένῳ τυχεῖν ἔξεστι τοῦ ποθουμένου πόσης εὐηθείας τὴν δωρεὰν ἀναβάλλεσθαι; τὸ δ' αὐτὸ πεποίηκε καὶ ὁ μέγας Βασίλειος, καὶ ὁ χρυσορρή-

tuit, quod vltra præsentem noctem, purgatio aliqua non sit; noctem quidem præsentem vniuscuiusque vitam appellans, & nullam purgationem post hanc admittens.

RESPONSIO.

QVod Gregorius pręsentem vitam appellet noctē, rectè in hoc Barlaam; quod verò cōcludit, post præsentem vitam, nullam esse purgationem, id verò peruersè exponit. Si enim nulla est purgatio, nō igitur carcer, non caligo, non tristia, non dolor, non singultus, ex quibus liberas fieri animas dormientiū supplicāt. Non igitur rectè interpretatur purgationē Barlaā. Theologus verò purgationē intelligit ipsum baptismū, & vide ipsius expositores. Quoniam enim suo tempore pleriq; Christianorū non recipiebant baptismum, nisi moribundi & in extrema senectute, Sāctus adhortatur eos nō expectare senectutē, nō enim post noctem, mortē, qui non sūt baptizati, ijs erit aliqua purgatio; propterea etiā illud infert dicēs, & in aliud tempus differre non est dignū laude ijs qui rationis participes sunt. Et de hoc orationē egregiam edidit in sanctū baptisma, in qua dicit; baptizemur hodie, ne cras vi aliqua cogamur; ne beneficiū, tanquam iniuriā differamus; nec expectemus, vt plura peccata cōgeramus, quo plura nobis cōdonentur. Et rursus, absurdum enim fuerit, cum pecunias auidè præcipias sanitatē longius differre, atq; extrahere. cum corpus præpurges, animæ purgationē in aliud tempus reseruare. Et iterū, at metuis, ne gratiā corrumpas, ac proinde purgationi moram producis, vt pote nullā alterā iam vltra habens? (nō enim bis baptizatur Christianus, vt hæretici Anabaptistæ.) Et tandē, cum autem tibi nec labore vllo, nec opera vlla suscepta, rei expetitæ compotē fieri liceat, quæ tan-

μαν περὶ τοῦ βαπτίσματος. ὅθεν δῆλον ὅτι ὁ Βαρλαὰμ καὶ οἱ κατ' αὐτὸν λίαν σκαιῶς καὶ ἀμαθῶς μετιᾶσι τοὺς ἁγίους πατέρας, παντελῶς αὐτοὺς μὴ συνιέντες καὶ παρερμηνεύοντες. τοῦτο δὲ καθαρώτερον ποιεῖ, καὶ τὸ παράδειγμα τοῦ μὴ ὀργίζεσθαι. ὥσπερ γάρ, φησίν, ὁ θεολόγος, τὴν ὀργὴν μὴ διημερεύειν, ἀλλὰ προκαταλύειν ἡλίου καλόν, καὶ τῷ Θεῷ φίλον, χρονικῶς τε καὶ αναγωγικῶς (ἐπιδύεσθαι γὰρ ὀργιζομένοις ἡμῖν οὐκ ἀσφαλὲς τὸν τῆς δικαιοσύνης ἥλιον) οὕτω τὴν τοιαύτην βρῶσιν μὴ διανυκτερεύειν, μηδὲ εἰς τὴν ἑξῆς ἀποτίθεσθαι.

ΚΕΙΜΕΝΟΝ.

ΕΝ τοῖς ἐφεξῆς ὁ Βαρλαὰμ προφέρει τὸν αὐτὸν Γρηγόριον, φάσκοντα ἐν τῷ εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης. Ἐῶ γὰρ λέγειν τὰ ἐκεῖθεν δικαιωτήρια, οἷς ἡ ἐνταῦθα φειδὼ παραδίδωσιν, ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι, καὶ καθαρισθῆναι, ἢ ἐν τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι ἡνίκα κολάσεως καιρὸς οὐ καθάρσεως. Ἐπάγει ὁ Βαρλαὰμ, παρίστησι φανερῶς (ὁ Γρηγόριος) μηδεμίαν εἶναι κάθαρσιν μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν, ἀλλ' ἢ μόνον τὴν αἰώνιον κόλασιν.

ΑΠΟΚΡΙΣΙΣ.

ΕΠειδή, ὡς ἔφθην εἰπών, οἱ πλεῖστοι τῶν κατηχουμένων ἀβάπτιστοι ἦσαν, ὁ Γρηγόριος ἀφορμὴν λαμβάνει τὴν πληγὴν τῆς χαλάζης, ἵνα προτρέψῃ αὐτοὺς εἰς τὸ βάπτισμα. καὶ φησί. βέλτιον εἶναι νῦν παιδευθῆναι, δηλονότι διὰ τῆς χαλάζης, καὶ καθαρθῆναι, ἤγουν βαπτισθῆναι, (ὁ γὰρ Θεὸς διὰ τὸ εἶναι αὐτοὺς ἀβαπτίστους, διαφόροις τρόποις ἐπαίδευεν) ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, καὶ αἰωνίως κολασθῆναι, ἡνίκα καιρὸς κολάσεως οὐ καθάρσεως.

ἤγουν

dem ſtultitia eſt, donũ in aliud tempus reijcere? Hoc autem ipsũ de baptiſmo fecit etiã magnus Baſilius, & Chriſoſtomus. Vnde manifeſtũ eſt, quod Barlaam, & ſui ſimiles valde ineptè, & imperitè adeũt ſanctos Patres, omninò ipſos nõ intelligentes, & prauè interpretãtes. Id autẽ magis clarũ facit etiã exemplũ non iraſcẽdi, quod infert Theologus: Quemadmodũ enim, inquit, pręclarũ ac Deo gratũ, vt ita per omnẽ diei curſum minimè duret, verùm ante ſolẽ occidat, ſiue id temporali modo, ſiue anagogico intelligas, (nec enim nobis iraſcentibus iuſtitiæ ſolem occumbere tutum eſt) ita nec huiuſmodi eſcam pernoctare, nec in poſterum diem recondi expedit.

TEXTVS.

IN cõſequentibus Barlaam profert eundẽ Gregoriũ, qui aſſerit in oratione ad Patrẽ ſilentẽ propter plagã grandinis: Omitto enim dicere, quæ illic ſunt tribunalia, quibus huiuſce vitæ indulgentia, & impunitas eos tradit; vt ſatius ſit nũc caſtigari, & purgari quam ad cruciatum illum tranſmitti; quando punitionis tempus eſt, non purgationis. Infert Barlaam; manifeſtè ſtatuit (Gregorius) nullam eſſe purgationem poſt migrationem ex hac vita, ſed tantum æternam pœnam.

RESPONSIO.

QVandoquidẽ vt anteà dixi, pleriq; catechumenorũ non baptizabantur, Gregorius occaſionẽ accipit plagã grãdinis, vt eos incitet ad baptiſmũ. Atq; ait, melius eſſe nunc puniri, ſcilicet, per grandinẽ & purgari, nimirũ per baptiſmũ, (Deus enim, eo quod ipſi eſſent ſine baptiſmo, varijs modis puniebat) quàm ad

ἤγουν κυρίως ἄκυρος τοῦ δεχθῆναι τὴν κάθαρσιν καὶ τὸ βάπτισμα. τοῦτ' ἔστιν ὁ γνήσιος νοῦς Γρηγορίου. ἀνάγνωθι τὸν θαυμαστὸν αὐτοῦ λόγον εἰς τὸ ἅγιον βάπτισμα, ὅπου πανταχοῦ ἔσπαρται αὕτη ἡ φωνὴ, κάθαρσις. καὶ σημείωσαι ὅτι τὸ βάπτισμα ὀνομάζει φῶς διὰ τὴν λαμπρότητα. κατωτέρω δὲ ἐπάγει λέγων. φῶς καὶ ἡ ἐκεῖθεν λαμπρότης τοῖς ἐνταῦθα κεκαθαρμένοις, ἡνίκα ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος. σημείωσαι δὲ κἀκεῖνα τὰ ῥήματα. ἡ τοῦ βαπτίσματος χάρις καὶ δύναμις οὐ κόσμου κατακλυσμὸν ὡς πάλαι, τῆς δὲ τοῦ καθέκαστον ἁμαρτίας κάθαρσιν ἔχουσα καὶ παντελῆ ῥύψιν τῶν ἀπὸ κακίας ἐπεισελθόντων συγχωσμάτων ἢ μολυσμάτων. καὶ κατωτέρω. μὴ ὠλιγώρει ἀναγνῶναι κἀκεῖνα, εἰ δὲ καὶ τὰς ὅλας ἐξαλείφωμεν, ἀγαπῴην ἂν, ἐπειδὴ καὶ αὐτὸς χρήζω φιλανθρωπίας, πλὴν μὴ δευτέρας δεηθῆναι καθάρσεως, ἀλλὰ στῆναι μέχρι τῆς πρώτης ἄμεινον, ἣν κοινὴν οἶδα πᾶσι, καὶ ἄμισθον, καὶ ὁμότιμον, δούλοις, δεσπόταις, καὶ τὰ ἑξῆς. καὶ αὖθις παρορμῶ ἡμᾶς μεταχεῖν καθαρσίων ὑδάτων ὑσσώπου ῥυπτικωτέρων, αἵματος νομικοῦ καθαρωτέρων, σποδοῦ δαμάλεως ἱερωτέρων, ῥαντιζούσης τοὺς κεκοινωμένους, καὶ πρόσκαιρον ἐχούσης σώματος κάθαρσιν, οὐ παντελῆ τῆς ἁμαρτίας ἀναίρεσιν. καὶ πάλιν. μὴ διαμέλλειν πρὸς τὴν κάθαρσιν, καὶ, διὰ τοῦτο μὴ λίαν φοβηθῇς τὴν κάθαρσιν. καὶ, δεινὸν ὑστεροβουλία καὶ τὰ τηλικαῦτα τῆς ζημίας ἀνθαιρεῖσθαι, ὅτε οὐκ ἔστι λύσις ζημίας. μέμνησο τὴν ἐντεῦθεν ἐκδημίαν καὶ τὸν πικρὸν συγκλεισμὸν τῶν ἑκάστῳ βεβιωμένων, καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν, καὶ τὴν τῶν κεκαθαρμένων λαμπρότητα. ἐκ τούτων δὴ τῶν ῥημάτων εἰσελθέτω τὶς Βαρλαὰμ καὶ ἀπερισκέπτως συλλεξάσθω, μὴ δίδοσθαι πῦρ καθαρτήριον, ἐπειδὴ ὁ διδάσκαλος ὀνομάζει κόλασιν, καὶ κεκαθαρμένων λαμπρότητα. Ετι ὁ διδάσκαλος ἐν τοῖς κατόπιν φησὶ, δεινὸν γὰρ εἰ ἐν καιρῷ καθάρσεως ῥυπωθήσομαι. σοὶ δὲ, φησὶν, πᾶς

ἀξιό-

cruciatū illū transmitti, & æternè puniri, quādo tempus punitionis est,nō purgationis. Scilicet tempus importunū recipiendi purgationē,& baptismū. Hic est legitimus sensus Gregorij. Legas admirādā eius orationē in sanctū baptisma, vbi passim seminata est hæc vox,purgatio. Et nota quod baptismū nominet lumē propter splendorē. Et paulo infrà infert,dicēs:lumē,& qui illinc est splendor ijs qui hìc purgati sūt,quādo iusti resplendēt,sicut Sol. Nota etiā illa verba, baptismi gratia & facultas est,nō orbē terrarū, vt olim,aquis obruens,sed vniuscuiusq;hominis peccatū purgās,easq; obstructiones,vel maculas,quę vitio cōtrahuntur,prorsus abstergēs. Et paulo infrà,ne negligas legere & illa: præclarè mecum agi putarē, si ipsæ quoq;vulnerū notæ delerētur; quandoquidē & ipse misericordia opus habeo. Pręstat tamē,secūda purgatione minimè indigere, verùm in prima cōsistere,quę omnibus cōmunis est,& labore vacua,cūctisq;ex æquo patet,tam seruis,quam heris,& quę sequūtur. Et rursus,adhortatur nos,vt lustraliū aquarū participes simus, quæ & hyssopū abstergēdi facultate superāt,& legalē sanguinē puritate, & vitulæ cinerē sanctitate,inquinatos homines aspergētis ac breuē corporis purgationē afferentis,nō autē peccatū prorsus de medio tollētis. Et rursus,ne differas purgationē,melius est cōsequi bonū,& custodire purgationē. Quocirca ne tātoperè purgationē formides. Et illud, miserū est, serum conciliū capere, ac tum damno affici, quum nulla iam ratione acceptū incōmodū sarcire potest,hoc est,postquā hinc excesserimus,acerbèq,cōsulta fuerint, quæ quisq;in hac vita gessit, atq;& scelerati homines supplicio, & qui animos purgarint, splēdore affecti fuerint. Ex his igitur verbis,accedat aliquis Barlaam, & incōsideratè colligat,nō dari ignē purgatoriū,quādoquidē Doctor nominat punitionē,eorū qui purgati sunt, splen-

ἀξιόπιστος εἰς τὴν κάθαρσιν μόνον ἔστω τις τῶν ἐγκείτων καὶ μὴ τῶν προδήλως κατεγνωσμένων. καὶ, μὴ φιλοφρόνει μοι τὰς ἀξίας τῶν σὲ καθαιρόντων μηδὲ διὰ κείνου πρὸς τοὺς γεννήτορας. καὶ ἐπειδή τινες ἔφασκον χρῆναι αὐτοὺς βαπτισθῆναι τριακοντούτας κατὰ μίμησιν τοῦ Χριστοῦ, ἀποκρίνεται. Θεὸν εἰπὼν λέλυκας τὸ ζητούμενον. ὁ μὲν γὰρ αὐτοκάθαρσις ἦν καὶ οὐκ ἐδεῖτο καθάρσεως, ἀλλὰ σοὶ καθαίρεται. καὶ κατωτέρω. δεῖ δὲ μὴ σοφισθῆναι τὸν καθαρμὸν, ἀλλ' ἐνσημανθῆναι, λαμπρυνθῆναι τελείως. καὶ, μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, τοῦτο τῆς παντελοῦς καθάρσεως. καὶ, φύλαξόν μοι τὴν κάθαρσιν. καὶ, μόνον ἀεὶ φιλοπόνει τὴν κάθαρσιν, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος. καὶ ἧς ἔτυχες κατὰ δωρεὰν ἀφέσεως ταύτην ἐπιμελείᾳ συντήρησον. καὶ μακρὸν ἂν εἴη διεξελθεῖν ταῦτα, ἃ πανταχοῦ τοῦτο σημαίνουσιν. καὶ εἰ μή τις μαίνεται καὶ ἰσχυρογνώμων ἐστὶν, ὁποῖοι εἰσὶν οἱ ἡμέτεροι Γραικοὶ, ῥαδίως ἂν ταῦτα πιστεύσειε καὶ συγχωρήσειε.

ΚΕΙΜΕΝΟΝ.

ΕΤι ὁ Κύριος ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ περὶ τοῦ πλουσίου, καὶ Λαζάρου διδάσκων τὸν ἑκατέρου διαδεξάμενον κλῆρον, τὸν μὲν Λάζαρον, φησὶν, ἅμα τῷ ἀποθανεῖν ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ. τὸν δὲ πλούσιον ὁμοῦ τε ἀποθανόντα, καὶ τὴν ψυχὴν αὐτοῦ εὑρεθῆναι ἐν τῷ ᾅδῃ ὑπάρχουσαν ἐν βασάνοις. καὶ οὕτω διὰ μὲν κόλπον τοῦ Ἀβραὰμ τὴν ἀκροτάτην κατάστασιν ἐν τῇ εὐδαίμονι λήξει τῶν θεοφίλων ἐμφήνας. διὰ δὲ τοῦ ᾅδου καὶ τῶν βασάνων, τὴν ἐσχάτην κατάκρισιν, καὶ αἰωνίαν δίκην τῶν ἁμαρτωλῶν παραστήσας, οὐκέτι μεταξὺ τούτων ἕτερον τόπον κατέλιπε πρόσκαιρόν τινα βάσανον ἔχοντα, ἀλ-

ſplendorẽ. Prætereà Doctor in cõſequentibus ait: graue enim fuerit, ſi in purgationis tempore inficiar, atq; commaculer. Tibi verò, inquit, quiuis ad purgationem ſatis idoneus eſt, qui modo inter probatos cenſeatur, & non apertè cõdemnatus ſit. Et illud, nec eorũ, à quibus purgaris dignitates excute, nec inter genitores delectũ habe. Et quoniã nõnulli fatebãtur, oportere ipſos ad imitationẽ Chriſti trigeſimo anno baptizari, reſpõdet, cũ Deũ dixiſti, quæſtio abs te ſoluta eſt; nã ille purgatio ipſemet erat, nec purgationis indigebat, verũ tua cauſa purgabatur. Et paulo infrà: Porrò nõ fucãda eſt purgatio, ſed imprimẽda, tibiq; hoc agẽdũ, vt plenè, ac perfectè ſplendeſcas, nõ vt leuiter, atq; in ſuperficiẽ illinaris. Et illud, beati, quorũ remiſſę ſunt iniquitates. hoc omnimodæ purgationis. Et illud, ſerua mihi purgationẽ. Et illud, modò cures vt purgationẽ ſummo ſtudio excolere nunquã intermittas, aſcẽſiones in corde tuo diſponẽ, atq; acceptam, Dei beneficio, & gratia, veniã, cura, vt diligẽtia tuearis. Et longũ eſſet hæc cẽſere, quæ vbiq; iſtud ſignificant. Et niſi quis inſanus ſit, & pertinax, quales ſunt noſtrates Græci, facili negotio hæc crediderit, & admiſerit.

TEXTVS.

DOminus etiam noſter in Euangelio ſecundum Lucam docens quę ſit vtriuſq; futura conditio, Lazarũ quidẽ dicit, ſtatim atq, mortuus fuerit delatũ iri ab Angelis in ſinũ Abrahæ; Diuitẽ verò ſimul atq; mortuus fuerit, etiã animã ipſius inuentũ in inferno, exiſtentem in tormẽtis. Atq, ita per ſinũ quidem Abrahæ, ſupremũ illũ ſtatũ in beata requie piorũ ſignificans; per infernũ verò, & tormẽta, extremam damnationẽ, & pœnam æternam. Nullũ inter hæc mediũ locum reliquit, qui temporariam

pœ-

λ' ἡ χάσμα μέγα καὶ ἀδιάβατον διεῖργον ἑκατέρους ἐξ ἀλλήλων, καὶ τὴν ἄκραν καὶ ἄμεσον ἐναντίωσιν παριστῶν.

ΑΠΟΚΡΙΣΙΣ.

Ο Δὲ σωτὴρ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ ἐν εἴδει παραβολῆς μνημονεύει τοῦ πλουσίου καὶ τοῦ Λαζάρου, (καίτοι ἱστορίας οὔσης) οὐ μνημονεύει δὲ μέσου τινὸς, εἱρκτῆς, ζόφου, καὶ ἄλλων βασανιστηρίων, οὐκ ἄρα ταῦτα δίδοται, πρόσθες ὅτι ὁ μὲν Λάζαρος ἄξιος ὢν τοῦ παραδείσου τὴν σεσωσμένος, ὁ δὲ πλούσιος φαῦλος ὢν τῷ αἰωνίῳ πυρὶ ὑπῆρχε καταδεδικασμένος. διὸ καὶ βουλόμενος ὁ Κύριος διδάξαι τοὺς ἀνθρώπους τὰ δύο ἔσχατα, τὸν ᾅδην, καὶ τὸν παράδεισον, ὡς καὶ ἀλλαχοῦ ποιεῖ μνημονεύων τοῖν δυοῖν τούτοιν. ἐν γὰρ τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς κρίσεως οὐχ εὑρεθήσεται καθαρτήριον, καὶ διὰ τοῦτο ὡς γενικώτερον τὸ κριτήριον γενησόμενον περὶ πάντων ἐν ἐκείνῳ τῷ καιρῷ καὶ τῷ θεάτρῳ ἔμπροσθεν τῶν ἀγγέλων, καὶ τῶν ἀνθρώπων παρεισάγει. ἀλλαχοῦ μέντοι καὶ πανταχοῦ τῆς θείας γραφῆς μνείαν ποιεῖται τοῦ καθαρτηρίου πυρὸς, ὡς προαπεδείξαμεν. ἔπεισί μοι δὲ θαυμάζειν τῶν παρόντων ἑλλήνων, οἵτινες μετὰ τοῦ ἀμφιβαλλομένου Δαμασκηνοῦ ἡγοῦνται πλείστους ἀνάγεσθαι ἐκ τοῦ πυθμένος τοῦ ᾅδου καὶ τοῦ αἰωνίου πυρὸς ἐλευθεροῦσθαι, καὶ αὐτῶν εἴποις τῶν ἐθνικῶν καὶ ἀπίστων, τί δήποτε οὖν ξένον αὐτοῖς τοῦτο δοκεῖ, εἰ καὶ περὶ τῶν πιστῶν μετανοησάντων, καὶ διὰ τῆς ἐξομολογήσεως καθαρθέντων, καὶ τὸν κανόνα μὴ πληρωσάντων τῇ θείᾳ γραφῇ πειθόμενοι, μετὰ πολλῶν διδασκάλων ὁμολογοῦμεν καὶ φρονοῦμεν, αὐτοῖς δίδοσθαι τὸ πρόσκαιρον καθαρτήριον;

ΚΕΙΜΕΝΟΝ.

Ε Τι τὴν ψυχὴν ἀπαλλαγεῖσαν τοῦ σώματος, καὶ ἀσώματον πάντη καὶ ἄϋλον γενομένην, οὐκ ἔστιν εἰκὸς ὑπὸ

σω-

pœnam contineat;sed ingentem quendam,& imperuium hiatum, separantem vtrosque ad inuicem, & summam omnisque medij expertem contrarietatem statuens.

RESPONSIO.

SAluator in Euangelio secundum Lucam sub specie parabolæ mentionē facit diuitis, & Lazari; cum tamen historia sit. non autem mētionem facit alicuius medij, nimirum carceris,caliginis, & aliorū cruciatuum,nō igitur hæc cōcedi debent. Adde quod Lazarus quidem cum esset dignus Paradiso, erat saluus Diues verò improbus existēs æterno igne erat cōdemnatus. Præterea volens Dominus docere homines duo extrema,Infernū, & Paradisum, vt etiam alibi facit,hæc duo cōmemorans; quippe in extremo die iudicij non reperietur purgatorium,propterea vt iudiciū generalius futurū de omnibus in illo tempore, & theatro coram Angelis,& hominibus, introducit,alibi tamen, & vbiq; in sacra scriptura mētionem facit ignis purgatorij, vt anteà ostēdimus. Admiror verò præsentiā Græcorū, qui vnà cum ambiguo Damasceno arbitrantur,multos ex profundo inferni sursū ferri & æterno igne liberari quamuis ex ipsis Ehnicis, & infidelibus dixeris. Cur igitur ipsis id mirū videtur si etiā de fidelibus pœnitentibus. & per exomologesim purgatis, nondum expleto canone pœnitentiæ, diuinæ scripturæ obtemperantes,vnà cum multis doctoribus confitemur, & sētimus, ipsis dari temporaneum ignem purgatorium?

TEXTVS.

PRæterea consentaneum non est, animam, quando migrauit è corpore,vt iā prorsus, incorporeā, ma-

σωματικοῦ πυρὸς κολάζεσθαι, τοῦ σώματος αὐτῆς, οὗ τὸ πῦρ ἔμελλε περιδράττεσθαι, διαφθαρέντος. μετὰ γὰρ τὴν ἀνάστασιν ἐπαναλαβούσῃ τὸ σῶμα ἄφθαρτον, καὶ τῆς κτίσεως πάσης ἀλλοιωθείσης, καὶ διαιρεθέντος τοῦ πυρὸς, ὡς μανθάνομεν, εἰκὸς αὐτῇ τὴν ὑπὸ τούτου κόλασιν κατάλληλον ἔσεσθαι, καὶ οὐκ αὐτῇ μόνον, ἀλλὰ καὶ τοῖς δαίμοσιν, ἅτε καὶ αὐτοῖς ζοφεροῖς οὖσι, καὶ οὐχ ὕλην τινὰ καὶ παχύτητα περιβεβλημένοις, καὶ σώματα ἀέρια, ἢ πύρια (λέγε πύρινα) κατὰ τὸν μέγαν Βασίλειον. πρὶν δὲ τὸ οἰκεῖον σῶμα ἀπολαβεῖν, εἶδος οὖσα μόνον τῆς ὕλης ἄμικτον, εἰ καὶ καθ' ἑαυτὴν ὑφέστηκε, πῶς ἂν ὑπὸ σωματικοῦ πυρὸς κολάζεσθαι δύναται.

ΑΠΟΚΡΙΣΙΣ.

Ἔτι τὴν ψυχὴν (φησὶν ὁ Βαρλαὰμ) ἀπαλλαγεῖσαν τῆς σώματος παχύτητος, καὶ ἄϋλον γενομένην, οὐκ ἔστιν εἰκὸς ὑπὸ σωματικοῦ πυρὸς κολάζεσθαι, τοῦ σώματος αὐτῆς, οὗ τὸ πῦρ ἔμελλε περιδράττεσθαι, διαφθαρέντος. καὶ ἐνταῦθα φιλοσοφεῖ ὁ Βαρλαὰμ μὴ δύνασθαι χωρὶς σώματος τὴν ψυχὴν κολάζεσθαι. τὸ αὐτὸ φρονεῖ καὶ περὶ τῶν δαιμόνων, οὓς λήψεσθαι, φησὶ, σώματα ἀέρια ἢ πύρια (λέγε πύρινα) φαντάζεται, ἵνα κολασθῶσιν, ὡς μὴ δυναμένου τοῦ Θεοῦ ἄλλως κολάζειν. πῶς οὖν αἱ ψυχαὶ ἄϋλοι οὖσαι πεῖραν λαμβάνουσιν τῆς εἱρκτῆς, τοῦ σκότους, τῶν ἄλλων ἀνιαρῶν, καὶ πρὸς αὐτὰ προσπαθῶς διάκεινται; καὶ θαυμαστοῖς τρόποις κολάζονται, ἀλλ' ὡς ἔοικεν ἐκ τῶν αἰθεροπίνων καὶ τῆς ἀσθενείας τῶν χαμαιζήλων καὶ χαμαὶ ἐρχομένων ὁ γενναῖος οὗτος τὴν νόσον τεκμαίρεται, καὶ οὐκ ἦλθεν εἰς νοῦν αὐτῷ ἡ ἀνάστασις τῶν διεφθαρμένων νεκρῶν, τὸ ἐκ τοῦ μηδενὸς παραγαγεῖν τὸν Θεὸν τὰ μεγέθη τῶν οὐρανῶν καὶ τὰ ἐν αὐτοῖς ἐμπεριεχόμενα ἄστρα καὶ σημεῖα, τὰ μακρὰ διαστήματα τῆς γῆς, τὰ ἄπειρα πλάτη τῆς θαλάσσης, τὰ πολυειδῆ γένη τῶν φυτῶν, τῶν δένδρων, τῶν ἀνθέων, τῶν πτηνῶν, τῶν ζώων

τῶν

teriæque expertem factam à corporali igne puniri, cum corpus ipsius, quod ignis erat apprehensurus, interierit. Post resurrectionem verò cum receperit corpus incorruptibile,& creatura omnis immutata fuerit,igne diuiso, vt docemur, verisimile est, pœnam quæ ab igne proficiscitur,congruentem ipsi fore; neq; ipsi solum, sed etiam Dæmonibus, vt potè etiam his caliginosis existentibus, neque materia aliqua indutis, & crassitie, & corporibus aerijs, vel igneis, iuxta magnum Basilium. Priusquam autem proprium corpus recipiat anima, forma tantum existens, nulli materiæ mixta etiamsi perse ipsam subsistat, quo pacto à corporali igne puniri possit.

RESPONSIO.

ANimam,inquit Barlaam,omninò separatam à corpore,& immaterialem existentem, non esse verisimile à corporali igne puniri, cum corpus ipsius, quod ignis erat apprehensurus iam interierit. Et hoc loco philosophatur Barlaam,non posse sine corpore animam puniri. Idē etiam sentit de Dæmonibus, quos recepturos corpora aerea,vel ignea imaginatur,vt puniantur. Quippè diuinum numen non valeat aliter punire. Quomodo igitur animæ immateriales existentes experiūtur carcerem,caliginem,alias molestias,& affectuosè ad ea se habent, & miris modis puniuntur? Verù, vt apparet ex humanis,& imbecillitate humilium,& humi prouenīētibus, Egregius morbum coniectat, & non venit ipsi in mētem resurrectio corruptorū corporum mortuorum, & ex nihilo produxisse Deum immensitates cœlorum, & quæ in ipsis continentur astra, & signa,longas dimensiones terræ, infinitas latitudines maris, multiplicia genera plantarum,arborum,florum,volatilia animalium,terrestrium,

τῶν χερσαίων, τῶν θαλασσίων, καὶ τὰ λοιπὰ θαύματα τῆς κοσμοποιΐας. σκεψάσθω δὲ καὶ τὰ τῆς χάριτος, τὸ τὸν Θεὸν τὸν ἀόρατον ὁρατὸν, τὸν ἄχρονον χρονικὸν, τὸν ἀναφῆ ψηλαφητὸν, τὸν ἀπαθῆ παθητὸν, τὸν υἱὸν τοῦ Θεοῦ υἱὸν τῆς παρθένου γενέσθαι, καὶ ὑπερφυῶς τὰς δύο φύσεις ἐν ἑνὶ προσώπῳ ὑφεστηκότι ἀσυγχύτως ἑνῶσαι. τὸ πλάσαι τὸν ἄνθρωπον (ἵν' ἐγγύτερον τοῦ ζητήματος ἅψωμαι) ἐκ νοερᾶς ψυχῆς ἀοράτου, καὶ ἀΰλου, καὶ ἀθανάτου, καὶ θνητοῦ, καὶ ὁρατοῦ, καὶ ὑλικοῦ, αἰσθητοῦ σώματος συνιστάμενον. τὸ τηρῆσαι τὸν αὐτὸν μετὰ τὸ πνεῦμα τοῖς μυστηρίοις, οἷον εἰπεῖν τῷ ὕδατι, τῷ ἐλαίῳ, τῷ μύρῳ, τῇ ἐπιθέσει τῶν χειρῶν, καὶ τοῖς λοιποῖς τούτοις καὶ αἰσθητοῖς καθαγιάζειν τὴν ψυχὴν, καὶ τὴν ἀνωτάτω ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας, Πέτρῳ τῷ κορυφαίῳ καὶ δι' ἐκείνου τοῖς ἄλλοις ἐπισκόποις ὀρθοδόξοις οὖσι, καὶ μὴ σχισματικοῖς χαρίζεσθαι. καὶ τὸ παραδοξότατον τὴν οὐσίαν τοῦ ἄρτου καὶ οἴνου εἰς αὐτὸ τὸ ἴδιον σῶμα, τὸ μαστιχθὲν, τὸ σταυρωθὲν, τὸ τῇ λόγχῃ κεντηθὲν, τὸ ἐκλάμψαν ἐν τῷ Θαβὼρ μεταβάλλειν. κἂν ὁ Καλβινιανὸς ψευδοπατριάρχης Καφαρναΐτης Κύριλλος, ἀπίστου τινὸς ἑβραίου θαυμάζοντος τὴν ὑπερφυᾶ ταύτην μεταβολὴν, ἔφη, ταῦτα οἱ ἀμαθεῖς τῶν θεολόγων δοξάζουσιν. αὐτὸς παρ' ἄλλων ἐρωτηθεὶς τί χρήσιμον πιστεύειν, οὐ τολμᾷ φανερῶς ἀρνηθῆναι τὴν μετουσίωσιν. καὶ φησὶ, μὴ εἶναι χρείαν αὐτὸν δοῦναι λόγον περὶ τούτου, καὶ φανερῶσαι τὴν ἀλήθειαν, ὦ τῆς πατριαρχικῆς ἀποκρίσεως· τὸ τὰ συμβεβηκότα χωρὶς ὑποκειμένου ἑστάναι, ὃν τρόπον ἀπαρχῆς τῆς κτίσεως ἦν τὸ φῶς διακεχυμένον μὴ ὑφεστῶτος αὐτῷ τοῦ ἡλιακοῦ δίσκου, ἐν ᾧ ὡς ἐν ὑποκειμένῳ μετὰ ταῦτα περιετέθη καὶ ἐρριζώθη, κατὰ τὸν μέγαν Βασίλειον περὶ οὗ γέγραπται, ὅτι παρ' αὐτῷ οὐδὲν ἀδυνατήσει ῥῆμα, καὶ σὺ εἶ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος. τίς οὖν ἀπιστήσει τὸ παντοδύναμον καὶ αὐτοκρατορικὸν καὶ μοναρχικὸν θεῖον μὴ δύνασθαι κολάσαι διὰ πυρὸς τὰς νοερὰς ψυχὰς, καὶ τοὺς ἀΰλους δαίμονας; τὸ δὲ λέγειν αὐτοὺς λαμβάνειν

maritimorũ,& reliqua miracula creationis. Animaduertat autẽ & ea quę sunt gratię, Deum inuisibilẽ, visibilem, æternum, temporaneũ; intractabilẽ, tangibilem; impassibilem, passibilem; filium Dei, filium Virginis factũ esse, & mirabiliter duas naturas in vna persona subsistẽte incõfusè cõiunxisse; creasse hominẽ (vt propius quæstionem attingam) qui ex intelligibili anima, inuisibili, immateriali, & immortali, atq; ex mortali corpore constat. Perfectiorẽ eum reddidisse secundũ spiritũ diuinis mysterijs, vt sic dicam, aqua, oleo, vnguento impositione manuũ, & simplicibus istis, & sensibilibus, sanctificasse animã. Atq; supremam potestatẽ soluendi, atq; ligandi peccata Petro Apostolorũ Principi & per ipsum alijs Episcopis orthodoxis, & nõ schismaticis, elargitũ fuisse. Et quod mirabilius est, substãtiam panis, & vini, in ipsũ propriũ corpus, quod verberatũ est, quod cruci affixũ, quod lancea perforatum, quod resplenduit in mõte Tabor transmutasse. Quamuis Caluinianus pseudopatriarcha Capharnaita Cyrillus à quodam infideli Hebræo admirãte supernaturalem hanc mutationem, responderit & dixerit, hæc imperiti Theologorũ opinantur. Ipse verò ab alijs interrogatus quid sit credendũ, non audet manifestè inficiari transmutationẽ & ait, non esse obligatũ de hoc rationem reddere, & manifestã facere veritatẽ. O Patiarchale respõsum Accidentia sine subiecto esse ad eum modũ quo à principio creationis erat lumẽ dispersum non subsistente ipsi solari orbe, in quo deinde tanquam in subiecto additum est, & plantatũ. De quo scriptũ est, quoniam apud ipsũ nullum verbum impossibile erit, & tu es Deus, qui facis mirabilia solus. Quis igitur non credet, omnipotens & imperiosum & monarchicũ numen, non posse punire per ignem intelligibiles animas, & immateriales Dæmones? dicere autem eos accipere corpus igneum,

simi-

βαλεῖν σῶμα πύρινον, ἴσον ἐστὶν αὐτοῖς λέγειν τῷ πυρὶ κολάζεσθαι. οὐδὲ γὰρ τὸ πῦρ κολάζει πῦρ, καὶ ψεύδη τοῦτο φάσκων. οὐ γὰρ λαμβάνουσι σώματα, εἰμὴ ὅταν τοῖς ἀνθρώποις ὁρῶνται. καὶ τοῦτο κατὰ παραχώρησιν. ἐγὼ δὲ ἔτι ταννῦν οἱ δαίμονες καὶ αἱ ψυχαὶ τῶν ἀμετανοήτων τῷ αἰσθητῷ, δριμυτάτῳ καὶ δραστικωτάτῳ πυρὶ κολάζονται, ὑπὸ τῆς θείας γραφῆς διδαχθεὶς ἀνενδοιάστως πεπίστευκα. Τὸν δὲ τρόπον ἀγνοεῖν φημί. ἀλλ᾽ οὐ διὰ τοῦτο ἀρνήσομαι τὴν ἀλήθειαν. καὶ τὴν θείαν γέννησιν τοῦ Χριστοῦ καὶ τὴν ἐνανθρώπησιν, ὡς καὶ τὰ ἄλλα θεῖα μυστήρια καὶ τὴν κατασκευὴν, καὶ ἐπιμιξίαν τῆς ψυχῆς καὶ τοῦ σώματος τοῦ ἀνθρώπου, καὶ τὸ αὐτεξούσιον, καὶ ἄλλα πλεῖστα. κἂν τούτοις ἅπασι τὸ ἀκατανόητον καὶ ἄφατον μυστήριον τῆς μακαρίας τριάδος, καθαρᾷ καρδίᾳ καὶ ὁλοψύχως πιστεύω, ὁμολογῶ, καὶ κηρύττω καὶ πεῖραν λαμβάνω τῆς ἀληθείας ἐλεύθερος ὢν, τῷ ἰσοθέῳ αὐτεξουσίῳ τετιμημένος, Τὸν δὲ τρόπον παντελῶς ἀγνοῶ.

Τὸ δ᾽ αὐτὸ ἐστὶν ἰδεῖν κἂν τοῖς θαύμασιν, ἐν οἷς εὑρήσει τὶς πλεῖστα δυσκατανόητα καὶ ὑπερφυᾶ ἀλλ᾽ οὐ διὰ τοῦτο ἀρνητέα. εἰ δὲ μὴ, φρασάτω ἡμῖν ὁ σοφὸς Βαρλαὰμ καὶ διασαφηνισάτω τὸ τοῦ Ἰωνᾶ μυστήριον, ὁ τὸ ὑλικὸν πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ τοὺς ἀΰλους δαίμονας μὴ δύνασθαι κολάζειν πιστεύων. (ὑλικὸν δὲ φημὶ οὐχ οἷον τὸ παρ᾽ ἡμῖν ἀναμεμιγμένον ἐκ διαφόρων ὑλῶν καὶ μὴ καθαρὸν, ἀλλ᾽ ἐκ σταθερᾶς ὕλης οἷον εἰδείη ὁ Θεὸς κατὰ τὸν Δαμασκηνόν. τὸ γὰρ ἡμέτερον τῷ αἰωνίῳ, καὶ ἔτι καθαρτηρίῳ πυρὶ παραβαλλόμενον ζωγραφίας τόπον ἐπέχει καὶ τύπον παριστᾷ. ὑλικὸν δὲ ὅμως, καὶ σωματικὸν, καὶ χεῖρον τοῦ ἡμετέρου κολάζον. οἷς οἶδεν ὁ Θεὸς τρόποις.) πῶς ὁ ἐνάλιος θὴρ καταπιὼν τὸν προφήτην ἐν τοῖς ἐγκάτοις τῇ φυσικῇ αὐτοῦ θέρμῃ ἐπὶ τοσοῦτον χρόνον οὐ κατηνάλωσε; πῶς νοῦν εἶχεν ἡσύχιον ὁ καταποθεὶς προσδέξασθαι καὶ εἰσακουσθῆναι; πῶς σῶον καὶ ὑγιᾶ τοῦτον ἐξέμεσεν ὁ ὑπερμεγας ἰχθὺς, τῇ κινήσει καὶ βιαίῳ σκιρτήματι τὸ τούτου σῶμα

ſimile eſt dicerè, eos igne puniri, neque enim ignis punit ignem,& mentiris hoc aſſerens; non enim accipiunt corpora,niſi quando ab hominibus vidētur. Idque Deo permittente. Ego verò quod nunc etiam Dæmones, & animæ impœnitentium ſenſibili, ac acerbiſſimo, & efficaciſſimo igne puniantur, à ſacra ſcriptura edoctus ſine vlla ambiguitate credidi, modum verò ignorare me & valde affirmo. Sed non propterea veritatē negabo, quādoquidem & diuinam generationem Chriſti, atque humanā, vt etiam alia diuina myſteria, & cōſtitutionem, & cōiunctionem, animę, & corporis hominis & liberū arbitriū, & alia plura, atq; in his omnibus inintelligibili & ineffabile myſteriū beatę Trinitatis ſyncero corde, & toto animo credo, fateor, & prędico, & experientiā capio veritatis liberi arbitrij, liber exiſtens libero arbitrio, ſimili Deo honoratus, modum verò penitus ignoro.

Hoc idem eſt videre etiā in miraculis, in quibus reperiet aliquis multa difficillima captu, ſupernaturalia, ſed nō propterea neganda ſunt. Sin minus dicat nobis ſapiēs Barlaam, & explicet myſteriū Ionę, qui credit materialem ignem paratum Diabolo, & Angelis eius non poſſe immateriales Dęmones punire, (materialem, inquam, nō qualis eſt apud nos permixtus, ex diuerſis, materijs, & non purus, ſed qualem nouit Deus ſecundum Damaſcenum; noſter enim ignis ęterno, & etiam purgatorio igni cōparatus, locū picturę tenet, & figuram exprimit, materialis tamen, & corporalis eſt, purus & noſtrate peius puniens, quibus nouit Deus modis) quomodo bellua marina deglutiens prophetam in viſceribus naturali ſuo calori tanto tempore non conſumpſit? quomodo mentem habuit tranquillam deuoratus, vt ſupplicaret, & exaudiretur? quomodo integrum, & ſanum hunc euomuit permagnus Piſcis, & motu ſuo, & violento ſaltu huius corpus

οὐ διέφθειρεν ὅτε πρῶτον ἐδέξατο, καὶ ὅτε ὕστερον ἀπώσατο; πῶς τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ ἡ φλὸξ διετήρησε, μᾶλλον δὲ ἐδρόσισε, καὶ τούτων ψαῦσαι οὐκ ἐτόλμησε, τοῦ πυρὸς τὰ δεσμὰ καὶ τοὺς περιεστῶτας κατακαύσαντος; πῶς οἱ λιμώττοντες λέοντες ἐν τῷ λάκκῳ τὸν Δανιὴλ οὐκ ἐσπάραξαν; πῶς ὁ ἥλιος ἔστη τοῦ δρόμου, τοῦ δεσπότου τῷ δούλῳ ὑπείκοντος καὶ ὑπακούοντος κατὰ τὴν θείαν γραφήν; πῶς φωνὴ προφητικὴ θείου ζήλου γέμουσα τὰς νεφέλας ἐδέσμευσε καὶ τριετίζουσαν ἀβροχίαν εἰργάσατο; ταῦτα οὖν μὴ εἰδὼς ὁ σοφώτατος Βαρλαὰμ ἵνα μὴ λέγω, τὸ μὴ κέρμηκα Βασιλείου περὶ τῶν ἄλλων παραπλησίων μὴ λίαν τολμηρῶς ἀποφαινέτω.

ΚΕΙΜΕΝΟΝ.

ΕΤι (φησὶν ὁ αὐτὸς) οἱ τὸν ἰσάγγελον ἐπὶ γῆς πολιτευσάμενοι βίον ὅσιοι πατέρες ἡμῶν, πολλαχοῦ καὶ πολλάκις δι' ὀπτασιῶν καὶ ἐνυπνίων καὶ ἑτέρων θαυμάτων τὰ περὶ τῆς αἰωνίου κολάσεως καὶ τῶν ἐν αὐτῇ ἀσεβῶν καὶ ἁμαρτωλῶν αὐτοίγε μυούμενοι, καὶ τοὺς ἄλλους μυοῦντες, καὶ παρόντα, καὶ ὡς ἤδη γενόμενα, θέμενοί τε καὶ δεικνῦντες τῷ λόγῳ καθάπερ καὶ ἡ κατὰ Λουκᾶν παραβολὴ διαζωγραφεῖ, περὶ καθαρτικοῦ προσκαίρου πυρὸς, οὐδὲν οὐδαμῶς διεσάφησαν.

ΑΠΟΚΡΙΣΙΣ.

Η Διήγησις τοῦ πλουσίου καὶ τοῦ Λαζάρου προτίθεται μὲν ὡς παραβολὴ, ἔστι δὲ ἱστορία λεγομένων τῶν ὀνομάτων τοῦ Ἀβραὰμ, τοῦ Λαζάρου, καὶ ἀριθμουμένων τῶν πέντε ἀδελφῶν τοῦ πλουσίου. ὅθεν ὁ Χρυσόστομος ἀγνοουμένων τινῶν τὰ τοιαῦτα, ἐπιφέρει ὡς ἀτοπώτατον, λέγων ἐν τῷ ἠθικῷ τῆς εἰκοστῆς πέμπτης ὁμιλίας πρὸς Ῥωμαίους. οὐκοῦν ῥήματα ταῦτα, καὶ οὔτε ὁ πλούσιος ἐκεῖνος κολάζεται ὁ τὸν Λάζαρον ὑπεριδών; Ὁ δὲ ἅγιος Κύριλλος κατὰ ἀνθρωπομορφιτῶν τὸ

ἐκκαι-

pus non destruxit, quando primùm recepit, & quando vltimò expulit? quomodo tres pueros in camino ardenti conseruauit ignis, quin potius, & irrorauit, & hos tangere nō ausus est, cum alioquin ignis ligamina, & circumstantes combusserit? Quomodo Leones fame laborantes in lacu, Danielem non dilacerauerūt? Quomodo Sol stetit à suo cursu, hero cedente, & obediente voci Serui iuxta diuinam Scripturam? Quomodo vox prophetica diuini zeli plena nubes constrixit, & triennio siccitatem effecit? Hęc igitur cum nesciat sapientissimus Barlaam, ne dicam formicam Basilij, de alijs similibus ne valdè audacter enunciet.

TEXTVS.

PRæthereà Sancti Patres nostri, qui parem cum Angelis in terra vitam duxerunt, multifariam, & frequēter per visiones, & insomnia, aliaq; miracula de supplicio æterno, quo impij, & peccatores cruciantur, cum ipsi instituti, tum alios instituētes, ac veluti præsentia, & iam facta statuentes, atq; exponētes, quemadmodum, & parabola illa secundum Lucam describit; de purgatorio temporario igne nihil in vniuersum declararunt.

RESPONSIO.

NArratio Diuitis, & Lazari proponitur quidem vt parabola, est autem historia, cum exprimātur nomina Abrahami, & Lazari, & numerentur quinque fratres Diuitis. Vnde Chrysostomus, cum quidam hæc negarent tanquam non vera, infert vt absurdissimum, dicens in morali 25. homiliæ ad Romanos igitur verba sūt hæc, & neq; Diues ille punitur, qui Lazarū despexit?

ἐννεακαιδέκατον κεφάλαιον οὑτωσὶ ἐπάγει. Πρὸς τοὺς λέγοντας ὅτι ἑκάστῳ ἀνταπόδοσις ἐκληρώθη ἀξία. οὐ γὰρ εἶπεν ὁ σωτὴρ πτωχός τις ἄνθρωπος, ἀλλὰ Λάζαρος. ἵνα τῇ προσηγορίᾳ δείξῃ, πείρᾳ καὶ ἀληθείᾳ ταύτην πεπρᾶχθαι. εἶτα ἐπάγει. Ἐστι τοίνυν παραβολῆς τρόπος ἀστείως ἐσχηματισμένος τά τε ἐπὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου εἰρημένα παρὰ Χριστοῦ, ἔχει δὲ ὁ λόγος, ὡς ἡ ἑβραίων ἔφη παράδοσις. Λάζαρον εἶναί τινα κατ' ἐκεῖνο καιροῦ ἐν τοῖς Ἱεροσολύμοις ἐσχάτην νοσοῦντα πτωχίαν καὶ ἀῤῥωστίαν. οὗ καὶ τὸν κύριον μνημονεῦσαι, ὡς εἰς παράδειγμα λαμβάνοντα αὐτὸν εἰς ἐμφανεστέραν τοῦ λόγου δήλωσιν. ὅτι δὲ ὡς ἀληθῶς παρόντα καὶ ἤδη γεγενημένα καὶ γινόμενα καθ' ἑκάστην, διὰ πολλῶν πρότερον σαφῶς ἀπεδείχθη. καὶ ψευδῶς φῂς οὐδὲν οὐδαμῶς διεσάφησαν.

Ἐπεὶ δὲ ὀπτασίας ὠνόμασας, ἀνάγνωθι τὸν λειμῶνα τὸν πνευματικὸν καὶ τὰ καλούμενα πατερικά. ἐν οἷς εὑρήσεις τινὰς ἐκ τοῦ πυρὸς ῥυσθέντας διὰ πρεσβειῶν καὶ θυσιῶν τῶν δούλων τοῦ Θεοῦ. καὶ μὴ ἀπίστει. ὡς καὶ πρότερον σχεδὸν ἐν ἀρχῇ τοῦ ζητήματος τοῦτο ἔκ τινων τροπαρίων τῆς παρακλητικῆς καὶ τοῦ πεντηκοσταρίου ἐναργῶς παρεστήσαμεν. καὶ σημείωσαι ταῦτα οὐ μόνον ἑλληνικῶς, ἀλλὰ καὶ εἰς τὴν κοινὴν γλῶσσαν μετενεχθέντα παρὰ τοῖς μοναχοῖς ἐν τοῖς μοναστηρίοις εὑρίσκεσθαι, οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς παρ' αὐτῶν καλουμένοις νομίμοις καὶ ὑπ' ἐκείνων λαμπρῶς ἀναγινώσκεσθαι. λέγεται γάρ τις ἀοίδιμος ἀνὴρ ἀναχωρητὴς ἱερεὺς ἐσχηκέναι τινὰ μαθητὴν ἀνυπότακτον καὶ δυσπειθῆ, καὶ μετὰ θάνατον διὰ τὴν ἀπείθειαν ἐντὸς πυρίνου ποταμοῦ, ἢ χειμάῤῥου, χεῖρας καὶ πόδας δεδεμένον ὑποβρύχιον κολάζεσθαι, ὅπου πλῆθος ἄπειρον ἦν ἀνθρώπων κατακαιομένων. ὧν οἱ μὲν μέχρι ὀμφαλοῦ, οἱ δὲ ἀνώτερον, οἱ δὲ κατώτερον, καὶ πλεῖον καὶ ἧττον ἦσαν βεβυθισμένοι ὁ δὲ πνευματικὸς πατὴρ καὶ διδάσκαλος ἰδὼν τοῦτον ἐν ἀῤῥήτοις βασάνοις παιδευόμενον, λέγεται ὑπὲρ αὐτοῦ εὔξασθαι, καὶ μετὰ τὴν εἰκοστὴν ἱερουργίαν τῆς

ἀναι-

Sāctus verò Cyrillus aduerſus Anthropomorphitas 16. caput ſic inſcribit, ad eos qui dicunt, quod vnuſquiſque ſortitus eſt dignā retributionē; non enim dixit Saluator, pauper quidā homo, ſed Lazarus: vt appellatione oſtenderet de facto, & reuera hanc hiſtoriā factā eſſe. Deinde infert Cyrillus: Eſt igitur parabolæ modus eleganter formatus, quę circa Diuitē, & Lazarum dicta sūt à Chriſto. fertur autē, vt Hebræorū dicit traditio, Lazarū eſſe quēdam per id temporis Hieroſolymis, qui extrema laborabat paupertate, & morbo, cuius etiā Dominus mentionē fecit, tanquā qui ipſum in exemplū adduxit, in clariorem ſignificationē doctrinæ. Quod autem reuera hæc modo fiant, & iā facta ſint quotidie, multis anteà clarè oſtēſum eſt, & mendaciter ais, nihil in vniuerſum declararunt.

Quādoquidē verò viſiones cōmemoraſti, legas Pratū Spirituale & quæ vocātur, πατερικά, hoc eſt, Sanctorum Patrū legēdæ in quibus reperies nonnullos liberatos ab igne per preces, & ſacrificia ſeruorū Dei. Et ne ſis incredulus, vt & anteà fermè à principio quæſtionis iſtud ex nonnullis troparijs libri paracletici, & pētecoſtarij clarè probauimns. Et nota hæc non ſolū Græcè, ἑλληνικῶς, ſed in communē, & vernaculam linguam tranſlata apud Monachos in monaſterijs reperiri. Verum e[illegible] verò & in ijs quæ apud ipſos vocantur νόμιμα, hoc eſt, legitima, hæc ab ipſis egregiè recitari. Fertur enim quidā venerādus Vir Anachoreta Sacerdos habuiſſe quēdā diſcipulum inobedientē, & cōtumacē, atq; poſt mortem propter inobedientiam intra fluuiū igneū, ſeu torrentem, manibus, & pedibus ligatis ſubmersū puniri, (vbi infinita multitudo erat hominum qui comburebantur, quorum nonnulli vſque ad vmbilicum, alij ſuperius, alij inferius, & plus, vel minus erant ſubmerſi.) is verò ſpiritualis Pater, & magiſter videns diſcipulum in tormentis intolerabili-

ἀναιμάκτου θυσίας ὑπὲρ αὐτοῦ προσφερομένης, ἑωρακέναι, οὐκέτι αὐτὸν ὁλοχερῶς, ἀλλὰ μέχρι ὀμφαλοῦ τιμωρούμενον, ὁ δὲ γέρων πατὴρ προθυμηθεὶς πληρῶσαι τὸν ἀριθμὸν τῶν τεσσαράκοντα λειτουργιῶν, ἀπαλλάξαι παντάπασι τοῦ πυρὸς τὸν βασανιζόμενον.

Τὸ αὐτὸ δὲ φέρεται καὶ παρὰ Δαμασκηνῷ περὶ τῶν κεκοιμημένων, ἐν οἷς λέγει ἄλλῳ δὲ πάλιν τὸν θεοφόρον πατέρα μαθητὴν ἔχοντι, καὶ τὰ ἑξῆς. Ὅπερ ἀληθεύεται, καὶ νοεῖται περὶ τοῦ πυρὸς τοῦ καθαρτηρίου. Ὁ δέγε Δαμασκηνὸς οὐ διακρίνει τὸ πῦρ. ἀλλὰ συγκεχυμένως φθέγγεται. καὶ εἴπερ γνήσιος ἐστὶν ὁ περὶ τῶν κεκοιμημένων λόγος τοῦ Δαμασκηνοῦ, ἐν αὐτῷ περιέχονται τινὰ, τοῦτο μὲν λίαν καλὰ καὶ ἐπαινετὰ, τοῦτο δὲ οὐ λίαν καλῶς ἐσκεμμένα, καὶ διὰ τοῦτο διορθώσεως δεόμενα, ἅπερ ἐπισημειώσασθαι ἡμᾶς χρή.

Καὶ πρῶτον αἱ μαρτυρίαι τῶν ἁγίων αἱ παρεξιοῦσαι ἡμᾶς ποιεῖν ἐλεημοσύνας, καὶ προσευχὰς, θυσίας ὑπὲρ τῶν ἀπελθέντων, καὶ μνήμην ἐπὶ τῆς ἀναιμάκτου θυσίας, καὶ τρίτα, καὶ ἔννατα, καὶ τεσσαρακοστὰ, καὶ τὰς ἐτησίους μνήμας, καὶ τριετίας, θεάρεσταί εἰσι, καὶ τῷ Θεῷ δεκταὶ, καὶ μεγάλην ὠφέλειαν παρέχουσι ταῖς ψυχαῖς κἂν ὦσιν ἐν προσκαίρῳ φλογὶ καιόμεναι ταῖς πρεσβείαις καὶ εὐποιΐαις τῶν ζώντων θεραπεύονται, ἐλεύθεραι τοῦ πυρὸς γινόμεναι. καὶ τοῦτο ἐστὶν ὅπερ [redacted] φαμὲν πῦρ καθαρτήριον. καὶ πρὸς τοῦτο ἀφορᾷ τὸ παράδειγμα τοῦ μαθητοῦ τοῦ γέροντος, τοῦ ἐν ἀμελείᾳ βεβιωκότος. οὐ γὰρ ἴσμεν ὅποι ποτέ εἰσιν αἱ ψυχαὶ, οἷον εἰ ἐν πυρὶ τῷ καθαρτηρίῳ, ἢ ἐν ἄλλοις αἰτίαις κατὰ τὴν ποσότητα καὶ ποιότητα τῶν ἁμαρτιῶν. εἰ γὰρ εἴδημεν ἀκριβῶς αὐτὰς εἶναι ἐν τῷ πυθμένι τοῦ ᾅδου, οὐχ ἧττον ὑπὲρ αὐτῶν, ἢ τοῦ διαβόλου ἐδεήθημεν ἂν κατὰ τὸν μέγαν Αὐγουστῖνον.

Δεύτερον τὴν πρωτομάρτυρα ἐν γυναιξὶ Θέκλαν σῶσαι μετὰ θάνατον τὴν Φαλκονίλλαν, οὐκ ἔστιν ἀπίθανον. πολλοὶ γὰρ καὶ ἄλλοι τῶν ἁγίων τοιαῦτα πεποιήκασι, καὶ ὡς δοκεῖ τοῖς θεολόγοις αἱ τοιαῦται ψυχαὶ οὐ κατάγονται εἰς τὸν ᾅδην,

τοῦ

bus puniri, rogasse pro ipso, & post vigesimum sacrificiũ in gratiam ipsius oblatum, non amplius eum aspexisse totaliter punitum, sed vsque ad vmbilicum. Quocirca senex pater animatus, expleto numero quadraginta missarum, liberasse eum omninò ab igne, quo cruciabatur.

Hoc idem fertur & apud Damascenum in oratione de dormiẽtibus, vbi dicit rursus verò cum alter ex Deiferis Patribus discipulũ haberet inobedientẽ &c. Quod sanè verificatur, & intelligitur de igne purgatorio: Damascenus verò nõ discernit ignem, sed cõfusè loquitur: Et si quidem germanus est de dormientibus sermo Damasceni, in ipso continentur nonnulla partim valdè bona, & laudabilia, partim verò nonnulla non adeo bona, neq; valdè benè considerata, & propterea correctione indigentia, quæ nos adnotare oportet.

Et primùm quidem, testimonia sanctorũ, quibus hortantur nos Sancti facere eleemosynas, preces, sacrificia pro mortuis, & memoriã in incruẽtis sacrificijs, & terna, & nona, & quadragesimaria & annuas cõmemorationes; & officia grata sunt Deo, & accepta & magnam vtilitatẽ præbent animabus, etiam si sint in igne ad tempus, quo eæ comburuntur, ac precibus, & bonis operibus viuorũ curãtur liberę ab igne factæ; & hoc est, quod nos fatemur esse ignẽ purgatorium, & ad hoc spectat exemplum illius discipuli Senis, qui in negligẽtia vixit. Non enim scimus vbinam sint animæ, exempli causa si in igne purgatorio, vel in alijs molestijs iuxta quantitatẽ, & qualitatẽ criminum. Si enim sciremus certè eas esse in profundo inferni, non minus pro ipsis, quam pro Diabolo vtiq; supplicaremus, secundum magnum Augustinum.

Secundo, primam inter mulieres martyrem Theclam saluasse post mortem Falconillam non est improbabile; multi enim etiam alij Sanctorum huiusmodi res gesserunt

τοῦ Θεοῦ εἰδότος τὴν ἐσομένην πρεσβείαν, καὶ ἀλλαχοῦ διά-
γειν παραχωροῦντος.

Τρίτον τὸ τοῦ Γρηγορίου τοῦ διαλόγου τῆς πρεσβυτέρας Ῥώμης πάντως οὐκ ἀποδεκτέον, ὅτι ψευδεῖς ἐκ τῶν λοιπῶν περιστάσεων παρίσταται. Ὁ γὰρ Δαμασκηνὸς φησὶ μάρτυς ἐστὶ πᾶσα καὶ ἑσπέριος. οἱ δὲ λεπτομερῶς γράψαντες τὸν βίον τοῦ παμμάκαρος οἰκουμενικοῦ διδασκάλου, καὶ μόνου οἰκουμενικοῦ Πάπα ἑσπέριοι, οὐδὲν τοιοῦτον λέγουσιν. οὐδὲ παρὰ τοῖς ἀρχείοις τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἐξ ὧν τὸν βίον τοῦ διδασκάλου συνέθετο, ἔστιν εὑρεῖν τι τοιοῦτον. καὶ θαυμαστὸν οὐδὲν τὸν Δαμασκηνὸν ὑπὸ τῆς ψευδοῦς φήμης ἐξαπατηθῆναι, πολλὰ γὰρ τοιαῦτα εἴωθε γίνεσθαι, ἀμέλει, ὁ κατ' ἐξοχὴν θεολόγος Γρηγόριος τὸν Κυπριανὸν μάγον τῆς Ἀντιοχείας καὶ τῆς παρθενομάρτυρος Ἰουστίνης, καὶ τὸν σοφὸν καὶ ῥητορικώτατον τῆς Ἀφρικῆς ἕνα καὶ τὸν αὐτὸν οἴεται εἶναι, ἀπατηθεὶς ὑπὸ τῆς φήμης. ἀλλ' ὃ τοῦτο δείκνυσι ψευδέστατον εἶναι, ὁ μέγας Γρηγόριος ἐν τῇ δεκάτῃ πέμπτῃ ἐπιστολῇ τοῦ ἕκτου βιβλίου γράφων πρὸς Γεώργιον πρεσβύτερον, καὶ Θεόδωρον διάκονον τῆς Κωνσταντινοπολιτῶν ἐκκλησίας σαφῶς ἀποφαίνεται, πιστεύειν τὸν Χριστὸν ἐν τῇ σωτηρίῳ αὐτοῦ καθόδῳ εἰς τὸν ᾅδην σῶσαι τοὺς πιστεύσαντας, καὶ τούτους εἶναι πολλοὺς τῶν ἑλλήνων καὶ ἐθνικῶν, τοῦτο εἶναι αἵρεσιν, ἀλλὰ τοὺς προπεπιστευκότας τὴν ἔλευσιν τοῦ Χριστοῦ, καὶ θεαρέστως ζήσαντας, τούτους ὁ Χριστὸς ἔσωσε, καὶ τὸ λέγειν ἄλλως αἵρεσις ἐστὶν. Ἡ ἐπιστολὴ πρὸς ἐκείνους οὕτως ἄρχεται, καὶ διέξεισι περὶ τούτου.

Μεμνημένος τῆς ὑμετέρας χρηστότητος καὶ ἀγάπης, ἐμαυτοῦ κατηγορῶ, ὅτι ὑμᾶς ἐπαναστρέψαι τάχιον ἐπέτρεψα, ἀλλ' ὅτι ἅπαξ καὶ δὶς ὑμᾶς ἀκαίρως ἐνισταμένους περὶ τῆς ὑμετέρας ἐπανόδου ἑώρακα, ἐκεῖνα μὴ δεινὸν εἴη τὴν ὑμετέραν ἀγάπην παρ' ἡμῖν πλέον περιμένειν. ἐπεὶ δὲ ἔγνωμεν ὑμᾶς τοσοῦτον χρόνον διὰ τὸ τοῦ χειμῶνος δεινὸν περιμείναντας, ὁμολογῶ ὅτι ἤλγησα ἀφεὶς τάχιον ἀπελθεῖν. εἰ

γὰρ

runt; & vt videtur Theologis, tales animæ non descendunt ad inferos, Deo sciente futuram supplicationem, & alibi degere ipsas permittente.

Tertio, illud Gregorij Dialogi veteris Romæ omninò non est acceptandum, quoniam falsum ex reliquis circumstantijs videtur. Damascenus enim dicit, testis est totus Oriens, & Occidens: qui verò singillatim scripserunt vitã beatissimi œcumenici Doctoris, & solius œcumenici Papæ occidui, nihil tale dicunt, neq; in Archiuijs Romanæ Ecclesiæ, ex quibus vitam Doctoris composuerunt, licet animaduertere tale aliquid. Et mirum non est Damascenum à falsa fama deceptum fuisse, multa enim eiusmodi solent fieri. Certè Gregorius per excellentiam Theologus Cyprianum magnum Antiochenum, atque Virginis & martyris Iustinæ, & sapientem, atque eloquentissimum Aphricanum, vnum & eundem existimat esse, à fama deceptus. Sed quod istud probat falsissimum esse, ipse magnus Gregorius in decima quinta epistola sexti libri scribens ad Gregorium Presbyterum, & Theodorum Diaconum Constantinopolitanæ Ecclesiæ, clarè enunciat, credere Christum in salutari eius descensu ad inferos, saluasse eos qui crediderunt, & hos esse multos Græcorum, & gentilium, istud esse hæresim, sed eos, qui anteà crediderunt in aduentum Christi, & piè vixerunt, hos Christus saluauit, & dicere aliter est hæresis. Epistola ad eos sic incipit, & de hoc differit.

MEmor bonitatis vestrę, atq; charitatis memetipsũ valdè reprehendo, quod vos ad remeandum citius relaxaui: sed quia semel ac secũdo importunè mihi de relaxatione vestra vos insistẽtes vidi; perpendi, ne graue esset, si vestra apud nos dilectio moraretur. Postquam verò cognouimus vos propter hyemis tempus tã lõgo tempore in itinere remãsisse, fateor, citius dimissos

esse

γὰρ τὴν προκειμένην ὁδοιπορίαν ἡ ὑμετέρα ἀγάπη ἀνύσαι οὐκ ἴσχυε, κρεῖττον ἦν παρ' ἐμοὶ τὴν σχολὴν ἄξαι, ἢ μακρὰν ἐμοῦ. ἔτι δὲ μετὰ τὴν ὑμετέραν ἀποδημίαν παρὰ τῶν προσφιλεστάτων ἡμῶν μου τῶν διακόνων διηγουμένων ἀκήκοα, ὅτι ἡ ὑμετέρα ἀγάπη εἴρηκε τὸν παντοδύναμον κύριον, καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὸν ᾅδην κατελθόντα, πάντας τοὺς ἐκεῖ ὁμολογοῦντας αὐτὸν Θεὸν εἶναι, καὶ ἀπὸ τῶν ὀφειλομένων τιμωριῶν ἐλευθερῶσαι. Περὶ οὗ βούλομαι τὴν ὑμετέραν ἀδελφότητα παντάπασιν ἄλλως φρονεῖν, διότι καταβὰς εἰς τὸν ᾅδην μόνους ἐκείνους διὰ τῆς αὐτοῦ χάριτος ἐρύσατο, οἵτινες αὐτὸν ἐλευσόμενον ἐπίστευσαν, καὶ τὰς αὐτοῦ ἐντολὰς βιοῦντες ἐτήρησαν. δῆλον δὲ ὅτι μετὰ τὴν ἐνσάρκωσιν τοῦ Κυρίου, οὐδεὶς ἐκεῖ σωθῆναι δύναται τῶν τὴν πίστιν αὐτοῦ κατεχόντων, καὶ τὴν ζωὴν ἁρμόζουσαν τῇ πίστει μὴ ἐχόντων· ὅτι γέγραπται, ὁμολογοῦσιν ἑαυτοὺς εἰδέναι τὸν Θεὸν τοῖς ἔργοις δὲ ἀρνοῦνται. καὶ ὁ Ἰωάννης φησὶν, ὁ λέγων ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστίν. Ἔτι δὲ Ἰάκωβος ὁ ἀδελφόθεος γράφει λέγων, ἡ πίστις ἄνευ τῶν ἔργων νεκρά ἐστιν. εἰ οὖν οἱ πιστοὶ χωρὶς τῶν ἔργων οὐ σώζονται, καὶ οἱ ἄπιστοι καὶ ἀδόκιμοι ἄνευ τῶν ἀγαθῶν πράξεων τοῦ κυρίου εἰς τὸν ᾅδην καταβάντος ἐσώθησαν, κρείττων ἡ τύχη, καὶ κατάστασις τῶν μὴ ἑωρακότων τὴν ἐνσάρκωσιν τοῦ κυρίου, ἢ τῶν γεννηθέντων μετὰ τὸ μυστήριον τῆς αὐτοῦ σαρκώσεως. ὅπερ λέγειν ἢ φρονεῖν πόσης μωρίας ἐστὶν αὐτὸς ὁ κύριος μαρτυρεῖ τοῖς μαθηταῖς λέγων, πολλοὶ βασιλεῖς καὶ προφῆται ἐπεθύμησαν εἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον. Ἀλλ' ἵνα μὴ διατρίβω τὴν ὑμετέραν ἀγάπην ἐν ταύτῃ τῇ ζητήσει διὰ πολλῶν κατέχων, γνῶτε τί περὶ ταύτης τῆς αἱρέσεως ἐν τῷ βιβλίῳ τῶν αἱρέσεων γέγραφεν ὁ Φιλάστριος, οὗ τινος ταῦτα εἰσὶ τὰ ῥήματα. Αἱρετικοί εἰσιν οἱ λέγοντες τὸν κύριον καταβεβηκέναι εἰς τὸν ᾅδην καὶ πᾶσι μετὰ τὸν ἑαυτοῦ θάνατον τοῖς ἐκεῖ οὖσι κηρύξαι, ὅπως ὁμολογοῦντες αὐτόθι σωθείησαν, τοῦτο ὂν ἐναντίον τῷ προφήτῃ Δαβὶδ

λέ-

esse vos dolui. Si enim iter propositum vestra dilectio peragere non valebat, melius fuerat, vt apud me moram, quam extra me faceret. Præterea post discessum vestrũ, dilectissimis filijs meis Diaconis narrantibus agnoui, quod dilectio vestra dixisset, omnipotentem Dominum Saluatorem nostrum Iesum Christum ad inferos descendentem, omnes, qui illi confiterentur eũ Deum, saluasse, atq; à pœnis debitis liberasse. De qua re volo vt fraternitas vestra longè aliter sentiat. Descendens quippè ad inferos solos per suam gratiã liberauit, qui eum & venturum esse crediderãt, & præcepta eius viuendo tenuerant. Constat autem quia post incarnationem Domini, nullus etiam ex his saluari potest qui fidem illius tenẽt, & vitam fidei non habent: quia scriptum est, confitentur se nosse Deum factis autem negant. Et Ioannes ait, qui dicit, quia nouit eum, & mãdata eius non custodit, mẽdax est. Iacobus autem quoq; frater Domini scribit, dicens: fides sine operibus mortua est. Si ergo fideles nũc sine bonis operibus non saluantur, & infideles, ac reprobi sine bona actione, Domino ad inferos descendente, saluati sunt, melior illorum sors fuit, qui Incarnationem Domini minimè viderunt. quam horum, qui post Incarnationis eius mysterium nati sunt. Quod quantæ fatuitatis sit dicere, vel sentire, ipse Dominus testatur discipulis; dicens, multi Reges, & Prophetæ cupierunt videre, quæ vos videtis, & non viderunt. Sed ne dilectionem vestram in mea disputatione immorer: quiid de hac hæresi Philaster in libro, quem de hæresibus scripsit, dixerit, cognoscat. Cuius hæc verba sunt: Sunt hæretici, qui dicunt, Dominum in infernum descendisse, & omnibus post mortem suam etiam ibidem se nunciasse, vt confitentes ibidem saluarentur: cum hoc sit contrarium dicenti Prophetæ Dauid, in inferno autem quis

λέγοντι, ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; καὶ τῷ ἀποστόλῳ, ὅσοι ἀνόμως ἥμαρτον ἀνόμως καὶ ἀπολοῦνται. τούτοις καὶ ὁ μακάριος Αὐγουστῖνος ἐν ἐκείνῳ τῷ βιβλίῳ, ὅπερ ἔγραψε περὶ αἱρέσεων. ταῦτα οὖν ἅπαντα διεξερχόμενοι, μηδὲν ἄλλο κατέχετε, εἰμὴ ὅπερ ἡ ἀληθινὴ πίστις διὰ τῆς καθολικῆς ἐκκλησίας διδάσκει. καταβὰς γὰρ εἰς τὸν ᾅδην ὁ κύριος ἐκείνους μόνον ἐκ τῶν μυχῶν τοῦ ᾅδου ἠλευθέρωσεν, οὕς τινας βιοῦντας ἐν σαρκὶ διὰ τῆς αὐτοῦ χάριτος ἐν τῇ πίστει καὶ ἀγαθοεργίᾳ ἐφύλαξεν. ὅπερ γὰρ τὸ εὐαγγέλιον φησὶν, ὅταν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντα ἑλκύσω πρὸς ἐμαυτὸν, πάντα δηλονότι τὰ ἐκλεκτά. οὐ γὰρ δύναται μετὰ θάνατον πρὸς Θεὸν ἑλκυσθῆναι ὁ κακῶς ἑαυτὸν χωρήσας ἀπὸ τοῦ Θεοῦ, ἀσώτως ζῶν. Ὁ παντοδύναμος Θεὸς τῇ ἑαυτοῦ προστασίᾳ διαφυλάξαι ὑμᾶς, ἵνα ὁπουδήποτε ἐστὲ καὶ ψυχικῶς καὶ σωματικῶς αἴσθησιν λάβητε βοηθείας τῆς αὐτοῦ χάριτος.

Ἐκ ταύτης δὲ τῆς ἐπιστολῆς ἔξεστι γνῶναι, ὅτι οἴχεται τὸ τοῦ Τραϊανοῦ, καὶ ψεῦδον ἐστὶ τὸ τοῦ Κερνίου, καὶ αἱ τοιαῦται μυθολογίαι οὐδεμίαν σύστασιν ἔχουσι. Πρόσθες, ὅτι ὁ Τραϊανὸς, οὐχ ὥς τινες ὑποτίθενται, ἀρεταῖς ἦν κεκοσμημένος, ἀλλὰ σφόδρα παιδεραστὴς, καὶ ἀσελγέστατος, καὶ τῶν χριστιανῶν θηριωδέστατος.

Ἔδει δὲ τοὺς Γραικοὺς, ἵνα μὴ δόξωσιν ὀφλισκάνειν ἀγνοίαν, κουφότητα, καὶ ἐλαφροὺς εἶναι, ζητῆσαι παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς Ῥωμαϊκῆς ἐκκλησίας μὴ δυναμένης σφαλῆναι, καὶ μαθεῖν τί χρὴ πιστεύειν.

Ὁ δὲ Δαμασκηνὸς ἐν οὐδεμιᾷ αἰτίᾳ ἐστὶν, ἃ γὰρ ἀκήκοεν εἰλικρινῶς γέγραφε πιστεύσας τοῖς λεγομένοις ὑπ' εὐλαβείας, μὴ ἀκριβῶς κωδωνίσας μηδ' ἐρευνήσας εἰδέναι τὴν ἀλήθειαν. Καὶ ταῦτα φαμὲν εἴπερ ὁ περὶ τῶν κεκοιμημένων λόγος γνήσιος ἐστὶ τοῦ Δαμασκηνοῦ. εἰ δὲ μὴ, φάναι, μὴ εἶναι τοῦ διδασκάλου. δύναται γάρ τις εἶναι Ἰωάννης ὁ μοναχὸς, καὶ ἐκ τῆς πόλεως Δαμασκοῦ, οὐ μὴν ὁ Μανσοὺρ, ὁ χρο-

confitebitur tibi? Et Apostolus: Quotquot sine lege peccauerunt, sine lege peribunt. Cuius verbis beatus quoque Augustinus in eo libro concordat, quem de hæresibus scripsit. Hæc itaque omnia, pertractantes, nihil aliud teneatis, nisi quod vera fides per catholicam Ecclesiam docet: Quia descendens ad inferos Dominus, illos solummodo ab inferni claustris eripuit, quos viuentes in carne per suam gratiam in fide, & bona operatione seruauit. Quod autem per Euangelium dicit: cum exaltatus fuero à terra, omnia traham ad me ipsum, omnia videlicet electa; nam trahi ad Deum post mortem non potuit, qui se à Deo malè viuendo separauit. Omnipotens Deus sua vos protectione custodiat, vt vbicunque estis, & in anima, & in corpore gratiæ eius auxilium sentiatis.

Ex hac verò epistola licet nos cognoscere, quoniam illud Traiani euanescit, & nullum est illud Cranij, & huiusmodi fabulæ nullam habent consistentiam. His adde, quod Traianus non quemadmodum quidam supponunt, virtutibus erat ornatus; sed valdè puerorum amator, & pæderastes scelestissimus, & aduersus Christianos sæuissimus.

Oportebat autem Græcos, ne videantur esse leues, quærere à catholica, & Apostolica Romana Ecclesia, quæ errare non potest, ac discere quid sit credendum.

Damascenus verò nulla ratione est culpandus; quæ enim audiuerat, syncerè scripsit, fidem adhibens his, quæ dicebantur præ pietate, non diligenter examinans, neque inquirens scire veritatem. Et hæc quidem fatemur, si oratio de dormientibus est germana Damasceni, sin minus, non est difficile fateri non esse ipsius. Potest enim aliquis esse Ioannes, & monachus, & ex ciuitate Damasci, non tamen ille Mansur, ille schola-

ὁ σχολαστικὸς καὶ ἄκρος θεολόγος, ὁ δὲ προσαρμόσας τὴν μαθητὴν τοῦ γέροντος τοῖς ἐν ᾅδου διηνεκῶς κολαζομένοις μετὰ τοῦ πλουσίου κατὰ τὴν παραβολὴν καὶ ἱστορίαν τοῦ δικαίου Λαζάρου, τῷ ἀληθινῷ Δαμασκηνῷ ἐναντιοῦται. ἐν γὰρ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ δευτέρου βιβλίου τῶν θεολογικῶν φησίν, ὅπερ τοῖς ἀνθρώποις ὁ θάνατος, τοῦτο τοῖς Ἀγγέλοις ἡ ἔκπτωσις. εἰ μὲν οὖν τὶς Ἄγγελος ἐκπεπτωκὼς ἐσώθη ποτέ, σωθήσεται καὶ ὁ ἄνθρωπος ὑπάρχων ἐν τῷ πυθμένι τοῦ ᾅδου, ἐν ᾧ τόπῳ διάγουσιν οἱ ἔλλωες, καὶ οἱ ἄπιστοι μετὰ τῶν δαιμόνων. μετὰ γάρ, φησὶν ὁ ἅγιος, τὴν ἔκπτωσιν οὐκ ἔστιν αὐτοῖς μετάνοια, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις μετὰ τὸν θάνατον. καὶ τοῦτο ὅ φησιν ἡ θεία γραφή, ἐν τῷ ᾅδῃ τὶς ἐξομολογήσεταί σοι, ἤγουν οὐδείς. Ὁ δὲ ψευδοδαμασκηνὸς φησί, γέγονε πάντως ἐν τῷ ᾅδῃ ἐξομολόγησις. Ἔτι φησὶ τὸν Χριστὸν σῶσαι τοὺς πιστεύσαντας. τίς καιόμενος ἐν τῷ πυρὶ οὐκ ἂν ἐπίστευσε; ἔτι ἐπὶ θαυμασμοῦ λέγεσθαι, φησί, τό, ὀλίγοι οἱ σωζόμενοι; ἐρωτηματικῶς. ὡσανεὶ ἔλεγεν πλεῖστοι καὶ μυρίοι καὶ ἄπειροι σώζονται. Τοὐναντίον τῶν ἄλλων διδασκάλων ἀγορευόντων, καὶ τοῦ εὐαγγελίου, πολλοὶ μὲν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί, καὶ στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδός.

Ἔτι ἀνάγνωθι τὸν αὐτὸν μέγαν Γρηγόριον Ῥώμης ἐν τῷ πεντηκοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ τετάρτου τῶν διαλόγων βιβλίου κατὰ τὴν διαίρεσιν τῶν Γραικῶν οὑτωσὶ περί τινος Ἰούστου μοναχοῦ ἐν τῷ πυρὶ βασανιζομένου λέγοντα. ὡς δὲ μετὰ τὸν θάνατον αὐτοῦ ἤδη τριάκοντα ἡμέραι ὑπῆρχον κεκλυμέναι, ἤρξατο ἡ ψυχὴ συμπαθεῖν τῷ θανόντι ἀδελφῷ, καὶ μεριμνῆσαι μετὰ πόνου τὰ αὐτοῦ βαρέα βάσανα, καὶ εἴ τι ὑπῆρχε τοῦ λυτρώσεως αὐτοῦ βοήθημα ζητῆσαι. τότε καλέσαντός μου πρός με τὸν αὐτὸν οἰκονόμον τοῦ ἡμῶν μοναστηρίου ἀλγούμενος εἶπον. ἀρκετὸν λοιπὸν ὑπάρχει ἐκεῖνον τὸν τελευτήσαντα ἀδελφὸν ἐν τῷ πυρὶ βασανίζεσθαι. ὀφείλομεν αὐτῷ εἰς ὃ δυνάμεθα διὰ ἀγάπην βοηθῆσαι, ἵνα τοῦ βασάνου λυτρωθῇ. ἄπελθε οὖν καὶ ἀπὸ τῆς σήμερον ἡμέρας μέχρις ἡμερῶν τριάκον-

ſticus, & ſummus Teologus. Qui verò adaptauit diſcipulum Senis his, qui in inferno perpetuo puniuntur, vnà cum Diuite, iuxta parabolam, & hiſtoriam iuſti Lazari, vero Damaſceno contrariatur. Is enim in ſeptimo capite ſecundi libri Theologicorum, ait: Quod eſt hominibus mors, hoc eſt Angelis caſus; Si igitur aliquis Angelus poſtquam cecidit vnquam ſaluus factus eſt, ſaluus etiam fiet homo exiſtens in profundo inferni, quo in loco degunt gentiles, & infideles vnà cum Dæmonibus. Nam Sanctus inquit, poſt lapſum non eſt ipſis pœnitentia, quemadmodum neq; hominibus poſt mortem, & hoc illud eſt, quod ait diuina ſcriptura in inferno quis confitebitur tibi? ſcilicet, nemo. Pſeudodamaſcenus verò ait, in inferno omninò facta eſt confeſſio. Prætereà dicit, Chriſtum ſaluaſſe eos, qui crediderunt. Quis igitur, igne ſi comburatur, non crederet? Prætereà admiratiuè ait, illud dici, cum interrogatione, pauci ſaluabuntur? quaſi dicat, multi, & infiniti ſaluantur. Cum tamen conttrarium ſacri doctores fateantur, & Euangelio atteſtante, multi quidem vocati, pauci verò electi; Et anguſta porta, & arcta eſt via.

Prætereà legas eundem magnum Gregorium Romanum in quinto capite quarti libri Dialogorum, quod tamen verſione Græcorum decimo quinto capite, de quodam, qui igne cruciabatur, dicentem: Cum verò poſt mortem eius triginta dies iam eſſent euoluti, cœpit animus meus defuncto fratri compati, eiuſque cum dolore graui ſupplicia penſare, & ſi quod eſſet ereptionis eius remedium quærere. Tunc euocato ad me eodem monaſterij mei Præpoſito, triſtis dixi; diu eſt quod frater ille, qui defunctus eſt, in igne cruciatur; debemus ei aliquiq charitatis impendere, & eum in quantum poſſumus, vt eripiatur adiuuare. Vade itaque, ab ho-

κοντα, ἀνελλιπῶς ὑπὲρ αὐτοῦ θυσίαν ἀναίμακτον προσ-
ενεχθῆναι ποίησον, μὴ παραχωρῶν παντελῶς, μήτε μίαν
ἡμέραν, ἐν ᾗ περὶ τῆς λυτρώσεως αὐτοῦ ἡ σωτηριώδης θυσία
οὐ προσκομισθῇ. ὅς τις παρελθὼν συνήνεσε καὶ ἐποίησεν.
ἡμερῶν δὲ ἑτέρων φροντιζόντων, καὶ τὰς κυκλουμένας ἡμέρας μὴ
ἀριθμουμένων, τότε ὁ ἀδελφὸς ὁ ἀποθανὼν ἐφάνη τῇ νυκτὶ
δι' ὀπτασίας τῷ ἀδελφῷ τῷ σαρκικῷ αὐτοῦ Κοπιώζῳ· καὶ ὡς
αὐτὸς ἑώρακεν ἐκεῖνον, ἠρώτησε λέγων, τί ἐστὶν ἀδελφὲ
πῶς εἶ; ᾧ τινι αὐτὸς ἀπεκρίθη λέγων. ἕως τοῦ νῦν κα-
κῶς ὑπῆρχον, ἀλλ' ἤδη νῦν καλῶς εἰμὶ, ὅτι σήμερον
κοινωνίαν ἔλαβον. ὅπερ αὐτὸς ὁ Κοπιῶζος ἐν τῷ μοναστη-
ρίῳ παρελθὼν τοῖς ἀδελφοῖς ἐμήνυσε. μετ' ἀκριβείας δὲ
τὰς ἡμέρας οἱ ἀδελφοὶ ἀριθμήσαντες, εὗρον, ὅτι αὕτη ἡ
ἡμέρα ὑπῆρχεν, ἐν ᾗ ὑπὲρ αὐτοῦ ἡ τριακοστὴ προσφορὰ ἦν
πληρωθεῖσα. ἠγνόει γὰρ καὶ ὁ Κοπιῶζος, τί οἱ ἀδελφοὶ
ὑπὲρ αὐτοῦ ἐποίουν. ὁμοίως δὲ καὶ αὐτοὶ τί ὁ Κοπιῶζος ὑπὲρ
αὐτοῦ ἑώρακεν. ἐν τῇ αὐτῇ οὖν ἡμέρᾳ διέγνω κἀκεῖνος τί
οὗτοι ἐποίησαν, οὗτοι δὲ ἔγνωσαν τί ἐκεῖνος ἑώρακεν ἅμα
συμφωνούμεναι ἥ τε θεωρία καὶ ἡ θυσία, τοῦτο φανερῶς
δείκνυται ὅτι διὰ τὴν σωτηριώδη θυσίαν ὁ ἀποθανὼν ἀδελ-
φὸς τῆς βασάνου ἐλυτρώθη. Ταῦτα ὁ Γρηγόριος. ἐκ τούτου
δὲ καὶ παροιμιακῶς φασὶν ἕως τῆς σήμερον λέγεσθαι παρὰ
τοῖς ἐν Ῥώμῃ οἰκοῦσιν δεῖν ὑπὲρ τῶν τεθνεώτων τὰς τριάκοντα
λειτουργίας τοῦ Γρηγορίου ἱερουργεῖσθαι. καίτοι ἀξιόπιστος ὁ ἀνὴρ
καὶ μᾶλλον ἀκουστέος ἤπερ ὁ Βαρλαὰμ, καὶ ταῦτα τῶν ἄλλων
διδασκάλων ἐκείνῳ συμπαρομαρτούντων, καὶ ὁμοφωνούντων, τοῦ
δὲ Βαρλαὰμ ἁπλῶς ἀρνουμένου, καὶ αἰσχυντῶς ψευδομένου.
Καὶ ὁ αἰδέσιμος Βέδας ἅγιος ὢν διηγεῖται πολλὰς ὁράσεις
τῶν τῷ πυρὶ τῷ καθαρτηρίῳ κολαζομένων, ἐν οἷς φησὶν
εἶναί τινας, οἳ διάγουσιν ἐν χλοεροῖς καὶ αἰθερίοις καὶ χα-
ρίεσι τόποις, μηδενὸς ἀνιαροῦ αἰσθανόμενοι, μόνον ὅτι τῆς
θείας θέας ἐστέρηνται, καὶ τοῦτο αὐτοῖς ἀντὶ καθαρτηρίου πρὸς
καιρὸν ἐδόθη. τούτου δὲ τύπος ἦν ὁ Ἀβεσαλὼμ, ὃν ὁ Δα-
βὶδ

hodierna die diebus triginta continuis, offerre pro eo ſacrificium ſtude, vt nullus omninò prętermittatur dies, quo pro abſolutione illius, hoſtia ſalutaris non offeratur. Qui protinus abſceſſit, & dictis paruit. Nobis autē alia curantibus, atque dies euolutos non numerantibus, idem frater, qui defunctus fuerat, nocte quadam fratri ſuo germano Copioſo per viſionē apparuit. Quem ille cum vidiſſet, inquiſiuit dicens, quid eſt frater, quomodo es? Cui reſpondit: nunc vſque malè fui, ſed iam modo benè ſum: quia hodie communionem recepi. Quod idem Copioſus pergens protinus indicauit fratribus in monaſterio, fratres verò ſolicitè computauerunt dies, & ipſe dies extiterat, quo pro eo trigeſima oblatio fuerat impleta. Cumque & Copioſus neſciret quid pro eo fratres agerent, & fratres ignoraſſent, quid de illo Copioſus vidiſſet, vno eodemque tempore dum, cognoſcit ille quid iſti agerent, atque iſti cognoſcunt, quid ille viderat, concordante ſimul viſione, & ſacrificio, res apertè claruit, quia frater qui defunctus fuerat, per ſalutarem hoſtiam euaſit ſupplicium. Hæc Gregorius ex quibus prouerbium factum eſt ab ijs qui Romę degunt triginta ſacra pro mortuis dicenda eſſe Gregorij. Atqui fide dignus eſt Vir, & magis audiendus, quam Barlaam, pręſertim cum & alij Doctores ipſum ſequantur, & cum eo conueniant; Barlaam verò ſimplciter neget; & impudenter mentiatur. Et venerabilis Beda, qui ſanctus eſt narrat multas viſiones eorum qui igne purgatorio puniuntur, & inter alios dicit eſſe quoſdam qui in ameniſſimis locis degunt nullam moleſtiam ſentientes, tantummodo diuina viſione priuantur, idque datum eſt illis loco purgatorij ad tempus cuius figura fuit Abſalom in libro ſecundo Regum capite decimo quarto quem Dauid precibus Ioab

&

βίῳ ταῖς δεήσεσι τοῦ Ἰωὰβ, καὶ τῇ ἀπάτῃ τῆς γυναικὸς ἐκ τῆς ἐξορίας ἀνεκαλέσατο. καὶ ὅμως δυσὶν ἐνιαυτοῖς ἰδεῖν τὸ πρόσωπον τοῦ βασιλέως οὐκ ἐπέτρεψεν, ὡς ἔστιν ἰδεῖν ἐν τῇ δευτέρᾳ τῶν βασιλειῶν κεφαλαίῳ δεκάτῳ τετάρτῳ.

ΚΕΙΜΕΝΟΝ.

Ἔτι τὸ τῆς ἀποκαταστάσεως δόγμα, καὶ τοῦ τέλους τῆς αἰωνίου κολάσεως, παρὰ Ὠριγένους, ὡς εἴρηται, τὴν ἀρχὴν εἰληφὸς, καί τινων τῶν τῆς ἐκκλησίας ἐπικρατούντων, ὧν ἐστι καὶ Δίδυμος καὶ Εὐάγριος, ἅτε τὴν τοῦ Θεοῦ φιλανθρωπίαν προβαλλόμενοι, καὶ διαπαραδέδεκτο ἐν τοῖς ῥαθύμοις γενόμενον, ὡς ὁ θεοφόρος Ἰωάννης ὁ τοῦ οὐρανοῦ (λέγε ὁ τῆς τοῦ οὐρανοῦ) κλίμακος ἀρχιτέκτων φησὶν, ὅμως ἀπεκηρύχθη καὶ ἀνεθεματίσθη παρὰ τῆς ἁγίας πέμπτης, καὶ οἰκουμενικῆς συνόδου, ὡς ἔκλυσιν ταῖς ψυχαῖς ἐμποιοῦν, καὶ τοὺς ῥαθύμους ἔτι ῥαθυμοτέρους ἀπεργαζόμενον, ἐκδεχομένους ποτὲ τὴν τῶν βασάνων λύτρωσιν, καὶ τὴν ἐπηγγελμένην ἀποκατάστασιν.

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ μὴν ταῦτα πρότερον ἤδη ἐλύσαμεν. ἀλλ' ἡμῖν, ὦ Γραικοὶ, ταῦτα μῦθοι δοκοῦσιν, ὑμῖν δὲ τὰ παρ' ὑμῶν ἐκ τῆς ὑμετέρας κοιλίας ἐρευγόμενα, ἀληθῶς ἐρεύγματα σαθρὰ καὶ δυσώδη δοκοῦσιν εἶναι, καὶ εἰσίν.

ΚΕΙΜΕΝΟΝ.

Τελευταῖον εἰσφέρει ὁ Βαρλαὰμ οἱονεὶ τραγήματα τινα τῆς πικρᾶς καὶ φαρμακώδους ταύτης τραπέζης, τὸ τῆς ἀποκαταστάσεως τοῦ Ὠριγένους μυθῶδες δόγμα, καὶ ὀνομάσας Ὠριγένην, Δίδυμον καὶ Εὐάγριον τοὺς αἱρετικοὺς,

μά-

& mulieris deceptione ab exilio reuocauit, & nihilominus duobus annis videre faciem Regis non permisit.

TEXTVS.

PRæthereà dogma illud de instauratione omnium, & fine æterni supplicij, quod ab Origene, vt dictum est, originem sumpsit, & à nonnullis Ecclesiæ Antistitibus, inter quos est etiam Didymus, & Euagrius, tanquam Dei erga homines benignitatem prætendens, & magno cum applausu ab ignauis exceptum, quemadmodum Deiferus ille Ioannes cœlestis schalæ, auctor, ait; explosum nihilominus damnatumque fuit à Sancta quinta, & vniuersali Synodo, tanquam supinitatem animis inferens, & negligentes negligentiores efficiens, expectantes aliquando à tormentis liberationem, & promissam instaurationem.

RESPONSIO.

ET quidem hæc iam nos anteà dissoluimus. sed vobis, ò Græci fabulæ videntur nostra responsa; nobis verò quę à vobis ex ventre vestro eructantur, reuera eructationes fracidæ, fœtidæque videntur esse, & sunt.

TEXTVS.

TAndem infert Barlaam, quasi quædam bellaria acerbæ huius, & venenosæ mensæ fabulosum dogma restaurationis Origenis, & nominatis Origene, Didymo, & Euagrio hæreticis, frustra existimat, omnes,

μάτην εἶναι πάντας τοὺς πιστεύοντας καὶ ὁμολογοῦντας τὸ καθαρτήριον πῦρ, Ὠριγενισταὶ εἶναι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡμεῖς δὲ αὐτὸν καὶ τοὺς ἀρνουμένους τὸ καθαρτήριον, ὡς δυσπειθεῖς, σχισματικοὺς καὶ αἱρετικοὺς ὀνομάζομεν. χεῖρον γὰρ εἰπεῖν οὐκ ἔνι. οἳ μηδέποτε λαμβάνοιεν πεῖραν τοῦ καθαρτηρίου πυρός, ὥσπερ οὐδὲ λήψονται. ἄπαγε. ἀλλὰ γενέσθωσαν ἄξιον ἀνάλωμα τοῦ αἰωνίου πυρὸς μηδέποτε ἀναλωμένου, μηδέποτε ἀπὸ τῶν ἀδικημάτων καθαιρόμενον.

Καὶ ταῦτα μὲν περὶ ἐκείνων φαμὲν ὅτι ἀπέθανον αἱρετικοὶ τυγχάνοντες, τοὺς δὲ παρόντας Γραικούς, οἳ ταῦτα ἀναγνώσονται, καὶ τοὺς ἑαυτῶν διδασκάλους Γραικοὺς ἔντας οὕτω φρονεῖν ὄψονται. Εὐχόμεθα τὸν παντοδύναμον Θεόν, ἵνα ἑαυτοὺς τοῖς παλαιοῖς πατράσι συνάψωσιν, καὶ ἐπειδὴ τὸ Θεῖον πόρρω ἀπέχει τοῦ ἁμαρτάνειν, αὐτοὶ δὲ ἄνθρωποι ὄντες πολλῶν σφαλμάτων εἰσὶ μέτοχοι, ἐκ καρδίας εὐχόμεθα ἵνα ἐπιστρέψωσι καὶ τοῦ πυρὸς τοῦ καθαρτηρίου δοκιμὴν λάβωσι, καὶ τέλος τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωσιν.

ΤΕΛΟΣ.

qui credunt, & confitentur purgatorium ignem, Origeniſtas eſſe.

RESPONSIO.

NOs verò, & eos, qui negant purgatorium, vt contumaces, ſchiſmaticos, & hæreticos nominamus. grauius enim dicere non licet. Qui nunquam experiuntur ignem purgatorium, neque in poſterum experientiam ſument. Apage. Sed fiant digna conſumptio ignis æterni, quæ nunquam conſumitur, nunquam à ſceleribus expiatur.

Et hæc quidem dicimus de illis, quia mortui ſunt hæretici, prçſentes verò Grçcos, qui hçc legent & ſuos Doctores Grçcos videbunt ita ſentire, Deum exoramus Omnipotentem, vt ſocios ſe antiquis Patribus prçbeant: Et quoniam Numen Diuinum eſt expers peccati; ipſi vt homines multis mendis obnoxij; optamus ex animo vt conuertantur & ignem purgatorium experiantur, ac tandem æternam felicitatem conſequantur.

FINIS.

Errata sic corrigenda.

Pag. 4. Vers. 22. αἵ τε. 6. 3. κἀνταῦθα. 6. 7. διαφερόμεθα. 6. 31. ἁμαρτημάτων. 6. 34. παῖδα. 8. 2. παίσαντας. 8. 10. σέβεταί τε. 8. 33. ἐξιλεούμενος. 10. 17. τὰ τοῦ Ὠριγ. 10. 30. τούτου. 10. 33. οὐδαμοῦ τῶν ἑαυτοῦ λόγων. 14. 8. σπουδαίοις. 14. 21. καταβαίνοντες. 14. 24. ἀπελεύσεσθαι. 14. 27. τυγχάνειν. 18. 2. τὸ πῦρ. 24. 17. καταλήγει. 38. 12. ἦλθον. 56. 18. ἡμέρα. 58. 7. περιερχόμενος. 60. 19. ζῶντος. 62. 26. ἀστικῶν. 64. 3. συνόντας. 64. 12. παναρμόνιον. 54. 28. ἑκάστου 66. 6. τοὺς τῆς παλαιᾶς. 66. 17. Οἰκουμένιος: 66. 30. στεφανωθῆναι. 68. 3. οὗ. 70. 17. ἑορτὴν. 77. 16. μηναίοις. 77. 22. ἀγαπῶ. 78. 12. οὐκ ἐν τῇ. 78. 16. πρεσβύτερα. 18. 16. δέσμιον. 18. 24. δέξαιο. 80. 17. καταφρονῆσαι. 80. 25. ἐπὶ τῇ θυσίᾳ. 84. 2. μαρτυροῦντος. 88. 29. ἑλλήνων. 90. 14. παρόντι. 100. 7. προφητείας. 106. 3. τῶν Ἀλεξανδρείας. 112. 32. πλείονος. 114. 15. ὅλῳ νοΐ. 118. 6. τερατεύεται 118. 6. δυσσέβημα. 118. 13. καὶ δὴ. 118. 17. ἀπηνῶν. 118. 18. τῆς εὐσεβείας. 18 20. καταβαλεῖν. 118. 20. ἔμελλε. 118. 28. ὑφορωμένους τῆς προσθήκης. 120. 16. ἐπισημειώσασθαι. 124. 5. ἐν τῷ περὶ. 126. 6. διὰ βάθους. 126. 9. θερμά. 169. 9. νεναρκηκότι. 128. 21. ἢ ὡς. 130. 17. φάμενοι. 130. 27. διωνηθῆναι. 132. 24. κείμενον. 132. 30. τὸ σὸν ψεῦδος. 140. 26. αρχιερέως. 142. 19. παρῆχθαι. 144. 3. κατηγορία. 148. 11. ἐνετάξατε. 148. 12. ὑμᾶς ἀγνοεῖν. 154. 3. καὶ ποίημα.

156. 1. τῆς κοινωνίας. 160. 22. ὀρθοδόξων. 162. 25. τὸν ζῆλον. 174 11. Ἀγκύρας. 174. 30. ἐπάγει. 176. 11. κανόνος. 180. 2. μακεδόνος. 180. 18. ἐγένετο. 180. 23. Κωνσταντινουπόλεως. 182. 11. ἀναθεματισμόν. 184. 7. Βαλσαμῶν. 184. 9. λαμπρυνεῖ. 184. 20. Χερ-

ςοῦ

στοῦ . 184. 29. ὑμῶν ἀπαρνήσασθαι . 184. 30. δεδογμα-
τισμένα . 190. 4. Ἀλεξανδρείας . 200. 29. οἰκουμένης.
228. 16. τεθεσπισμένον . 230. 17. κατὰ πρόσωπον . 240.
14. δικαίως . 260. 6. ὑμεῖς γράφετε . 262. 22. τὴν κρί-
σιν . 266. 27. ἀνάγνωθι . 270. 6. ἐξορίαν . 270. 21.
ἐξορίας . 286. 3. λογισάμενοι . 290. 14. ἐκκλησίας.
304. 15. παρέλθωσι . 312. 28. Θεοδώρητος . 320. 29.
τὴν ἄλλως . 322. 11. τὴν ἐκκλησίαν . 328. 15. κρίνωμεν.
328. 26. οἱ δὲ ἡμέτεροι 330. 6. ὑπεριφανίας . 330. 23.
προφητείας . 338. 3. καὐτοῖς . 340. 32. ἐπιθέτου . 344.
18. παντοίοις . 346. 10. μεμενήκασι . 352. 14. ἀψήφι-
στος . 354. 2. ἑπτά . 370. 5. κολαζόμενοι . 376. 20.
μεταλαμβάνουσι . 380. 12. ὀλιγώρει . 380. 17. τὰ ἑξῆς.
384. 23. ἐλευθεροῦσθαι . 386. 30. παραγαγεῖν . 406. 2.
προσσυνεχθῆναι . 406. 5. φροντιζόντων :

Pag. 37. Verſ. 25. valde . 75. 1. de iuſtis . 79. 2. Græci . 81. 16. oratione prima . 87. 24. tyrannorum . 123. 27. Origenem . 133. 1. Latinos . 153. 2. primùm . 153. 7. ſuæ damnationis. 187. 33. continent . 209. 17. Pontifici . 257. 16. oportebat. 257. 17. de viro . 261. 6. iter ſuſcep. 281. 10 irrumpentibus . 327. 20. proceſſionem . 327. 28. credunt . 371. 18. concluſæ . 371. 21. ſacrificijs . 373. 30. purgationem . 377. 15. ſuo . 383. 17. diſponere . 401. 1. dilectio . 401. 5. dilectio . 410. 8. debitis .

Pag. 135. Verſ. 29. poſt illud . ex Patre procedere . deſunt iſta . deberet igitur Photius etiam negare Spiritum ſanctum procedere per filium, quia in &c.

Pag. 223. Verſ. 22. poſt illud . eſſe confirmandos. deſunt iſta . nec nos ſecundo loco habendos .

Pag. 226. Verſ. 6. poſt illud . duritiam eorum. deſunt iſta . & cor impœnitens theſaurizant ſibi iram in die iræ &c.

Reliqua errata leuiora vt accentuum & huiuſmodi facile prudens lector animaduertet.